3 2044 009 807 017

VE
RI
TAS

167

PLUTARCHI CHAERONENSIS

MORALIA

RECOGNOVIT

GREGORIUS N. BERNARDAKIS

(of Mytilene)

VOL. VII.

PLUTARCHI FRAGMENTA VERA ET SPURIA MULTIS ACCESSIONIBUS LOCUPLETATA CONTINENS

LIPSIAE

IN AEDIBUS B. G. TEUBNERI.

MDCCCXCVI.



LIPSIAE: TYPIS B. G. TEUBNERI.

ΤΗΙ ΑΓΗΡΩΙ ΜΝΗΜΗΙ

ΔΗΜΗΤΡΙΟΥ Α. ΟΙΚΟΝΟΜΟΥ

ΤΟΥ ΤΟΝ ΦΕΡΩΝΥΜΟΝ ΑΓΩΝΑ ΘΕΝΤΟΣ.

PRAEFATIO.

Quamquam hoc Fragmentorum volumine Plutarchi *Moralium* editio concluditur, tamen neque invidia et *obtrectatio*, quas conflaverat, neque inimicitiae, quas *concitaverat*, evanuerunt. Quod autem auspicate editio *absoluta* est, id cum diuturno labori et perseverantiae *et constantiae* debetur tum exhortationibus impulsioni-)usque tam publicis quam privatis eorum, qui Plu-*archi* amici veri et sinceri exstiterunt; quibus omnibus ımmam gratiam habeo et semper habebo. Neque *l.* praetereundus est Augustus Nauckius, vir ille *re* clarissimus, unus ex omnibus Graecae linguae ritissimus, qui animum meum numquam non con-nabat atque cohortabatur, ut in via quam iniissem severarem et mihi persuaderem editione Moralium)luta optime me de litteris Graecis meriturum esse. de his rebus fortasse alibi, nunc ad huius prae-nis argumentum pergo.

Ac primum quidem hoc in volumine fontes, ex is fragmenta petita sunt cum alia tum ea quae ıs ego sive ex codicibus sive ex libris editis de-i, ubique adnotandos curavi. De quibus apud iudicium esto. Mihi autem h. l. pauca dicenda le libellis pseudepigraphis, ex quibus primum etatu, qui pro Nobilitate inscriptus est, aperte quod sentio. Hic libellus inde a Wyttenbachio

fuit condemnatus eo quod spurius et minime Plutarchi nobili nomine dignus fuisset. Res ita se habere et meo et aliorum iudicio videtur. Olim fuerat liber pro Nobilitate, qui sub Plutarchi nomine circumferebatur, graece scriptus, postea vero quam in Latinum sermonem conversus est deperditus. Deinde aliquis latine magis quam graece doctus librum iam Latinum in linguam Graecam transferre conatus est, sumptis ex Stobaeo omnibus qui ibi servati erant de Nobilitate locis genuinis, multis ex ceterorum numero barbaris ut ipse interpretatus erat relictis, quibusdam praecipueque poetarum versibus in Graeca interpretatione prorsus omissis, ut postea supplererentur. Duos locos solos excudendos hic curavi, ut quid aera a lupinis distarent melius intellegeretur. Sunt autem hi:

Interpres (pro Nobil. c. 2):

Ἐν τῇ πολυκηδεστάτῃ ἐκείνῃ ἐν Χαιρωνείᾳ μάχῃ γενόμενος ὑπὸ Φιλίππου Δημάδης αἰχμάλωτος ἐρωτῶντι αὐτῷ ‘ποῦ τῶν Ἀθηναίων εὐγένεια; ποῦ τῶν Κεκροπιδῶν γένος; ποῦ ῥώμη;’ ‘οἶσθα’ φησίν ‘ἄν, ὦ βασιλεῦ, εἰ τῶν μὲν Ἀθηναίων ὁ Φίλιππος, τῶν δὲ Μακεδόνων ἦρχεν ὁ Χάρης.’

Stobaeus Flor. 54, 47:

Δημάδης ὁ ῥήτωρ ληφθεὶς αἰχμάλωτος ἐν τῇ κατὰ Χαιρώνειαν μάχῃ ὑπὸ Φιλίππου καὶ συσταθεὶς αὐτῷ, ἐκείνου παρὰ πότον σεμνυνομένου ‘ποῦ ἡ εὐγένεια καὶ ἡ ὑπεροχὴ τῆς Ἀθηναίων πόλεως;’ ‘ἔγνως ἄν,’ ἔφη ‘ὦ βασιλεῦ, τὴν τῆς πόλεως δύναμιν, εἰ Ἀθηναίων μὲν Φίλιππος, Μακεδόνων δὲ Χάρης ἐστρατήγει.’

In interpretatione praeter alia observandum est *οἶσθα ἄν* in Graeco sermone inauditum. Subsequatur exemplum alterum luculentius:

Interpres (pro Nobil. c. 15):

Ταῦτα μὲν Θεόγνιδος περιφέρεται τοῦ Μεγαρέως, ὡς Ξενοφῶν λέγει· οὗτος ὁ ποιητὴς περὶ ἀρετῆς καὶ κακίας ἀνθρώπων λόγους ποιεῖται, καὶ εἰκότως περὶ ἀνθρώπων βίου ἀπομνημόνευμα καλεῖσθαι δύναται, παραπλησίως εἰ τῆς ἱππικῆς ἐπιστήμων τις περὶ αὐτῆς ἐγεγράφει. τούτου τοῦ ποιήματος, ὡς οἶμαι, συνισταμένη ἐστὶν ἀρχή, ὅταν ἀπὸ τοῦ καλοῦ τοῦ γένους προοιμιάζει. οὕτω γὰρ ἐδόκει οὔτ' ἄνθρωπον οὔτ' ἄλλο τι τῶν φυομένων μέλλειν ἔσεσθαι καλόν, εἰ μὴ καὶ αὐτὰ τὰ αὐτὸν γεννήσοντα καλὰ ᾖ. διὰ τοῦτο καίριον ᾠήθη τῶν ἄλλων ζῴων παραδείγμασι χρῆσθαι, ἅπερ οὐκ εἰκῇ ἀλλὰ σπουδαιοτέρως τρέφεται, ὧνπερ τὴν κηδείαν καὶ τὴν θεραπείαν οὐ μικροῦ ποιούμεθα, οὐκ ἄνευ τέχνης τινός, ὡς γενναιότατα τυγχάνωσι, ὅπερ καὶ δηλοῖ διὰ τὰ ἔπη τάδε· 'Κριοὺς μὲν καὶ ὄνους διζήμεθα — — — — πλοῦτος ἔμιξε γένος.' ὅσον καθήκει τὴν τῶν υἱῶν

Stobaeus Flor. 88, 14:
Ξενοφῶντος ἐκ τοῦ περὶ Θεόγνιδος.

Θεόγνιδός ἐστιν ἔπη τοῦ Μεγαρέως· οὗτος δὲ ὁ ποιητὴς περὶ οὐδενὸς ἄλλου λόγον πεποίηται ἢ περὶ ἀρετῆς καὶ κακίας ἀνθρώπων, καὶ ἔστιν ἡ ποίησις σύγγραμμα περὶ ἀνθρώπων, ὥσπερ εἴ τις ἱππικὸς ὢν συγγράψειεν περὶ ἱππικῆς. ἡ οὖν ἀρχή μοι δοκεῖ τῆς ποιήσεως ὀρθῶς ἔχειν· ἄρχεται γὰρ πρῶτον ἀπὸ τοῦ εὖ γενέσθαι· ᾤετο γὰρ οὔτε ἄνθρωπον οὔτε τῶν ἄλλων οὐδὲν ἂν ἀγαθὸν εἶναι, εἰ μὴ τὰ γεννήσοντα ἀγαθὰ εἴη. ἔδοξεν οὖν αὐτῷ παραδείγμασι τοῖς ἄλλοις ζῴοις χρήσασθαι, ὅσα μὴ εἰκῇ τρέφεται ἀλλὰ μετὰ τέχνης ἕκαστα θεραπεύεται, ὅπως γενναιότατα ἔσονται. δηλοῖ δ' ἐν τοῖσδε τοῖς ἔπεσι· 'Κριοὺς μὲν καὶ ὄνους — — — — ἔμιξε γένος.' ταῦτα τὰ ἔπη λέγει τοὺς ἀνθρώπους οὐκ ἐπίστασθαι (add. *ὀρθῶς* Bergkius II p. 136) *γεννᾶν ἐξ ἀλλήλων, κᾆτα γίγνεσθαι τὸ γένος τῶν ἀνθρώπων κάκιον ἀεὶ μιγνύμενον τὸ χεῖρον τῷ*

γένεσιν, ἐν τούτοις τοῖς ἔπεσιν ἡ τῶν ἀνθρώπων ἄγνοια δηλοῦται· καὶ διὰ τοῦτο συμβαίνειν τοὺς ἐνδόξους οἴκους ἀμαυροῦσθαι τῷ τοὺς εὐγενεῖς τοῖς ἀγενέσι συζεύγνυσθαι. οἴονται μέντοι πολλοὶ τὴν ἀνθρωπίνην ἐπιθυμίαν καὶ φιλοχρηματίαν ἐν τούτοις κατηγορεῖσθαι, διότι οὐδεὶς παραιτεῖται βουλόμενος χρηματίζεσθαι τῇ μὲν ἀγενὴς καὶ ἄδοξος τῇ δὲ κακὸς καὶ αἰσχρὸς γίνεσθαι. οὐ μὴν ἀλλ' ὡς ἐγῷμαι τὴν τῶν ἀνθρώπων ἄγνοιαν μᾶλλον αἰτιᾶται τῶν διὰ φιλοχρηματίαν τὴν εὐγένειαν ἀνεχομένων κατὰ σχολὴν ἐξίτηλον γίνεσθαι. βελτίονι (*μιγνυμένου τοῦ χείρονος τῷ βελτίονι* corr. Bergkius). *οἱ δὲ πολλοὶ ἐκ τούτων τῶν ἐπῶν οἴονται τὸν ποιητὴν πολυπραγμοσύνην* (*φιλοχρημοσύνην* idem) *τῶν ἀνθρώπων κατηγορεῖν, καὶ ἀντὶ χρημάτων ἀγένειαν καὶ κακίαν ἀντικαταλλάττεσθαι εἰδότας* (*ὡς ἀντὶ χρημάτων — ἀντικαταλλάττεσθαι εἰωθότων* idem)· *ἐμοὶ δὲ δοκεῖ ἄγνοιαν κατηγορεῖν περὶ τὸν αὐτῶν βίον.*

Verba *ὡς Ξενοφῶν λέγει* ex inscriptione vitiosa, quae apud Stobaeum servata est (*Ξενοφῶντος ἐκ τοῦ περὶ Θεόγνιδος*), petita compilator h. l. interpolavit; vid. Bergk. II p. 136 adnot. Ceterum quamquam hoc caput paullo melius translatum est, tamen vitiis scatet (*εἰ — ἐγεγράφει*: *συνισταμένη ἐστὶν ἀρχή*: *προοιμιάζει*: *ἄλλο τι τῶν φυομένων*: *σπουδαιοτέρως*: *κηδείαν*: *διὰ τὰ ἔπη τάδε*: *ὅσον καθήκει τὴν — γένεσιν*: *παραιτεῖται*, ut alia omittam). Denique verbis *τῶν διὰ φιλοχρηματίαν — ἐξίτηλον γίνεσθαι* interpres Graecus reddidit ea quae Latinus interpolaverat: 'qui nobilitatem tam praeclarum thesaurum opum amore sensim delabi patiantur'.

Sed praeter breves ex Stobaeo eclogas, quas accu-

te Duebnerus, Wyttenbachio in interpretatione quidem
ıtina praeeunte, distinxit, etiam alia fragmenta ge-
ina hic illic latent, quae omnia ego quoque accurate
finiam et distinguam in editione maiore. Ceterum
eram perdunt omnes fere qui interpretis vitia cor-
ere sibi videntur aut quod multo plura in inter-
tatione ista vitia inveneris aut quod plurima non
ecc sed barbare corrigenda sunt: id quod ego inter-
n feci. Mendae plurimae sunt non solum in vocibus
gulis sed etiam in constructione, in periodorum con-
natione, in vocabulis electis.

Venio ad Vitam Homeri, partem posteriorem, nam
e praemittitur prior pars brevior non eiusdem esse,
posteriorem conscripserat, auctoris omnes consen-
t. Quam Vitam, longiorem dico, neque Porphyrio
icandam esse neque Plutarcho abiudicandam aut
l allegorias admiserit contra consuetudinem suam,
l iudicium falsum est (cf. liber de Daedalis
ıeensibus; de Iside et Osiride c. 20; de facie Lunae
' p. 942 f. 950e. 1008a cett. Westerwick. de
studiis Hesiodeis p. 54 sq. Baedorf. de Plut. Vita
eri p. 14 sq.), aut quod enneadem in Graeciam
isse videatur, id quod non minus falsum est, ut infra
imus; neque eam quam nos tenemus Vitam ex
ridio Homerico, quod ex antiquo allegoriarum cor-
breviatum fuisset, multis additis omissis variatis
ie; neque hanc vitam unum fuisse librum atque
m Plutarchi Ὁμηρικῶν μελετῶν: mihi certum est.
esse censeam, antequam dicam de Stobaei quo-
n fragmentorum Homericorum origine disputan-
st. Stobaei excerpta sunt haec. Lib. I, 1, 2 p. 1
:. (= p. 16 Wachsm.). I, 1, 10 p. 6 (= p. 21 W.).
1 p. 77 (= p. 121 W.). I, 21, 4 p. 124 (= p. 183 W.).
p. 76 (= p. 120 W.). I, 25, 3 p. 147 (= p. 214 W.).
0 p. 206 (= p. 292 W.). Floril. 14, 24. 33, 17.

Quae omnia ex uno fonte deducta esse etiam alii suspicati sunt. Nunc videamus unum et alterum et comparemus, ac primum quidem

Stob. I 1, 10 cum Vit. Hom. c. 145:

Πυθαγόρας πλείστῃ σπουδῇ περὶ τοὺς ἀριθμοὺς ἐχρήσατο, τάς τε τῶν ζῴων γενέσεις ἀνῆγεν εἰς ἀριθμοὺς καὶ τῶν ἀστέρων τὰς περιόδους. ἔτι δὲ τοῖς θεοῖς ἀπεικάζων ἐπωνόμαζεν, ὡς Ἀπόλλωνα μὲν τὴν μονάδα οὖσαν, Ἄρτεμιν δὲ τὴν δυάδα . . . τὴν δὲ ἑξάδα Γάμον καὶ Ἀφροδίτην, τὴν δὲ ἑβδομάδα Καιρὸν καὶ Ἀθηνᾶν, Ἀσφάλειον δὲ Ποσειδῶνα τὴν ὀγδοάδα καὶ τὴν δεκάδα Παντέλειαν. αὐτοῦ δὲ πάλιν τοῦ ἀριθμοῦ τὸν μὲν ἄρτιον ἀτελῆ, πλήρη δὲ καὶ τέλειον ἀπέφηνε τὸν περιττόν, ὅτι μιγνύμενός τε πρὸς τὸν ἄρτιον ἀεὶ ποιεῖται περικρατεῖν τὸν ἐξ ἀμφοῖν περισσόν, αὐτῷ τε πάλιν συντιθέμενος γεννᾷ τὸν ἄρτιον, ὁ δ' ἄρτιος οὐδέποτε τὸν περισσὸν ὡς οὐ γόνιμος ὢν οὐδ' ἔχων δύναμιν ἀρχῆς. ὥστε ἐν τῷ διαιρεῖσθαι δίχα πολλοὶ τῶν ἀρτίων εἰς περισσοὺς τὴν ἀνάλυσιν λαμβάνουσιν, ὡς

Ἔχεται δὲ τῆς αὐτῆς θεωρίας καὶ Ἀριθμητικὴ καὶ Μουσική, ἃς καὶ Πυθαγόρας διαφερόντως ἐτίμησεν. ἴδωμεν οὖν εἰ καὶ τούτων ἔστι παρὰ τῷ ποιητῇ λόγος. ἀλλὰ μὴν πλεῖστος· ὀλίγα δὲ ἐκ πολλῶν παρατεθέντα ἐξαρκέσει. ὁ γὰρ Πυθαγόρας τοὺς ἀριθμοὺς μεγίστην δύναμιν ἔχειν ἡγούμενος καὶ πάντα εἰς ἀριθμοὺς ἀναφέρων, τῶν τε ἄστρων τὰς περιόδους καὶ τῶν ζῴων τὰς γενέσεις, δύο τὰς ἀνωτάτω ἀρχὰς ἐλάμβανε, τὴν μὲν ὡρισμένην μονάδα τὴν δ' ἀόριστον δυάδα καλῶν, τὴν μὲν ἀγαθῶν τὴν δὲ κακῶν οὖσαν ἀρχήν. ἡ μὲν γὰρ τῆς μονάδος φύσις ἐγγενομένη τῷ μὲν περιέχοντι εὐκρασίαν, ψυχαῖς δ' ἀρετήν, σώμασι δ' ὑγίειαν, πόλεσι δὲ καὶ οἴκοις εἰρήνην καὶ ὁμόνοιαν παρέσχε· πᾶν γὰρ ἀγαθὸν συμφωνίας οἰκεῖόν ἐστιν. ἡ δὲ τῆς δυάδος πᾶν τοὐναντίον, ἀέρι χειμῶνα, ψυχαῖς

ὁ ἑξκαίδεκα, τῶν δὲ περισσῶν εἰς ἀρτίους οὐδείς· ἀδιαίρετον γὰρ ἡ ἀρχὴ καὶ τὸ στοιχεῖον εἰς ἕτερα, τοῖς δ' ἄλλοις εἰς τὰ αὐτὰ πᾶσιν αἱ διαλύσεις. ἔτι δὲ τῇ μονάδι τῶν ἐφεξῆς περισσῶν γνωμόνων περιτιθεμένων ὁ γινόμενος ἀεὶ τετράγωνός ἐστι· τῶν δ' ἀρτίων ὁμοίως περιτιθεμένων ἑτερομήκεις καὶ ἄνισοι πάντες ἀποβαίνουσιν, ἴσος δ' ἰσάκις οὐδείς. καὶ μὴν εἰς δύο διαιρουμένων ἴσα, τοῦ μὲν περισσοῦ μονὰς ἐν μέσῳ περίεστι, τοῦ δ' ἀρτίου κενὴ λείπεται χώρα καὶ ἀδέσποτος καὶ ἀνάριθμος, ὡς ἂν ἐνδεοῦς καὶ ἀτελοῦς ὄντος. περὶ δὴ τοῦ κοινοῦ λόγου τῶν ἀριθμῶν τοῦτον διέξεισι τὸν τρόπον.

κακίαν, σώμασι νόσους, πόλεσι δὲ καὶ οἰκίαις στάσεις καὶ ἔχθρας ἐγέννησε· πᾶν γὰρ κακὸν ἐκ διαστάσεως καὶ διαφορᾶς γίνεται. ὅθεν καὶ τῶν ἐφεξῆς ἀριθμῶν τὸν μὲν ἄρτιον ἐνδεᾶ καὶ ἀτελῆ, τὸν δὲ περισσὸν πλήρη τε καὶ τέλειον ἀπέφηνεν, ὅτι μιγνύμενός τε πρὸς τὸν ἄρτιον ἀεὶ τὴν ἑαυτοῦ δύναμιν διασῴζει. τοῦ περισσοῦ καὶ ἐν τούτοις ἐπικρατοῦντος· ἑαυτῷ τε συντιθέμενος γεννᾷ τὸν ἄρτιον· γόνιμος γάρ ἐστι καὶ ἔχει δύναμιν ἀρχῆς καὶ διαίρεσιν οὐκ ἐπιδέχεται, ἀεὶ τῆς μονάδος ἐν αὐτῷ περιούσης. ὁ δὲ ἄρτιος οὔτε γεννᾷ ποτε τὸν περισσὸν συντιθέμενος ἑαυτῷ οὔτε ἐστὶν ἀδιαίρετος.

Hos locos primus Dielesius comparavit, post eum alii, velut Wachsmuthius, qui in ea re a Dielesio pendet, Baedorfius, qui cum Stobaei eclogam ex Vita fluxisse censuit, a vero aberravit, fort. alii. Melius iudicavit, ut par erat, Dielesius 'genuinam magis esse Stobaei eclogam, Plutarchi (i. e. Vitae) amplificatam et variatam'; qui si Plutarchi dicendi consuetudinem melius cognovisset, non dubito quin veritatem inventurus fuerit. Nam Stobaei excerptum ex Plutarchi veri et sinceri scripto desumptum est. Primum enim de eisdem rebus non semel Plutarchus scripsit

(infra producam locum luculentissimum); tum verbis non solum huius excerpti sed etiam aliorum eisdem idem alibi usus est; postremo, id quod non parvi momenti est, non solum hac in ecloga sed etiam in aliis ex eodem ut videtur scripto excerptis hiatus prorsus evitatur, eodem modo quo in aliis quoque ex aliis Plutarchi libellis excerptis, nisi quod duos hiatus duae emendationes, altera Mullachii, altera Meinekii, invexerunt: *ποιεῖται ἐπικρατεῖν* pro *ποιεῖται περικρατεῖν* et *ὡς δὴ ἐνδεοῦς* pro *ὡς ἂν ἐνδεοῦς*. Sed neutra recta est; nam Vitae auctor *ἐπικρατεῖν* scripsit, non quod id exemplo in suo invenerat, sed quia *περικρατεῖν* verbum rarum et inusitatum videbatur. Plutarchus genuinus neque *ἐπικρατεῖν* neque *περικρατεῖν* dicit, sed *κρατεῖν*. Neque altera, Meinekianam dico, melior est, nam *ὡς ἂν* cum participio apud Plutarchum frequens est. Corr. vid. *ποιεῖ κρατεῖν*, ut *ποιεῖται περικρατεῖν* ex *ποιεῖ τὸν περι(ττὸν) κρατεῖν* ortum videatur. Sed in propositum. In auctoris Vitae oratione, cuius et res et verba ipsa ex Plutarcho sincero mutuatus est, nisi quod paullulum verborum ordinem et constructionem mutavit, videas quaeso hiatus hos: *ἐπιδέχεται ἀεί*: *ἑαυτῷ οὔτε*: *τὰς ἀνωτάτω ἀρχάς*, qui omnes compilatori debentur, nam Plutarchus ne uno quidem laborat. Quid quod ne *πλήρη τε καὶ τέλειον* quidem, sed *πλήρη δὲ καὶ τέλειον* verus Plutarchus dicit. Nunc componas mihi hunc locum ex p. 388a sq.: '*ἐπεὶ γάρ*' *ἔφην* '*εἰς τὸ ἄρτιον νενεμημένου παντὸς ἀριθμοῦ καὶ τὸ περιττὸν ἡ μὲν μονὰς ἀμφοτέρων ἐπίκοινός ἐστι τῇ δυνάμει (διὸ καὶ προστιθεμένη τὸν μὲν περιττὸν ἀριθμὸν ἄρτιον ποιεῖ τὸν δ' ἄρτιον περιττόν) ἀρχὴν δὲ τοῦ μὲν ἀρτίου τὰ δύο τοῦ δὲ περιττοῦ τὰ τρία ποιοῦνται, τὰ δὲ πέντε γεννᾶται τούτων πρὸς ἀλλήλους μιγνυμένων· εἰκότως ἔσχηκε τιμὴν πρῶτος ἐκ πρώτων ἀποτελούμενος, καὶ γάμος ἐπωνόμασται τῇ τοῦ ἀρτίου πρὸς τὸ θῆλυ περιττοῦ δ' αὖ πρὸς τὸ ἄρρεν*

ὁμοιότητι· ταῖς γὰρ εἰς ἴσα τομαῖς τῶν ἀριθμῶν, ὁ μὲν ἄρτιος πάντῃ διιστάμενος ὑπολείπει τινὰ δεκτικὴν ἀρχὴν οἷον ἐν ἑαυτῷ καὶ χώραν, ἐν δὲ τῷ περιττῷ ταὐτὸ παθόντι μέσον ἀεὶ περίεστι τῆς νεμήσεως γόνιμον· ἢ καὶ γονιμώτερός ἐστι τοῦ ἑτέρου, καὶ μιγνύμενος ἀεὶ κρατεῖ κρατεῖται δ' οὐδέποτε· γίγνεται γὰρ ἐξ ἀμφοῖν κατ' οὐδεμίαν μῖξιν ἄρτιος ἀλλὰ κατὰ πάσας περιττός. ἔτι δὲ μᾶλλον αὐτὸς ἐπιβάλλων αὑτῷ καὶ συντιθέμενος δείκνυσι τὴν διαφορὰν ἑκάτερος· ἄρτιος μὲν γὰρ οὐδεὶς ἀρτίῳ συνελθὼν περισσὸν παρέσχεν οὐδ' ἐξέβη τὸ οἰκεῖον ὑπ' ἀσθενείας ἄγονος ὢν ἑτέρου καὶ ἀτελής· περισσοὶ δὲ μιγνύμενοι περισσοῖς ἀρτίους πολλοὺς διὰ τὸ πάντῃ γόνιμον ἀποτελοῦσι.' Ubi vides et verba similia et sententias: μιγνύμενος ἀριθμός: συντιθέμενος: γεννᾶν: κρατεῖν et κρατεῖσθαι: ἀτελὴς et τέλειος: γόνιμος: μέσον περίεστι = μονὰς ἐν μέσῳ περίεστι: τοῦ δὲ ἀρτίου κενὴ λείπεται χώρα καὶ ἀδέσποτος = ὁ ἄρτιος — διιστάμενος ὑπολείπει τινὰ δεκτικὴν ἀρχὴν — καὶ χώραν cett. Sed ut omnis dubitatio eximatur cf. alterum locum hunc p. 288 c: ἢ καθάπερ οἱ Πυθαγορικοὶ τοῦ ἀριθμοῦ τὸν μὲν ἄρτιον θῆλυν ἄρρενα δὲ τὸν περιττὸν ἐνόμιζον; γόνιμος γάρ ἐστι καὶ κρατεῖ τοῦ ἀρτίου συντιθέμενος· καὶ διαιρουμένων εἰς τὰς μονάδας ὁ μὲν ἄρτιος καθάπερ τὸ θῆλυ χώραν μεταξὺ κενὴν ἐνδίδωσι, τοῦ δὲ περιττοῦ μόριον ἀεί τι πλῆρες ὑπολείπεται — —. ἢ ὅτι τῶν ἀριθμῶν ἁπάντων τὰ μὲν ἐννέα πρῶτός ἐστι τετράγωνος ἀπὸ περιττοῦ καὶ τελείου τῆς τριάδος, τὰ δ' ὀκτὼ πρῶτος κύβος ἀπὸ ἀρτίου τῆς δυάδος. atque p. 264 a. Denique cf. 'Les Scolies Genevoises' Tom. II p. 15, 21. Ceterum de numerorum ratione, eorum et deorum assimulatione, unus scriptor maxime consentit, ipse Plutarchus. Cf. p. 354 f: δοκῶ δ' ἔγωγε καὶ τὸ τὴν μονάδα τοὺς ἄνδρας ὀνομάζειν Ἀπόλλωνα καὶ τὴν δυάδα Ἄρτεμιν, Ἀθηνᾶν δὲ τὴν ἑβδομάδα, Ποσειδῶνα δὲ τὸν πρῶτον κύβον, ἐοικέναι τοῖς ἐπὶ τῶν ἱερῶν ἱδρυμένοις cett.; p. 381 f: οἱ δὲ Πυθαγό-

ϱειοι καὶ ἀϱιθμοὺς καὶ σχήματα θεῶν ἐκόσμησαν πϱοσηγοϱίαις. τὸ μὲν γὰϱ ἰσόπλευϱον τϱίγωνον ἐκάλουν Ἀθηνᾶν κοϱυφαγεννῆ καὶ τϱιτογένειαν — — — τὸ δ' ἓν Ἀπόλλωνα πλήθους ἀποφάσει καὶ δι' ἁπλότητα τῆς μονάδος· ἔϱιν δὲ τὴν δυάδα καὶ πόλεμον· δίκην δὲ τὴν τϱιάδα cett. De septenario numero (ἑβδομάς) cf. p. 738 d. 1027 e. f. Vit. Lycurg. c. 5 fin. De octonario cf. p. 354 f. 738 f. (mea in edit.). Vit. Thes. c. 36 fin. Denique de senario cf. p. 1018 c. Quae statim de numero binario et de unitate dicuntur cf. cum p. 370 e. 428 f.

Sed antequam ad alia Stobaei excerpta transeamus, operae pretium est quae eodem in capite proxime sequuntur inspicere. Pergit hunc in modum:

Vit. Hom. c. 145:

Ἀεὶ δὲ τῷ πεϱισσῷ ἀϱιθμῷ χϱῆται ὡς κϱείσσονι· καὶ γὰϱ τὸν σύμπαντα κόσμον πέντε μοίϱας ἔχοντα ποιῶν, τὰς τϱεῖς τούτων οὔσας μέσας διαιϱεῖ, 'τϱιχθὰ δὲ πάντα δέδασται, ἕκαστος δ' ἔμμοϱε τιμῆς' (O 189). Cf. cap. 97: καὶ ὅτι ἐν τῇ τοῦ παντὸς νομῇ Ζεὺς μὲν ἔλαχε τὴν τοῦ πυϱὸς οὐσίαν, Ποσειδῶν δὲ τὴν τοῦ ὕδατος, Ἅιδης δὲ τὴν τοῦ ἀέϱος· τοῦτον γὰϱ λέγει 'ζόφον ἠεϱόεντα', ἐπειδὴ φῶς οἰκεῖον οὐκ ἔχει ἀλλ' ὑπὸ ἡλίου καὶ σελήνης καὶ τῶν ἄλλων ἄστϱων καταλάμπεται. τετάϱτη δὲ κατελείφθη καὶ κοινὴ πάντων ἡ γῆ. Cf.

De E ap. Delphos p. 390 c:

'Οἷον' εἶπον '— πεπόνθαμεν, ὀλίγου παϱελθόντες τὸν Ὅμηϱον, ὡς οὐχὶ πϱῶτον εἰς πέντε νείμαντα μεϱίδας τὸν κόσμον, ὃς τὰς μὲν ἐν μέσῳ τϱεῖς ἀποδέδωκε τοῖς τϱισὶ θεοῖς, δύο δὲ τὰς ἄκϱας, Ὄλυμπον καὶ γῆν, ὧν ἡ μὲν ἐστι τῶν κάτω πέϱας ἡ δὲ τῶν ἄνω, κοινὰς καὶ ἀνεμήτους ἀφῆκεν' (= p. 422 f. cf. Vit. Pomp. c. 53). Stob. I 10, 11 (p. 121 Wachsm.): ἀέϱα δὲ τὸν Ἀιδωνέα, ἐπειδὴ φῶς οἰκεῖον οὐκ ἔχει ἀλλ' ὑπὸ ἡλίου καὶ σελήνης καὶ ἄστϱων καταλάμπεται (cf. I XLIX = p. 448, 11 Wachsm.). Add. p. 279 a: ἢ καθάπεϱ 'Ομήϱῳ

). 94. De numero autem ɔari ut praestantiore li- lum peculiarem scripsisse Plutarchus; vid. Lam- ɩe index nr. 74.	πεποίηται τὸ 'γαῖα δ' ἔτι ξυνὴ πάντων', ὅπως οἱ ἄνθρωποι — τιμῶσι τὴν γῆν κοινῶς ἔχοντες. Ceterum cf. Stob. I 21,4 (p. 183 W.).

his laciniis, quamquam omnes ad Plutarchum re-unt, missis, eiusdem capitis ultima verba compo-us:

Vit. Hom. c. 145:	Quaestiones convivales p. 744 a:
! δήποτ' οὖν ἐστιν ὁ ἐννέα ἀριθμὸς τελειό-; ὅτι ἐστὶν ἀπὸ τοῦ ɔυ περισσοῦ τετράγω- καὶ περισσάκις περισ-ɛὶς τρεῖς διαιρούμενος ɩς, ὧν ἑκάστη πάλιν ɛῖς μονάδας διαιρεῖται.	Πᾶσι γὰρ διὰ στόματός ἐστι καὶ πάσαις ὑμνούμενος ὁ τῆς ἐννεάδος ἀριθμός, ὡς πρῶτος ἀπὸ πρώτου περισσοῦ τετράγωνος ὢν καὶ περισσάκις περισσός, ἅτε δὴ τὴν διανομὴν εἰς τρεῖς ἴσους λαμβάνων περισσούς. Cf. etiam p. 288 d. 744 e.

dem igitur vides, quam primum Porphyrium in am invexisse contendunt, inde a Plutarchi tem-s in omnium ore et virorum et feminarum esse. dubitandum est unde Vitae auctor, quae de e dicit, hauserit? Minime sane.
ɑiamus ad alterum:

35,10 (p. 292 W.):	Vit. Hom. c. 124:
ὑτως δὲ καὶ Ὅμηρος · τὸ μὲν γὰρ τῶν ἀεὶ δέμας προσ-, ὡς ἐν τούτοις οὔ ἑθέν ἐστι χε-ρείων, ας οὐδὲ φυήν' (*A* 114 sq).	Καὶ τοῦτο δ' Ὅμηρος πρῶτος ἐδήλωσε· τὸ μὲν γὰρ τῶν ζώντων ἀεὶ δέμας προσαγορεύει, ὡς ἐν τούτοις 'οὐ δέμας οὐδὲ φυήν' — — τὸ δ' ἀποβεβληκὸς τὴν ψυχὴν οὐδὲν ἄλλο ἢ σῶμα καλεῖ ὡς ἐν τούτοις

τὸ δὲ ἀποβεβληκὸς τὴν ψυχὴν σῶμα καλεῖ 'σῶμα δὲ οἴκαδ' ἐμὸν δόμεναι πάλιν, ὄφρα πυρός με Τρῶες καὶ Τρώων ἄλοχοι λελάχωσι θανόντα'· τὸ γὰρ αὐτὸ τῆς ψυχῆς δεσμὸς μὲν ἦν καὶ δέμας κρατουμένης, σῶμα δὲ ἀπολείπεται, τουτέστι σῆμα καὶ ἴχνος, ἀπελθούσης.	'σῶμα δὲ οἴκαδ' ἐμὸν δόμεναι πάλιν' — — — τὸ γὰρ αὐτὸ ζῶντος μὲν τοῦ ἀνθρώπου δεσμὸς ἦν τῆς ψυχῆς, τελευτήσαντος δ' ὡσπερεὶ σῆμα καταλείπεται.

Quae simillima ut ovum ovo esse quis non videt? Nunc componas mihi locum Plutarcheum hunc (Vol. VII p. 22, 14): *ἀπολύεσθαι γὰρ τὸν ἀποθνήσκοντα καὶ τὴν τελευτὴν ἀπόλυσιν καλοῦσιν, ἂν δὲ ἔρημαι σώματος* (corrupta, fort. *ὡς ἂν δεσμοῦ τοῦ σώματος ὄντος*)· *τοῦτο γὰρ 'δέμας' ὀνομάζουσιν, ὡς 'δεδεμένης' ὑπ' αὐτοῦ τῆς ψυχῆς ἐνταῦθα παρὰ φύσιν.* Cf. etiam p. 23, 22. 25, 9. 926c. Platon. Phaed. p. 67d. Gorg. p. 493a. Cratyl. p. 400b. Theodoret. Graec. Affect. cur. p. 544. Clem. Alex. p. 434. Macrob. Somn. Scip. I 11.

Nunc duos locos subiungam, alterum ex Stobaei Florilegio Plutarchi nomine insigni praemisso notabilem, alterum ex Vita, quo melius Vitae auctoris in excerpendo non semper sibi constantis ratio intellegatur.

Stob. Flor. 33, 17:	Vit. Hom. c. 149:
Πλουτάρχου. Περὶ τῆς καθ' Ὅμηρον ἐχεμυθίας διὰ τούτων σαφῶς δείκνυται· λέγει γὰρ '*Θερσῖτ' ἀκριτόμυθε, λιγύς περ ἐὼν ἀγορητὴς ἴσχεο, μηδ' ἔθελ' οἶος ἐριζέμεναι βασιλῆι*'.	*Ἐπεὶ δ' ἐν τούτοις καὶ Πυθαγόρου ἐμνημονεύσαμεν, ᾧ μάλιστα ἤρεσκεν ἡ ἐχεμυθία καὶ τὸ σιγᾶν ἃ μὴ χρὴ λέγειν, θεασώμεθα εἰ καὶ Ὅμηρος ταύτην ἔσχε τὴν γνώμην. ἐπί τε γὰρ τῶν παροινούντων ἔφη*

καὶ τοῦ Τηλεμάχου εἰπόντος
'ἦ μάλα τις θεῶν ἔνδον, οἳ οὐρανὸν εὐρὺν ἔχουσιν'
ἐπιλαμβανόμενος ὁ πατὴρ ἔφη
'σίγα καὶ κατὰ σὸν νόον ἴσχανε μηδ' ἐρέεινε·
αὕτη τοι δίκη ἐστὶ θεῶν οἳ Ὄλυμπον ἔχουσι'.
τοῦτο ἐκσίγησιν (corr. Gomperzius: ἐξήγησιν) οἱ Πυθαγορικοὶ καλοῦντες οὐδὲν ἀπεκρίνοντο τοῖς περὶ θεῶν ὅ τι τύχοιεν ἰταμῶς καὶ εὐχερῶς ἐρωτῶσι.

'καί τι ἔπος προέηκεν ὅπερ τ' ἄρρητον ἄμεινον'·
καὶ τῷ Θερσίτῃ ἐπιπλήττει
'ἴσχεο,
Θερσῖτ' ἀκριτόμυθε, λιγύς περ ἐὼν ἀγορητής'·
καὶ τοῦ Ἰδομενέως καθαπτόμενος ὁ Αἴας λέγει
— — — — —
διὸ καὶ τοὺς φρονιμωτάτους ἐγκρατεστάτους γλώσσης πεποίηκε· καὶ τὸν Ὀδυσσέα τῷ υἱῷ διακελευόμενον
— — — — —
καὶ πάλιν αὐτῷ παραινεῖ
'σίγα καὶ κατὰ σὸν νόον ἴσχανε μηδ' ἐρέεινε'.
Cf. p. 25c.

Reliqua Stobaei excerpta aut a Vitae auctore confirmantur aut ab ipso Plutarcho, ut in utriusque generis eclogis facile Plutarchus genuinus agnoscatur. Videamus singula.

Stob. I 21,4 (p. 183 W.):

Ὅμηρός φησι πεπερασμένον εἶναι τὸν κόσμον, δηλοῦται δὲ διὰ τούτων
'τριχθὰ δὲ πάντα δέδασται, ἕκαστος δ' ἔμμορε τιμῆς'
(O 189).
τοῦτο τοίνυν ἑνὶ στίχῳ διαρ-

Vit. Hom. c. 103. 97. 94:

Καὶ τοῦτο ὑποδεικνὺς Ὅμηρος φαίνεται ὅτι εἷς ἐστιν ὁ κόσμος καὶ πεπερασμένος. εἰ γὰρ ἄπειρος ἦν, οὐκ ἂν εἰς ἀριθμὸν πέρας ἔχοντα διῃρεῖτο.[1]) De intermediis vid. p. XIV. Cap. 97:

1) Videtur aut post διῃρεῖτο excidisse versus
'τριχθὰ δὲ πάντα δέδασται, ἕκαστος δ' ἔμμορε τιμῆς'
aut post ἔχοντα supplendum πάντα.

ῥήδην ἐδήλωσεν, τὸ γὰρ ἄπειρον οὐκ ἔστιν εἰς μοίρας διελεῖν. καὶ ἐν τούτοις δὲ τὸ αὐτὸ σημαίνει (sequuntur versus O 190—192)

'γαῖα δ' ἔτι ξυνὴ πάντων
καὶ μακρὸς Ὄλυμπος'

ὡς τῶν ἐν μέσῳ φύσεων πεποιημένος τὴν νέμεσιν τὰ δ' ἄκρα καὶ περατοῦντα ἀνέμητα καταλελοιπώς. καὶ εἶναι τὴν γῆν μὲν κατωτάτω πάντων τὸν δ' Ὄλυμπον ἀνωτάτω δεδήλωκεν ἐν τούτῳ·

'ἀλλ' ὅτε κεν (δὴ Homerus) καὶ ἐγὼ πρόφρων
ἐθέλοιμι ἐρύσσαι,
αὐτῇ κεν γαίῃ ἐρύσαιμ'
αὐτῇ τε θαλάσσῃ·
σειρὴν μέν κεν ἔπειτα περὶ
ῥίον Οὐλύμποιο
δησαίμην, τὰ δέ κ' αὖτε
μετήορα πάντα γένοιτο'
(Θ 23—26).

τὴν γὰρ γῆν μετέωρον γενήσεσθαί φησιν ἐξ ἕδρας ἀνασπασθεῖσαν ὡς τὴν κατωτάτω.

Καὶ ὅτι ἐν τῇ τοῦ παντὸς νομῇ Ζεὺς μὲν ἔλαχε τὴν τοῦ πυρὸς οὐσίαν — — — τετάρτη δὲ κατελείφθη καὶ κοινὴ πάντων ἡ γῆ — — — ὥστε κατὰ τὸ εἰκὸς κοινὰ ὑπέθετο εἶναι, τήν τε γῆν κατωτάτω — καὶ τὸν Ὄλυμπον ἀνωτάτω. Cap. 94: Ὅτι μὲν γὰρ ἡ γῆ κατωτάτω πάντων ἐστὶ θεασόμεθα· σφαιροειδοῦς γὰρ ὄντος τοῦ κόσμου ὁ μὲν περιέχων τὰ πάντα οὐρανὸς τὸν ἄνω τόπον ἐπέχειν εἰκότως λέγοιτ' ἄν, ἡ δὲ γῆ — κατωτέρω τοῦ περιέχοντός ἐστι. τοῦτο δὴ ὁ ποιητὴς ἐν τούτοις μάλιστα δηλοῖ, ἐν οἷς φησιν, εἰ ὁ Ζεὺς ἀπὸ τοῦ Ὀλύμπου σειρὰν ἀνάψαιτο, τὴν γῆν καὶ τὴν θάλασσαν ἀνασπάσειν ὡς πάντα μετέωρα γενέσθαι·

'ἀλλ' ὅτε κεν καὶ ἐγὼ πρόφρων ἐθέλοιμι ἐρύσσαι,
αὐτῇ κεν γαίῃ ἐρύσαιμ'
αὐτῇ τε θαλάσσῃ·
σειρὴν μὲν κεν ἔπειτα περὶ
ῥίον Οὐλύμποιο
δησαίμην, τὰ δέ κ' αὖθι
μετήορα πάντα γένοιτο'.

Stob. I prooem. 2 (p. 16 W.):

Ὅτι καὶ τὴν περὶ τοὺς ἀριθμοὺς θεωρίαν Ὅμηρος ἠπίστατο, τοὺς μὲν ἐχθροὺς καὶ πολεμίους 'ἀναρσίους' προσαγορεύων

'ἠδ' ὅσ' ἀνάρσιοι ἄνδρες ἐδηλήσαντ' ἐπὶ χέρσου' (*κ* 459)

τὸν δ' ἵλεων (correxi: *ἵλεω*) *καὶ φιλικὸν 'ἄρθμιον'*

'ἤκαχε Θεσπρωτούς, οἱ δ' ἡμῖν ἄρθμιοι ἦσαν' (*π* 427)

καὶ πάλιν

'ἠ μὲν ἐμαρνάσθην ἔριδος περὶ θυμοβόροιο
ἠδ' αὖτ' ἐν φιλότητι διέτμαγεν ἀρθμήσαντε' (*Η* 301),

ἀναρμοστίαν μὲν τὴν ἔχθραν ἡγούμενος ἁρμονίαν δὲ τὴν φιλίαν· τὸ γὰρ ἄρθμιον ἐναρμόνιόν ἐστιν, ἅτε δὴ πάσης ἁρμονίας ἐν λόγοις ἀριθμῶν τὴν γένεσιν ἐχούσης.

Plut. Mor. p. 1030 a:

Τὸ μὲν γὰρ ἀριθμῷ πάντα ἐπεοικέναι κατὰ τὴν Πυθαγορικὴν ἀπόφανσιν λόγου δεῖται· τὸ δὲ πᾶσιν, οἷς ἐκ διαφορᾶς καὶ ἀνομοιότητος ἐγγέγονε κοινωνία τις πρὸς ἄλληλα καὶ συμφωνία, ταύτης αἰτίαν εἶναι μετριότητα καὶ τάξιν, ἀριθμοῦ καὶ ἁρμονίας μετασχοῦσιν, οὐδὲ τοὺς ποιητὰς λέληθεν 'ἄρθμια' μὲν τὰ φίλα καὶ προσηνῆ καλοῦντας 'ἀναρσίους' δὲ τοὺς ἐχθροὺς καὶ τοὺς πολεμίους, ὡς ἀναρμοστίαν τὴν διαφορὰν οὖσαν.

Neque dubitandum est quin etiam Stob. Flor. **11**, 24 de veritate quid sentiat Homerus eodem ex fonte petitum sit. Cf. p. 32 b. 49 a: *Εἰ δὲ θεῖον ἡ ἀλήθεια καὶ πάντων μὲν ἀγαθῶν θεοῖς πάντων δ' ἀνθρώποις ἀρχὴ κατὰ Πλάτωνα* cett. p. 208 d: *Ἀλλὰ μὴν δεῖ τοὺς βασιλεῖς ἐπιτελεῖν ὅ τι κεν κεφαλῇ κατανεύσωσιν* et Wytt.

animadversionem. Ceterum cf. p. 32a. Vit. Mar. c. 29. Vit. Artox. c. 28.

Haec sunt Stobaei excerpta, quae originem Plutarcheam produnt. Multo plura essent, si Stobaei opus incolume et integrum superesset. De vestigiis quibusdam quae supersunt infra dicam. Quae omnia ex libro Plutarcheo, fort. *Ὁμηρικῶν μελετῶν*, sumpsisse et excerpsisse Stobaeum eadem ratione qua alia Plutarchi fragmenta satis demonstratum est; neque dubitari licet quin Stobaeus ipse neque invenerit neque excerpserit, sed ab aliis inventas et excerptas eclogas (velut Homericas a Plutarcho in *Ὁμηρικῶν μελετῶν* libris) in suum usum accommodaverit. Nunc alios locos ex Vita Homeri sumptos afferam, quorum originem Plutarcheam ex locis Plutarchi Moralium similibus comprobabo. Sunt autem plerique omnes ex ordine collocati hi:

Vit. Hom. c. 112:	Mor. p. 20e. 160a:
Θεοὺς εἶναι πάντες οἵ γε ὀρθῶς φρονοῦντες νομίζουσι, καὶ πρῶτος Ὅμηρος. ἀεὶ γὰρ μέμνηται τῶν θεῶν, λέγων	*Καὶ νοεῖς νὴ Δία καὶ λέγεις κρεῖττον ἀλλαχόθι καὶ βέλτιον τὰ τοιαῦτα*
'μάκαρες θεοί' 'ῥεῖα ζώοντες'.	*'θεοὶ ῥεῖα ζώοντες'*
ἀθάνατοι γὰρ ὄντες ῥαδίαν καὶ ἄπαυστον ἔχουσι τὴν τοῦ ζῆν φύσιν καὶ οὐ δέονται τροφῆς, ἧς δεῖται τῶν θνητῶν ζῴων τὰ σώματα·	*— — αὗται γάρ εἰσιν ὑγιαίνουσαι περὶ θεῶν δόξαι καὶ ἀληθεῖς.* P. 160a: *Οἶμαι γὰρ εἰς τοσαῦτα βλέψαντα τὸν Ὅμηρον ἀποδεῖξαι κεχρῆσθαι περὶ θεῶν τοῦ μὴ ἀποθνήσκειν τῷ μὴ τρέφεσθαι·*
'οὐ γὰρ σῖτον ἔδουσ', οὐ πίνουσ' αἴθοπα οἶνον· τοὔνεκ' ἀναίμονές εἰσι καὶ ἀθάνατοι καλέονται'.	*'οὐ γὰρ σῖτον ἔδουσ', οὐ πίνουσ' αἴθοπα οἶνον· τοὔνεκ' ἀναίμονές εἰσι καὶ ἀθάνατοι καλέονται'.*

Cf. Schol. Hom. B: *Οὐ διὰ τὸ μὴ ἄρτον αὐτοὺς ἐσθίειν μήτε οἶνον πίνειν θεοὶ ὑπάρχουσιν, ἀλλὰ διὰ τὸ ἀθανάτους εἶναι τῶν τοιούτων τροφῶν ἀπέχονται.*

Vit. Hom. c. 123:

Ἐναργέστατα δὲ κἀκεῖνο ἀπέφηνεν, ὅτι τὸν ἄνθρωπον οὐδὲν ἄλλο ἢ τὴν ψυχὴν νομίζει, ἐν οἷς λέγει

'ἦλθε δ' ἐπὶ ψυχὴ Θηβαίου Τειρεσίαο,
χρύσεον σκῆπτρον ἔχων'·

ἐπίτηδες γὰρ ἀπὸ τοῦ τῆς ψυχῆς ὀνόματος εἰς τὸ ἀρρενικὸν μετέβαλεν, ἵνα δείξῃ ὅτι ἡ ψυχὴ ἦν ὁ Τειρεσίας. καὶ ἐν τοῖς ἑξῆς πάλιν

'τὸν δὲ μετ' εἰσενόησα βίην Ἡρακληείην,
εἴδωλον· αὐτὸς δὲ μετ' ἀθανάτοισι'·

καὶ γὰρ ἐν τούτοις πάλιν ἐδήλωσεν, ὅτι τὸ μὲν εἴδωλον, ὅπερ ἦν ἀποπεπλασμένον τοῦ σώματος, οὐκέτι τῆς ἐκείνου ὕλης ἐφελκόμενον ἐφαντάζετο· τὸ δὲ καθαρώτατον τῆς ψυχῆς ἀπελθὸν αὐτὸς ἦν ὁ Ἡρακλῆς.

Mor. p. 944f:

Καὶ Ὅμηρος ὧν εἶπε πάντων μάλιστα δὴ κατὰ θεὸν εἰπεῖν ἔοικε περὶ τῶν καθ' Ἅιδου

'τὸν δὲ μετ' εἰσενόησα βίην Ἡρακληείην,
εἴδωλον· αὐτὸς δὲ μετ' ἀθανάτοισι θεοῖσιν'.

αὐτός τε γὰρ ἕκαστος ἡμῶν οὐ θυμός ἐστιν οὐδὲ φόβος οὐδ' ἐπιθυμία — — ἀλλ' ᾧ διανοούμεθα καὶ φρονοῦμεν· ἥ τε ψυχὴ τυπουμένη μὲν ὑπὸ τοῦ νοῦ τυποῦσα δὲ τὸ σῶμα καὶ περιπτύσσουσα πανταχόθεν ἐκμάττεται τὸ εἶδος· ὥστε κἂν πολὺν χρόνον χωρὶς ἑκατέρου γένηται, διατηροῦσα τὴν ὁμοιότητα καὶ τὸν τύπον, εἴδωλον ὀρθῶς ὀνομάζεται.

Vit. Hom. c. 212:

Οὐδὲ ταῦτα οὖν Ὅμηρος ἠγνόησεν· ἀλλ' οἶδε μὲν μάντεις καὶ ἱερεῖς καὶ ὀνειροπόλους, ἔτι δὲ καὶ οἰωνιστάς καί τινα ἐν Ἰθάκῃ σοφὸν

'ὄρνιθας γνῶναι, καὶ ἐναίσιμα μυθήσασθαι'·

καὶ Ὀδυσσεύς φησιν εὐχόμενος

'φήμην τίς μοι φάσθω ἐγειρομένων ἀνθρώπων ἔνδοθεν, ἔκτοσθεν δὲ Διὸς τέρας ἄλλο φανήτω'.

καὶ πταρμὸς δὲ παρ' αὐτῷ σύμβολον ἀγαθὸν γίνεται. τοῖς δὲ μνηστῆρσιν ἐφίσταται ἔνθεος μάντις, ἔκ τινος ἐπιπνοίας σημαίνων τὰ μέλλοντα· ἐπεὶ δὲ καὶ ὁ Ἕλενος αὐτήκοός φησι θείας φωνῆς γεγονέναι

'ὣς γὰρ ἐγὼν ὄπ' ἄκουσα θεῶν αἰειγενετάων',

παρέχει πιστεύειν ὅτι καὶ Σωκράτης ἀπὸ τῆς τοῦ δαιμονίου φωνῆς ἐμαντεύετο.

Mor. p. 593c:

Φαίνεται δὲ γιγνώσκων καὶ Ὅμηρος ἣν λέγομεν διαφορὰν ἡμεῖς· τῶν γὰρ μάντεων οἰωνοπόλους τινὰς καλεῖ καὶ ἱερεῖς, ἑτέρους δὲ τῶν θεῶν αὐτῶν διαλεγομένων συνιέντας καὶ συμφρονοῦντας ἀποσημαίνειν οἴεται τὸ μέλλον, ἐν οἷς λέγει — —

'ὣς γὰρ ἐγὼν ὄπ' ἄκουσα θεῶν αἰειγενετάων'·

ὥσπερ γὰρ — — τοῖς πιστοῖς καὶ συνήθεσιν αὐτοὶ (οἱ βασιλεῖς καὶ οἱ στρατηγοὶ) φράζουσιν, οὕτω τὸ θεῖον ὀλίγοις ἐντυγχάνει δι' αὑτοῦ καὶ σπανίως, τοῖς δὲ πολλοῖς σημεῖα δίδωσιν, ἐξ ὧν ἡ λεγομένη μαντικὴ συνέστηκε.

Stob. I 10,11[b] (p. 121 W.):

'Τέσσαρα τῶν πάντων ῥιζώματα πρῶτον ἄκουε, Ζεὺς ἀργὴς Ἥρη τε φερέσβιος ἠδ' Ἀιδωνεὺς

Vit. Hom. cap. 97. 93. 99. 100:

De verbis *τέσσαρα τῶν πάντων ῥιζώματα — — φερέσβιον τὴν γῆν* cf. De Daedalis Plat. c. 4. Theo-

*Νῆστίς θ', ἣ δακρύοις τέγγει, κρούνωμα βρότειον·
τῶν δὲ συνερχομένων ἐξ ἔσχατον ἵστατο νεῖκος'.*

Ἐμπεδοκλῆς Δία μὲν λέγει τὴν ζέσιν καὶ τὸν αἰθέρα, Ἥρην δὲ φερέσβιον τὴν γῆν, ἀέρα δὲ τὸν Ἀιδωνέα, ἐπειδὴ φῶς οἰκεῖον οὐκ ἔχει ἀλλ' ὑπὸ ἡλίου καὶ σελήνης καὶ ἄστρων καταλάμπεται, Νῆστιν δὲ καὶ 'κρούνωμα βρότειον' τὸ σπέρμα καὶ τὸ ὕδωρ. ἐκ τεσσάρων οὖν στοιχείων τὸ πᾶν, τῆς τούτων φύσεως ἐξ ἐναντίων συνεστώσης, ξηρότητός τε καὶ ὑγρότητος καὶ θερμότητος καὶ ψυχρότητος ὑπὸ τῆς πρὸς ἄλληλα ἀναλογίας καὶ κράσεως ἐναπεργαζομένης τὸ πᾶν καὶ μεταβολὰς μὲν μερικὰς ὑπομενούσης, τοῦ δὲ παντὸς λύσιν μὴ ἐπιδεχομένης. λέγει γὰρ οὕτως

*'ἄλλοτε μὲν φιλότητι συνερχόμεν' εἰς ἓν ἅπαντα,
ἄλλοτε δ' αὖ δίχ' ἕκαστα φορεύμενα νείκεος ἔχθει'.*

Ὅμηρος δὲ τὴν φιλίαν καὶ τὸ νεῖκος τῶν τοῦ παντὸς μερῶν ἐν τούτοις αἰνίσσεται, ἐν οἷς φησιν ἡ Ἥρα

doret. Gr. Affect. cur. I 515 c (= p. 46, 30 Vol. VII). Zeller p. 199 adnot. Diels p. 88.

Cap. 97: . . . *Ἅιδης δὲ τὴν τοῦ ἀέρος (ἔλαχε) — ἐπειδὴ φῶς οἰκεῖον οὐκ ἔχει ἀλλ' ὑπὸ ἡλίου καὶ σελήνης καὶ τῶν ἄλλων ἄστρων καταλάμπεται.* Cap. 93: *Ἡ δὲ μάλιστα ἀληθὴς δόξα τέσσαρα στοιχεῖα συνίστησι, πῦρ ἀέρα ὕδωρ γῆν. ταῦτα δὲ καὶ Ὅμηρος εἰδὼς φαίνεται* (cf. p. 389 f. 427 sq. 951 c. Zeller p. 180 sq.). Cap. 99: *Τῆς δὲ τῶν στοιχείων φύσεως ἐξ ἐναντίων συνεστώσης, ξηρότητός τε καὶ ὑγρότητος καὶ θερμότητος καὶ ψυχρότητος, ὑπὸ δὲ τῆς πρὸς ἄλληλα ἀναλογίας καὶ κράσεως ἐναπεργαζομένης τὸ πᾶν καὶ μεταβολὰς μὲν μερικὰς ὑπομενούσης, τοῦ δὲ παντὸς λύσιν μὴ ἐπιδεχομένης, Ἐμπεδοκλῆς ἔφη τὰ ὅλα συνεστάναι οὕτως*

*'ἄλλοτε μὲν φιλότητι συνερχόμεν' εἰς ἓν ἅπαντα,
ἄλλοτε δ' αὖτις ἕκαστα φορεύμενα νείκεος ἔχθει'.*

'εἶμι γὰρ ὀψομένη πολυφόρβου πείρατα γαίης, Ὠκεανόν τε θεὸν γένεσιν καὶ μητέρα Τηθύν· τοὺς εἶμ' ὀψομένη καί σφ' ἄκριτα νείκεα λύσω' (Ξ 201).

Stob. I 10, 2 et 6 (p. 119. 120 W.):

'Ὠκεανός θ' ὅσπερ γένεσις πάντεσσι τέτυκται' (Ξ 246).

Ὅμηρος δὲ σημαίνει τὴν ἀνάλυσιν εἰς τὰ γεννητικὰ στοιχεῖα τοῦ παντὸς λέγων

'ἀλλ' ὑμεῖς μὲν πάντες ὕδωρ καὶ γαῖα γένοισθε' (Η 99).

— — Cap. 100: Πρὸ δὲ τούτου Ὅμηρος τὴν φιλίαν καὶ τὸ νεῖκος αἰνίσσεται ἐν οἷς φησιν ἡ Ἥρα παρ' αὐτῷ

'εἶμι γὰρ ὀψομένη πολυφόρβου πείρατα γαίης, Ὠκεανόν τε θεῶν γένεσιν καὶ μητέρα Τηθύν· τοὺς εἶμ' ὀψομένη καί σφ' ἄκριτα νείκεα λύσω'.

Vit. Hom. c. 93:

Ἀρξώμεθα τοίνυν ἀπὸ τῆς τοῦ παντὸς ἀρχῆς καὶ γενέσεως, ἣν Θαλῆς ὁ Μιλήσιος εἰς τὴν τοῦ ὕδατος οὐσίαν ἀναφέρει· καὶ θεασώμεθα εἰ πρῶτος Ὅμηρος τοῦθ' ὑπέλαβεν, εἰπών

'Ὠκεανός θ' ὅσπερ γένεσις πάντεσσι τέτυκται'.

μετ' ἐκεῖνον δὲ Ξενοφάνης ὁ Κολοφώνιος, ὑφιστάμενος τὰς πρώτας ἀρχὰς εἶναι τὸ ὕδωρ καὶ τὴν γῆν, ἔοικε σπάσαι τὴν ἀφορμὴν ταύτην ἐκ τῶν Ὁμηρικῶν τούτων

'ἀλλ' ὑμεῖς μὲν πάντες ὕδωρ καὶ γαῖα γένοισθε'·

σημαίνει γὰρ τὴν ἀνάλυσιν εἰς τὰ γεννητικὰ στοιχεῖα τοῦ παντός.

Cf. Mor. p. 364d: *Οἴονται δὲ καὶ Ὅμηρον ὥσπερ Θαλῆν μαθόντα παρ' Αἰγυπτίων ὕδωρ ἀρχὴν ἁπάντων καὶ γένεσιν τίθεσθαι.* p. 938e: *Ἀλλὰ σὺ τὸν Ἀρίσταρχον ἀγαπῶν ἀεὶ καὶ θαυμάζων οὐκ ἀκούεις Κράτητος ἀναγιγνώσκοντος 'Ὠκεανός, ὅσπερ γένεσις πάντεσσι τέτυκται'.* p. 1105a: *Αὐτὸ γὰρ τοῦτ' ἐστὶν ὃ δέδοικεν ἡ φύσις 'ἀλλ' ὑμεῖς μὲν πάντες ὕδωρ καὶ γαῖα γένοισθε', τὴν εἰς τὸ μὴ φρονοῦν μηδ' αἰσθανόμενον διάλυσιν τῆς ψυχῆς.*

Stob. I 25, 7 (p. 214 W.):	Vit. Hom. c. 105:
Ὅμηρος μὴ εἶναι πῦρ τὸν Ἥλιον ἀλλὰ φῶς καθαρώτατον. δείκνυσι δὲ τοῦτο σαφῶς διὰ τῶν ἐπῶν· λέγει γὰρ οὕτως *'σείων Πηλιάδα μελίην κατὰ δεξιὸν ὦμον* *δεινήν, ἀμφὶ δὲ χαλκὸς ἐλάμπετο εἴκελος αὐγῇ* *ἢ πυρὸς αἰθομένου ἢ ἠελίου ἀνιόντος'.* *τί οὖν φαίνεται ποιῶν ἄλλο ἢ τῇ διαζεύξει μαρτυρόμενος ὅτι πῦρ οὐ νομίζει τὸν ἥλιον ἀλλ' ἕτερον μὲν πυρός, φαινόμενον δ' ἐν ταῖς ἀνατολαῖς πυρώδη διὰ τὴν ὑγρότητα καὶ τὴν ἀναθυμίασιν, ᾗ μιγνύμενον ἐρυθραίνεται πᾶν τὸ λαμπρόν;*	*. . . Ἐξ ὧν δηλοῖ ὅτι οὐ πῦρ ἐστιν ὁ ἥλιος ἀλλ' ἑτέρα τις κρείσσων οὐσία· ὅπερ καὶ Ἀριστοτέλης ὑπέλαβεν· εἴ γε τὸ μὲν πῦρ ἐστιν ἀνωφερὲς καὶ ἄψυχον καὶ ἀδιάληπτον καὶ φθαρτόν, ὁ δὲ ἥλιος κυκλοφορητικὸς καὶ ἔμψυχος καὶ ἀίδιος καὶ ἄφθαρτος.* Cf. p. 400a: *Τὴν ἐξ ὑγρῶν ᾐνίξατο τροφὴν τοῦ ἡλίου καὶ γένεσιν καὶ ἀναθυμίασιν ὁ δημιουργός.*
Stob. I 22, 2 (p. 197 W.):	Vit. Hom. c. 95:
Ὅμηρος τὸν αἰθέρα τοῦ ἀέρος ὑψηλότερον εἶναί φησιν· εἴρηκε δ' οὕτως	*Ὑπὲρ δὲ τῆς γῆς ὄντος τοῦ ἀέρος, τὸν αἰθέρα ὑψηλότερον εἶναί φησιν οὕτως*

'εἰς ἐλάτην ἀναβὰς περιμήκετον, ἣ τότ' ἐν Ἴδῃ μακροτάτη πεφυυῖα δι' ἠέρος αἰθέρ' ἵκανεν' (Ξ 287).

ἐπέκεινα δὲ τοῦ αἰθέρος τὸν οὐρανὸν ὑπάρχειν ἀπεφήνατο· λέγει γὰρ τοιῶσδε

'ὣς οἱ μὲν μάρναντο· σιδήρειος δ' ὀρυμαγδὸς χάλκεον οὐρανὸν ἷκε δι' αἰθέρος ἀτρυγέτοιο' (Ρ 424).

ἐπὶ πᾶσι δὲ τὸν Ὄλυμπον ὑπάρχειν κατ' ἐξοχήν τινα καὶ θειότητα· φησὶ γὰρ οὕτως

'ἠερίη δ' ἀνέβη μέγαν οὐρανὸν Οὔλυμπόν τε'·

τὸ γὰρ ἀπωτάτω τῆς γῆς καὶ μήτε τὴν σκιὰν αὐτῆς μήτε τὰς ἀναθυμιάσεις προσδεχόμενον, ὡς ἀειλαμπὲς καὶ ὁλολαμπὲς Ὄλυμπον οἱ παλαιοὶ προσηγόρευσαν. τοῦτο δὲ καὶ δι' αὐτῶν (δι' ἄλλων susp. Wachsm.) δηλοῦται, ἐν οἷς φησι τοιῶσδε (sequuntur versus ζ 42—45, quos om. Vitae auctor).

'εἰς ἐλάτην ἀναβὰς περιμήκετον, ἣ τότ' ἐν Ἴδῃ ἀκροτάτῃ πεφυυῖα δι' ἠέρος αἰθέρ' ἵκανε'·

τοῦ δὲ αἰθέρος ἀνωτέρω τὸν οὐρανόν

'ὣς οἱ μὲν μάρναντο· σιδήρειος δ' ὀρυμαγδὸς χάλκεον οὐρανὸν ἷκε δι' αἰθέρος ἀτρυγέτοιο'·

καὶ ἔτι ἐν τούτῳ

'ἠερίη δ' ἀνέβη μέγαν οὐρανὸν Οὔλυμπόν τε'·

τὸ γὰρ καθαρώτερον τοῦ ἀέρος, ἀνωτάτω ὄν, καὶ τὸ μάλιστ' ἀπέχον τῆς γῆς καὶ τῶν ἐξ αὐτῆς ἀναθυμιάσεων ὡς ὅλον λαμπρόν φασιν Ὄλυμπον προσηγορεῦσθαι.

Vit. Hom. c. 142:

Οὕτω γὰρ προσεῖπε τὸν τῇ ἀπραξίᾳ ἀνωφελῆ ποιοῦντα τὴν ἀρετήν. ὁ δ' Ἀχιλλεὺς τὴν ἀπραξίαν ταύτην ὀδυρόμενός φησιν

'ἀλλ' ἧμαι παρὰ νηυσὶν ἐτώσιον ἄχθος ἀρούρης,
τοῖος ἐὼν οἷος οὔτις Ἀχαιῶν χαλκοχιτώνων'·

ἄχθεται γὰρ ὅτι τὴν ἀρετὴν κεκτημένος οὐ κέχρηται αὐτῇ, ἀλλὰ μηνίων τοῖς Ἀχαιοῖς

'οὔτε ποτ' εἰς ἀγορὴν πωλέσκετο κυδιάνειραν,
οὔτε ποτ' ἐς πόλεμόν γ', ἀλλὰ φθινύθεσκε φίλον κῆρ
αὖθι μένων, ποθέεσκε δ' ἀυτήν τε πτόλεμόν τε'.

Mor. p. 465e:

Ἐνίους δὲ καὶ τὸ μὴ πράσσειν αὐτὸ πολλάκις εἰς ἀθυμίαν καθίστησιν, ὡς τοῦτον

'αὐτὰρ ὁ μήνιε — — πόδας ὠκὺς Ἀχιλλεύς·
οὔτε ποτ' εἰς ἀγορὴν πωλέσκετο κυδιάνειραν,
οὔτε ποτ' ἐς πόλεμον ⟨γ'⟩, ἀλλὰ φθινύθεσκε φίλον κῆρ
αὖθι μένων, ποθέεσκε δ' ἀυτήν τε πτόλεμόν τε'.

καὶ λέγει περιπαθῶν ἐπὶ τούτῳ καὶ ἀσχάλλων αὐτός

'ἀλλ' ἧμαι παρὰ νηυσὶν ἐτώσιον ἄχθος ἀρούρης'.

Cf. Vit. Pyrrh. c. 13. Vit. Cleom. c. 34. Mor. p. 776e.

Vit. Hom. c. 151:

Τῆς δ' Ὁμήρου σοφίας κἀκεῖνα καταμαθεῖν ἔστι δείγματα, ὅτι καλὰ καὶ πολλὰ σοφῶν ἀνδρῶν ἀποφθέγματα προανεφώνησεν· οἷον τὸ ἕπου θεῷ

'ὅς κε θεοῖς ἐπιπείθηται, μάλα δ' ἔκλυον αὐτοῦ'.

καὶ μηδὲν ἄγαν

Mor. p. 164c:

Σπουδάζων δὲ (Χερσίας) τούτων (sc. *τοῦ 'μηδὲν ἄγαν', τοῦ 'γνῶθι σαυτόν' καὶ τοῦ 'ἐγγύα, πάρα δ' ἄτα') Ὅμηρον εὑρετὴν ἀποδείκνυσι καί φησι τὸν μὲν Ἕκτορα γιγνώσκειν ἑαυτόν· τοῖς γὰρ ἄλλοις ἐπιτιθέμενος*

'Αἴαντος ἀλέεινε μάχην Τελαμωνιάδαο'·

'καὶ δ' ἄλλῳ νεμεσῶ, ὅς κ' ἔξοχα μὲν φιλέησιν, ἔξοχα δ' ἐχθαίρησιν· ἀμείνω δ' αἴσιμα πάντα'.
καὶ ἐγγύα, πάρα δ' ἄτα
'δειλαί τοι δειλῶν γε καὶ ἐγγύαι ἐγγυάασθαι'.
καὶ τὸ τοῦ Πυθαγόρου πρὸς τὸν πυθόμενον τίς ἐστι φίλος ῥηθὲν ἄλλος ἐγώ
'ἶσον ἐμῇ κεφαλῇ'.

τὸν δ' Ὀδυσσέα τοῦ 'μηδέν ἄγαν' ἐπαινέτην τῷ Διομήδει παρακελεύεσθαι
'Τυδείδη, μήτ' ἄρ' με μάλ' αἴνεε μήτε τι νείκει'·
τὴν δ' ἐγγύην οἱ μὲν ἄλλοι λοιδορεῖν αὐτὸν ὡς πρᾶγμα δείλαιον καὶ μάταιον οἴονται λέγοντα
'δειλαί τοι δειλῶν γε καὶ ἐγγύαι ἐγγυάασθαι'
cett.
Eaedem sententiae aliis exemplis explicantur p. 36 a.

Quod h. l. non prorsus eidem versus apud utrumque citantur, nullius est momenti, quippe quod ex eo ortum esse videatur, quod in fonte communi multo plures versus, quibus quodque apophthegma confirmaretur, fuissent; ex quorum numero uterque suos elegit. Idem observandum est etiam de cap. 124.

Vit. Hom. c. 135:

Τοῦτο δὲ καὶ ἐπὶ τῶν ὁμοίων, λύπης τε καὶ ὀργῆς, χρὴ νοεῖν. τοιοῦτόν ἐστι κἀκεῖνο
'Τρῶας μὲν τρόμος αἰνὸς ὑπήλυθε γυῖα ἕκαστον, Ἕκτορί τ' αὐτῷ θυμὸς ἐνὶ στήθεσσι πάτασσεν'.
οἱ μὲν γὰρ ἄλλοι καὶ ὁρῶντες ἔτρεμον· ὁ δ' ἐν τῷ

Mor. p. 29 f:

Τοῦ δὲ ποιητοῦ λέγοντος ὅτι τὸν Αἴαντα τῶν ὅπλων ποιούντων λαμπρὸν οἱ μὲν Ἕλληνες ἔχαιρον ὁρῶντες,
'Τρῶας δὲ τρόμος αἰνὸς ἐπήλυθε γυῖα ἕκαστον, Ἕκτορί τ' αὐτῷ θυμὸς ἐνὶ στήθεσσι πάτασσε',
τίς οὐκ ἂν ἀγάσαιτο τὴν διαφοράν; τοῦ μὲν κινδυ-

κινδύνῳ καθεστὼς ἀνδρεῖος ὢν μόνον ἠγωνία.

νεύοντος ἡ καρδία πηδᾷ μόνον, ὥσπερ παλαίειν νὴ Δί' ἢ σταδιοδρομεῖν μέλλοντος, τῶν δὲ θεωμένων τρέμει καὶ πάλλεται τὸ σῶμα. Cf. Schol. *B* ad Il. *H* 215.

Vit. Hom. c. 135. 129:

Φαίνεται δ' ἐν ἑκατέροις ἡ τοῦ μετρίου διαφορά· καὶ ὁ μὲν Ὀδυσσεὺς τῆς ἑαυτοῦ γυναικὸς ἐρῶν καὶ κλαίουσαν ἐπ' αὐτῷ ὁρῶν φέρει,

'ὀφθαλμοὶ δ' ὡσεὶ κέρα ἕστασαν ἠὲ σίδηρος'·

Cap. 129: *Καὶ ἐν ἄλλοις δὲ ποιεῖ τὸν λογισμὸν τῷ θυμῷ παραινοῦντα καὶ ὥσπερ ἄρχοντα τῷ ὑποτεταγμένῳ κελεύοντα*

'τέτλαθι δή κραδίη, καὶ κύντερον ἄλλο ποτ' ἔτλης'.

καὶ πολλάκις μὲν τῷ λογισμῷ πείθεται τὸ θυμούμενον, ὡς ἐν τούτοις

'ὣς ἔφατ', ἐν στήθεσσι καθαπτόμενος φίλον ἦτορ·
τῷ δ' αὖτ' ἐν πείσῃ κραδίη μένε τετληκυῖα'.

Mor. p. 506 a sq.:

Ὁ δὲ ποιητὴς τὸν λογιώτατον Ὀδυσσέα σιωπηλότατον πεποίηκε — — αὐτὸς δὲ τῇ Πηνελόπῃ παρακαθήμενος

'θυμῷ μὲν γοόωσαν ἑὴν ἐλέαιρε γυναῖκα,
ὀφθαλμοὶ δ' ὡσεὶ κέρα ἕστασαν ἠὲ σίδηρος'

— — οὕτω τὸ σῶμα μεστὸν ἦν αὐτῷ πανταχόθεν ἐγκρατείας, καὶ πάντα ἔχων ὁ λόγος εὐπειθῆ καὶ ὑποχείρια προσέταττε τοῖς ὄμμασι μὴ δακρύειν — — — μηδ' ὑλακτεῖν·

'τῷ δ' αὖτ' ἐν πείσῃ κραδίη μένε τετληυῖα',

μέχρι τῶν ἀλόγων κινημάτων διήκοντος τοῦ λογισμοῦ καὶ τὸ πνεῦμα καὶ τὸ αἷμα πεποιημένου κατήκοον ἑαυτῷ καὶ χειρόηθες.

Cf. p. 441 f. 26 e. 445 e. 475 a. 1008 sq.

Plane consentiunt, ut alterum ex altero exscriptum vel potius utrumque ex eodem fonte manasse videatur,

Vit. Hom. c. 106:	et Schol. Odyss. *E* 272:
Καὶ τῶν ἄλλων δὲ τῶν κατὰ τὸν οὐρανὸν ἄστρων ὅτι οὐκ ἀπείρως Ὅμηρος εἶχεν, φανερόν ἐστιν ἐξ ὧν πεποίηκε	*Ὅτι οὐδὲ τῶν κατὰ τὸν οὐρανὸν ἄστρων ἀπείρως Ὅμηρος εἶχε, φανερόν ἐστιν ἐξ ὧν πεποίηκε*
'Πληιάδας θ' Ὑάδας τε τό τε σθένος Ὠρίωνος'·	*'Πληιάδας θ' Ὑάδας τε τό τε σθένος Ὠρίωνος'·*
καὶ τὴν Ἄρκτον τὴν ἀεὶ στρεφομένην περὶ τὸν ἀειφανῆ πόλον τὸν βόρειον καὶ διὰ τὸ μετέωρον μὴ ἁπτομένην τοῦ ὁρίζοντος, ὅτι ἐν ἴσῳ χρόνῳ ὅ τε μικρότατος κύκλος, ἐν ᾧ ἐστιν Ἄρκτος, καὶ ὁ μέγιστος, ἐν ᾧ Ὠρίων, στρέφεται ἐν τῇ τοῦ κόσμου περιφορᾷ· καὶ τὸν βραδέως δυόμενον Βοώτην, ὅτι πολυχρόνιον ποιεῖται τὴν κατάδυσιν, οὕτω πεπτωκὼς θέσει, ὥστε ὀρθὸς καταφέρεσθαι καὶ συγκαταδύεσθαι τέσσαρσι ζῳδίοις, τῶν πάντων εἰς ὅλην νύκτα μεριζομένων ἓξ ζῳδίων.	*καὶ τὴν Ἄρκτον τὴν ἀεὶ στρεφομένην περὶ ἀειφανῆ πόλον τὸν βόρειον καὶ διὰ τὸ μετέωρον μὴ ἁπτομένην τοῦ ὁρίζοντος, ὅτι ἐν ἴσῳ χρόνῳ ὅ τε σμικρότατος κύκλος, ἐν ᾧ ἐστιν ἡ Ἄρκτος, καὶ ὁ μέγιστος, ἐν ᾧ ὁ Ὠρίων, στρέφεται ἐν τῇ τοῦ κόσμου περιφορᾷ· καὶ τὸν βραδέως δυόμενον Βοώτην, ὅτι πολυχρόνιον ποιεῖται τὴν κατάδυσιν, οὕτω πεπτωκότα τῇ θέσει, ὥστε ὀρθὸν καταφέρεσθαι καὶ συγκαταδύεσθαι τέτταρσι ζῴοις τῶν πάντων εἰς ὅλην τὴν νύκτα μεριζομένων ἓξ ζῳδίων.*

Vit. Hom. c. 109:	Schol. Odyss. ε 295:
Τὴν δὲ τάξιν αὐτῶν ὡς ἔχει διέθηκε	*'Σὺν δ' Εὖρός τε Νότος τε] τὴν τάξιν αὐτῶν ὁ ποιη-*

'σὺν δ' Εὖρός τε Νότος τ' ἔπεσε, Ζέφυρός τε δυσαής, καὶ Βορέης αἰθρηγενέτης μέγα κῦμα κυλίνδων'.

τούτων γὰρ ὁ μὲν ἀπὸ ἀνατολῆς ὁρμᾶται ὁ δ' ἀπὸ μεσημβρίας ὁ δ' ἀπὸ δύσεως ὁ δ' ἀπὸ ἄρκτου· καὶ ὁ μὲν Ἀπηλιώτης ὑγρὸς ὢν μεταβάλλει εἰς Νότον θερμὸν ὄντα, ὁ δὲ Νότος λεπτυνόμενος εἰς Ζέφυρον, ὁ δὲ Ζέφυρος ἔτι μᾶλλον λεπτυνόμενος εἰς Βορέαν ἀποκαθαίρεται· διό

'ὦσεν ἐπὶ κραιπνὸν Βορέην, τὰ δὲ κύματα ἆξεν'.

καὶ τὴν ἀντίθεσιν δ' αὐτῶν φυσικῶς ἐξηγήσατο

'ἄλλοτε μέν τε Νότος Βορέῃ προέηκε φέρεσθαι, ἄλλοτε δ' αὖτ' Εὖρος Ζεφύρῳ εἴξασκε διώκειν'.

Cap. 110: Ἠπίστατο δὲ κἀκεῖνος ὅτι ὁ βόρειος πόλος ὑπὲρ γῆν ἐστι μετέωρος, ὡς καθ' ἡμᾶς τοὺς ἐν τῷ κλίματι τούτῳ κατοικοῦντας, ὁ δὲ νότιος ἐκ τοῦ ἐναντίου βαθύς· ὅθεν ἐπὶ μὲν τοῦ βορείου φησί

'καὶ Βορέης αἰθρηγενέτης, μέγα κῦμα κυλίνδων',

τῆς ὡς ἔχει διέθηκε· τούτων γὰρ ὁ μὲν ἀπὸ ἀνατολῆς ὁρμᾶται, ὁ δ' ἀπὸ μεσημβρίας, ὁ δὲ Ζέφυρος ἀπὸ δύσεως, ὁ δ' ἀπὸ ἄρκτου. καὶ ὁ μὲν Ἀπηλιώτης ὑγρὸς ὢν μεταβάλλει εἰς Νότον θερμὸν ὄντα, ὁ δὲ Νότος λεπτυνόμενος εἰς Ζέφυρον, ὁ δὲ Ζέφυρος ἔτι μᾶλλον λεπτυνόμενος εἰς Βορέαν ἀποκαθαίρεται· διό 'ἐπὶ κραιπνὸν Βορέην, τὰ δὲ κύματα ἆξε'. καὶ (κατὰ codd.) τὴν ἀντίθεσιν δ' αὐτῶν φυσικῶς ἐξηγήσατο

'ἄλλοτε μέν τε Νότος ἐπέεικε φέρεσθαι, ἄλλοτε δ' Εὖρος Ζεφύρῳ εἴξασκε διώκειν'.

ἠπίστατο δ' ὁ ποιητὴς ὅτι ὁ βόρειος πόλος ὑπὲρ γῆν ἐστι μετέωρος, ὡς πρὸς ἡμᾶς τοὺς ἐν τῷ κλίματι τούτῳ κατοικοῦντας, ὁ δὲ νότιος ἐκ τοῦ ἐναντίου βαθύς· ὅθεν ἐπὶ μὲν τοῦ βορείου φησί

'καὶ Βορέης αἰθρηγενέτης μέγα πῆμα κυλίνδων'

τὴν ἄνωθεν ἐμπίπτουσαν φορὰν τοῦ ἀνέμου σημαίνων, τῷ δὲ ὠθεῖ (ita corr. ex Od. γ 295 G. Dindorfius:

ἐπὶ δὲ τοῦ νοτίου

'ἔνθα νότος μέγα κῦμα
ποτὶ σκαιὸν ῥίον ὤθει'·

καὶ τῷ μὲν κυλίνδων τὴν ἄνωθεν ἐμπίπτουσαν φορὰν τοῦ ἀνέμου ἐμφαίνει, τῷ δὲ ὤθει τὴν ἀπὸ τοῦ κοιλοτέρου πρὸς τὸ ἄναντες βίαν.

Vit. Hom. c. 201:

Ἔστι δὲ τῆς ἰατρικῆς θεωρητικὸν μὲν τὸ διὰ τῶν καθολικῶν λόγων καὶ διὰ μεθόδου ἐπάγον ἐπὶ τὴν τῶν κατὰ μέρος γνῶσιν· τούτου δ' αὖ μέρη τὸ μὲν σημειωτικὸν τὸ δ' αἰτιολογικόν. πρακτικὸν δὲ τὸ διὰ τῆς ἐνεργείας αὐτῆς βαδίζον· τούτου δὲ μέρη τὸ μὲν διαιτητικὸν τὸ δὲ χειρουργικὸν τὸ δὲ φαρμακευτικόν. πῶς οὖν ἑκάστῳ τούτων Ὅμηρος ἐπιβέβληκεν; ὅτι μὲν γὰρ θεωρητικόν τι εἶναι ἐπίσταται ἐν τούτῳ αἰνίσσεται (sequitur versus ex Od. δ 227). μητιόεντα γὰρ λέγει δηλονότι κατὰ τέχνην θεωρητικὴν ἐσκευασμένα.

ἐώθη) τὴν ἀπὸ τοῦ κοιλοτέρου πρὸς τὸ ἄναντες βίαν.

Schol. Odyss. δ 227:

Φάρμακα μητιόεντα] * * (lacunam indicavit G. Dindorfius, ut δραστήρια vel simile quid exciderit; sed fort. pro ἢ scrib. ἤγουν) ἢ τὰ ὑπὸ συνέσεως εὑρημένα καὶ κατὰ τέχνην θεωρητικὴν ἐσκευασμένα. τῆς γὰρ ἰατρικῆς τὸ μὲν θεωρητικόν, τὸ διὰ (ita scripsi: τὸ δὲ διὰ) τῶν καθολικῶν λόγων καὶ διὰ μεθόδου ἐπάγον ἐπὶ τὴν τῶν κατὰ μέρος γνῶσιν· τούτου δ' αὖ μέρη τὸ μὲν σημειωτικὸν τὸ δ' αἰτιολογικόν. τὸ δὲ πρακτικὸν ταύτης ἐστὶ τὸ (ita correxi: αἰτιολογικόν, τὸ δὲ πρακτικὸν — ἐστὶν δ) διὰ τῆς ἐνεργείας βαδίζον (βαδίζων codd.)· τούτου δὲ μέρη τὸ μὲν διαιτητικὸν τὸ δὲ χειρουργικὸν τὸ δὲ φαρμακευτικόν. Cf. Schol. Il. Λ 515.

Vit. Hom. c. 175: *Ὅτι δὲ δύναμιν τῶν νόμων οἶδεν, εἰ μὴ καὶ ἐν γραφαῖς ἀλλ' ἐν ταῖς γνώμαις τῶν ἀνθρώπων φυλασσομένην, ἐν πολλοῖς παρίστησι . . . . θέμιστες γὰρ καὶ θεσμοὶ οἱ νόμοι, ὧν τὸν Δία εἰσηγητὴν παραδίδωσιν, ᾧ καὶ τὸν Μίνωα τὸν τῶν Κρητῶν βασιλέα φησὶν ὁμιλεῖν· ἡ δ' ὁμιλία νόμων μάθησις ἦν, ὡς καὶ Πλάτων μαρτυρεῖ.*

Mor. p. 780 c. Vit. Dem. c. 42: *Τίς οὖν ἄρξει τοῦ ἄρχοντος; ὁ 'νόμος ὁ πάντων βασιλεὺς θνατῶν τε καὶ ἀθανάτων' ὡς ἔφη Πίνδαρος, οὐκ ἐν βιβλίοις ἔξω γεγραμμένος οὐδέ τισι ξύλοις, ἀλλ' ἔμψυχος ὢν ἐν αὐτῷ λόγος, ἀεὶ συνοικῶν καὶ παραφυλάττων καὶ μηδέποτε τὴν ψυχὴν ἐῶν ἔρημον ἡγεμονίας.* Vit. Dem. c. 42: *Νόμος δὲ 'πάντων βασιλεύς' κατὰ Πίνδαρόν ἐστι· καὶ τοὺς βασιλεῖς Ὅμηρός φησιν — θέμιστας παρὰ τοῦ Διὸς λαμβάνοντας ῥύεσθαι καὶ φυλάσσειν, καὶ τοῦ Διὸς οὐ τὸν πολεμικώτατον οὐδὲ τὸν ἀδικώτατον καὶ φονικώτατον τῶν βασιλέων ἀλλὰ τὸν δικαιότατον ὀαριστὴν καὶ μαθητὴν προσηγόρευκεν.* Add. Mor. p. 776 e: *Ἀκούομεν δὴ Ὁμήρου τὸν Μίνω 'θεοῦ μεγάλου ὀαριστήν' ἀποκαλοῦντος· τοῦτο δ' ἐστίν, ὥς φησιν ὁ Πλάτων, ὁμιλητὴν καὶ μαθητήν. οὐδὲ γὰρ ἰδιώτας οὐδ' οἰκουροὺς οὐδ' ἀπράκτους ἠξίουν εἶναι θεῶν μαθητὰς ἀλλὰ βασιλεῖς* cett. Cf. p. 550 b. Bergk I p. 439 et adnot.

Vit. Hom. c. 120:

Τὴν δὲ περὶ τῆς εἱμαρμένης δόξαν δείκνυσιν ἐν ἐκείνοις σαφῶς

'μοῖραν δ' οὔ τινά φημι πεφυγμένον ἔμμεναι ἀνδρῶν,
οὐ κακὸν οὐδὲ μὲν ἐσθλόν, ἐπὴν τὰ πρῶτα γένηται'·

καὶ ἐν οἷς ἄλλοις κρατύνει τὴν δύναμιν τῆς εἱμαρμένης. ἡγεῖται μέντοι καὶ αὐτός, ὥσπερ καὶ μετ' αὐτὸν οἱ δοκιμώτατοι τῶν φιλοσόφων, Πλάτων καὶ Ἀριστοτέλης καὶ Θεόφραστος, οὐ πάντα καθ' εἱμαρμένην παραγίνεσθαι, ἀλλά τι καὶ ἐπὶ τοῖς ἀνθρώποις εἶναι, ὧν ὑπάρχειν μὲν τὸ ἑκούσιον, τούτῳ δέ πως συνάπτειν τὸ κατηναγκασμένον, ὅταν τις, πράξας ὃ βούλεται, εἰς ὃ μὴ βούλεται ἐμπέσῃ. καὶ ταῦτα σαφῶς ἐν πολλοῖς δεδήλωκεν, ὥσπερ καὶ ἐν ταῖς ἀρχαῖς ἑκατέρας τῆς ποιήσεως, ἐν μὲν τῇ Ἰλιάδι λέγων τὴν ὀργὴν τοῦ Ἀχιλλέως αἰτίαν τῆς ἀπωλείας τῶν Ἑλλήνων γενέσθαι καὶ τότε τὴν Διὸς βούλησιν ἐκτελεσθῆναι, ἐν δὲ τῇ Ὀδυσσείᾳ τοὺς ἑταίρους τοῦ Ὀδυσσέως διὰ τὴν

Mor. p. 23d. 24b:

Ὅταν δὲ ταῖς αἰτίαις πάντων τῶν γιγνομένων ἐπονομάζωσι τὸν Δία καὶ λέγωσι '— — — Διὸς δ' ἐτελείετο βουλή', τὴν εἱμαρμένην (λέγουσιν). οὐ γὰρ τὸν θεὸν ὁ ποιητὴς οἴεται κακὰ μηχανᾶσθαι τοῖς ἀνθρώποις, ἀλλὰ τὴν τῶν πραγμάτων ἀνάγκην ὀρθῶς ὑποδείκνυσιν, ὅτι καὶ πόλεσι καὶ στρατοπέδοις καὶ ἡγεμόσιν, ἂν μὲν σωφρονῶσιν, εὖ πράττειν πέπρωται καὶ κρατεῖν τῶν πολεμίων· ἂν δ' εἰς πάθη καὶ ἁμαρτίας ἐμπεσόντες ὥσπερ οὗτοι διαφέρωνται πρὸς ἀλλήλους καὶ στασιάζωσιν, ἀσχημονεῖν καὶ ταράττεσθαι καὶ κακῶς ἀπαλλάττειν (cf. etiam insequentia, ubi de fortunae sententia agitur). Add. p. 24b: *Οὕτω δὴ τὰ πολλὰ τῶν ἀτόπως περὶ τοῦ Διὸς λέγεσθαι δοκούντων ἐπανορθωτέον — — — ὡς περὶ τῆς τύχης ἢ τῆς εἱμαρμένης λεγομένων, ἐν αἷς* (potius *ἐν οἷς*) *τὸ ἀσυλλόγιστον ἡμῖν τῆς αἰτίας σημαίνεται καὶ ὅλως οὐ καθ' ἡμᾶς.* Add. p. 740d: *Ἀεὶ μὲν γὰρ ἅπτεται τῶν τριῶν αἰτιῶν,*

αὐτῶν ἀβουλίαν ὀλέθρῳ περιπεσεῖν· ἐξήμαρτον γὰρ ἁψάμενοι τῶν ἱερῶν τοῦ Ἡλίου βοῶν, ἐξὸν ἀποσχέσθαι αὐτῶν· καὶ γὰρ ἦν προειρημένον

'τὰς εἰ μέν κ' ἀσινέας ἐάᾳς νόστου τε μέδηαι,
καί κεν ἔτ' εἰς Ἰθάκην κακά περ πάσχοντες ἵκοισθε·
εἰ δέ κε σίνηαι, τότε τοι τεκμαίρομ' ὄλεθρον'.

οὕτως τὸ μὲν μὴ ἀδικῆσαι ἐπ' αὐτοῖς, τὸ δὲ ἀδικήσαντας ἀπολέσθαι ἐκ τῆς εἱμαρμένης ἀκόλουθον ἦν.

ἅτε δὴ πρῶτος ἢ μάλιστα συνιδὼν ὅπη τὸ καθ' εἱμαρμένην τῷ κατὰ τύχην αὖθίς τε τὸ ἐφ' ἡμῖν ἑκατέρῳ καὶ συναμφοτέροις ἐπιμίγνυσθαι πέφυκεν. νῦν δὲ θαυμαστῶς ἣν ἔχει δύναμιν ἐν τοῖς ἡμετέροις πράγμασιν ἕκαστον ὑποδεδήλωκε, τὴν μὲν αἵρεσιν τῶν βίων τῷ ἐφ' ἡμῖν ἀποδιδούς· ἀρετὴ γὰρ ἀδέσποτον καὶ κακία· τὸ δ' εὖ βιοῦν τοὺς ὀρθῶς ἑλομένους καὶ τἀναντία τοὺς κακῶς εἱμαρμένης ἀνάγκῃ συνάπτων. Deniquo conf. Fragm. XV: '*Οὐ γενησόμεθα (χάρμα δυσμενέεσσιν)' φησί τις 'οὐδ' ἂν καθεύδωμεν, εἰ πεπρωμένον ἐστὶ μὴ ἁλῶναι τὸν ναύσταθμον.' τίς οὖν οὐκ ἂν εἴποι πρὸς τοὺς ταῦτα ληροῦντας, ὅτι καθείμαρται μὲν ἴσως ἅπαντα ταῦτα, συγκαθείμαρται δ' ἑκάστῳ τὸ διὰ τούτων καὶ τὸ ἐν τούτοις καὶ οὕτω καὶ τὸ μὴ ἄλλως συντελεῖσθαι δίχα τούτων; οὐ γὰρ ἔστι φυλακὴ καθευδόντων οὐδὲ νίκη φευγόντων οὐδὲ θερίσαι μὴ σπειράντων τὴν ἀγαθὴν γῆν καὶ καθαράν* cett.

Cf. p. 467 b. 1057 b sq.

1076d sq. 1050b, ubi causam videbis cur in Plutarchi fragmentis exempla ex Iliadis et Odysseae initiis petita sint. Quae omnia composui propter argumenti gravitatem. Cf. etiam Fragm. XV, 2 et Zeller p. 179.

Insequentis autem capitis (121) sententia maxime illustratur Vit. Coriol. c. 32.

Vit. Hom. cap. 102:

Ἀκολουθεῖ δὲ τούτοις καὶ τὸ παρὰ τοῖς ἄλλοις ποιηταῖς εἰρημένον, ὅτι ἐκ τῆς Ἄρεος καὶ Ἀφροδίτης συνουσίας Ἁρμονία συνέστηκεν, ἐξ ἐναντίων, βαρέων τε καὶ ὀξέων, κιρναμένων ἀλλήλοις ἀναλόγως. ὅπως δὲ ἀντίκειται ἀλλήλοις τὰ τῆς ἐναντίας φύσεως τετυχηκότα, αἰνίττεσθαι ἔοικεν ὁ ποιητὴς καὶ ἐν τῇ παρατάξει τῶν θεῶν, ἐν ᾗ πεποίηκε τοὺς μὲν τοῖς Ἕλλησι τοὺς δὲ τοῖς Τρωσὶ βοηθοῦντας, ἀλληγορικῶς ἐμφαίνων τὰς δυνάμεις ἑκάστου· καὶ τὸν μὲν Φοῖβον τῷ Ποσειδῶνι ἀντιτάσσει, τὸ θερμὸν καὶ ξηρὸν τῷ

Ex pagg. insequentibus componi potest:

P. 370c: *Ἐκ δ' Ἀφροδίτης καὶ Ἄρεος Ἁρμονίαν γεγονέναι μυθολογοῦνται, ὧν ὁ μὲν ἀπηνὴς καὶ φιλόνεικος ἡ δὲ μειλίχιος καὶ γενέθλιος* (cf. p. 757b). P. 950e: *Ὅμηρος δὲ τῷ ποταμῷ τὸν Ἥφαιστον καὶ τῷ Ποσειδῶνι τὸν Ἀπόλλωνα κατὰ τὴν μάχην φυσικῶς μᾶλλον ἢ μυθικῶς ἀντέταξεν.* P. 46, 1 sq. (Vol. VII): *Τῶν ἐμπυρωτάτων ἄστρων ὁ μὲν ἥλιος Ἀπόλλων κέκληται* (cf. p. 375f. 400d. 433d). P. 757b: *Τὸ μαχητικὸν ἐν ἡμῖν καὶ διάφορον καὶ θυμοειδὲς Ἄρην κεκλῆσθαι νομίζουσιν. ἕτεροι δ' αὖ φήσουσι τὴν*

ὑγρῷ καὶ ψυχρῷ· τὴν δ' Ἀθηνᾶν τῷ Ἄρει, τὸ λογιστικὸν τῷ ἀλογίστῳ, τουτέστι τὸ ἀγαθὸν τῷ κακῷ· τὴν δ' Ἥραν τῇ Ἀρτέμιδι, τὸν ἀέρα τῇ σελήνῃ, καὶ ὅτι ὁ μὲν σταθερός, ἡ δὲ πολυκίνητος· τὸν δ' Ἑρμῆν τῇ Λητοῖ, ὅτι ὁ μὲν λόγος ἀεὶ ζητεῖ καὶ μέμνηται, ἡ δὲ λήθη τούτῳ ἐστὶν ἐναντίον· τὸν δ' Ἥφαιστον τῷ ποταμῷ κατὰ τὸν αὐτὸν λόγον, καθ' ὃν τὸν ἥλιον τῇ θαλάσσῃ· θεατὴν δὲ τῆς μάχης τὸν πρῶτον θεὸν καὶ ἐπὶ τούτῳ γεγηθότα.

Ἀφροδίτην ἐπιθυμίαν εἶναι καὶ τὸν Ἑρμῆν λόγον (cf. p. 373b: *τοῦ Ἑρμοῦ, τουτέστι τοῦ λόγου, μαρτυροῦντος καὶ δεικνύοντος.* p. 176,9 Vol. VII: *ὁ — Ἑρμῆς ἀληθῶς δ' ὁ λόγος ἐντυγχάνων καὶ δεικνύων*) — *καὶ φρόνησιν τὴν Ἀθηνᾶν.* P. 19f (cf. p. 47, 22 Vol. VII): *Τὸν δὲ τῆς Ἥρας καλλωπισμὸν ἀέρος τινὰ κάθαρσιν εἶναι βούλονται.* P. 659a (cf. p. 938f): *Ὅθεν οἶμαι καὶ τὴν Ἄρτεμιν Λοχείαν καὶ Εἰλείθυιαν, οὐκ οὖσαν ἑτέραν ἢ τὴν σελήνην, ὠνομάσθαι.* P. 166, 10 Vol. VII: *Πλούταρχος — προσηγόρευε — Λητὼ τὴν λήθην ἢ τὴν νύκτα, ἐν ᾗ οἷόν τινα λήθην ἡ διάνοια δέχεται* ex p. 45, 10 Vol. VII.

Propter simile argumentum conferatur cap. 202 cum p. 26c: *Οἷον ὁ Ἀχιλλεὺς ἐκκλησίαν συνάγει τῶν στρατιωτῶν νοσούντων — — ἰατρικὸς ὢν καὶ μεθ' ἡμέραν ἐνάτην ᾗ ταῦτα κρίνεσθαι πέφυκεν αἰσθόμενος οὐκ οὖσαν συνήθη τὴν νόσον οὐδὲ συνεστῶσαν ἀπὸ κοινῶν αἰτιῶν.* Ceterum cf. locos supra collatos, ma-

ximeque Schol. Odyss. ϑ 267. Iliad. Υ 67.

Nunc fragmina quaedam inter se comparari possunt, velut

Vit. Hom. c. 122:

— — — *ἐν δὲ τῇ Ὀδυσσείᾳ δι' ὅλης τῆς Νεκυίας τί ἄλλο ἢ τὰς ψυχὰς δείκνυσι μετὰ θάνατον διαμενούσας καὶ φθεγγομένας ἅμα τῷ πιεῖν τοῦ αἵματος;*

Mor. p. 740e:

Τὴν δὲ Τειρεσίου ταῖς ἄλλαις οὐκ ἄξιον δήπου συγκαταριθμεῖν, 'ᾧ καὶ τεθνειῶτι νόον πόρε Περσεφόνεια —' καὶ διαλέγεσθαι καὶ ξυνιέναι τῶν ζώντων, πρὶν ἢ πιεῖν τοῦ αἵματος.

Vit. Hom. c. 168:

— — *ὁ μὲν Διομήδης ἅτε τὸ ἐκ τῆς νεότητος θράσος καὶ τὴν ἐκ τῆς ἀριστείας παρρησίαν ἔχων, πρὸ τοῦ ἐπιδείξασθαι τὴν ἀνδραγαθίαν, σιωπῆς ἀξιώσας τὸ παρὰ τοῦ βασιλέως ὄνειδος, τότε ἐπιπλήσσει τῷ Ἀγαμέμνονι* cett.

Mor. p. 29c:

Ἄριστα δ' ὁ Διομήδης ἐν μὲν τῇ μάχῃ σιωπᾷ κακῶς ἀκούων ὑπὸ τοῦ βασιλέως, μετὰ δὲ τὴν μάχην παρρησίᾳ χρῆται πρὸς αὐτόν.

Vit. Hom. c. 169:

— — — *καὶ τὴν αἰτίαν λέγει (ὁ Φοίνιξ) ὅπως τρέφειν αὐτὸν ἐπιστεύθη παρὰ τοῦ Πηλέως νήπιον παραλαβών, καὶ διδάσκαλος ἔργων καὶ λόγων εἶναι ἠξιώθη· παραδιηγεῖται δὲ καὶ τὰς ἐπὶ τῆς νεότητος ἁμαρτίας αὐτοῦ, ἐμφαίνων ὡς καὶ ἄβουλον ἡ τοιαύτη ἡλικία* cett.

Mor. p. 72b:

Ὅθεν οὐχ ἁπλῶς ὁ Φοίνιξ ἐνέβαλε τὰ περὶ αὐτὸν ἀτυχήματα, δι' ὀργὴν ἐπιχειρήσαντος ἀνελεῖν τὸν πατέρα καὶ ταχὺ μεταγνόντος — ἵνα μὴ δοκῇ νουθετεῖν ἐκεῖνον ὡς αὐτὸς ἀπαθὴς ὢν ὑπ' ὀργῆς καὶ ἀναμάρτητος.

Vit. Hom. c. 210:

2 δ' ἔτι idem: δέ τι   3 πάσχειν τὸ ζῷον καὶ add. W   5 μεινάσης] corr. vid. ἀλλὰ μεινάσης, ut insequentia participia a φαίνεται pendeant   6 μὲν] μὲν γὰρ Duebnerus et deinde, deletis verbis περὶ τὸ συναμφότερον ut repetitis, eorum loco proponit τὰ πάθη [κατέχει τὴν ψυχήν· περιγίνεται] δὲ τῶν παθῶν cett. quae nullo modo probare possum   13 τοῦ νοῦ add. Tyrwhittus   16 corr. W: δοξάζει   ib. ὡς ὄντα ἀγαθὰ W   19 δὲ Duebnerus: τε

III.
ΕΚ ΤΟΥ ΠΕΡΙ ΨΥΧΗΣ Α.

Ἀντύλλῳ δὲ τούτῳ καὶ αὐτοὶ παρῆμεν ἅμα Σωσιτέλει καὶ Ἡρακλέωνι διηγουμένῳ. νοσῶν γὰρ ἔναγχος ἀβιώτως ἔχειν ἐδόκει τοῖς ἰατροῖς· ἀνενεχθεὶς δὲ μικρὸν ἔκ τινος οὐ βιαίου καταφορᾶς, ἄλλο μὲν οὐδὲν οὔτ' ἔπραξεν οὔτ' εἶπε παρακινητικόν, ἔλεγε δὲ τεθνάναι καὶ πάλιν ἀφεῖσθαι καὶ μὴ τεθνήξεσθαι τὸ παράπαν ὑπὸ τῆς ἀρρωστίας ἐκείνης, ἀλλὰ καὶ κακῶς ἀκηκοέναι τοὺς ἀγαγόντας αὐτὸν ὑπὸ τοῦ κυρίου· πεμφθέντας γὰρ ἐπὶ Νικανδᾶν, αὐτὸν ἥκειν ἀντ' ἐκείνου κομίζοντας. ὁ δὲ Νικανδᾶς ἦν σκυτοτόμος, ἄλλως δὲ τῶν ἐν παλαίστραις γεγονότων καὶ πολλοῖς συνήθης καὶ γνώριμος. ὅθεν οἱ νεανίσκοι προσιόντες ἔσκωπτον αὐτὸν ὡς ἀποδεδρακότα καὶ διεφθαρκότα τοὺς ἐκεῖθεν ὑπηρέτας· αὐτὸς μέντοι δῆλος ἦν εὐθὺς ὑποθραττόμενος καὶ δυσχεραίνων· τέλος δὲ πυρετοῦ προσπεσόντος, ἐξαίφνης ἀπέθανε τριταῖος. οὗτος δ' ἀνεβίω καὶ περίεστιν εὖγε ποιῶν, ἡμῖν ξένων ἐπιεικέστατος.

2 Ex Euseb. Praepar. Ev. 11, 36, 1. Theodoret. Cur. Gr. Affect. ed. Gaisford. p. 435, 35 ib. *ἅμα — διηγουμένῳ* Theodoretus: *ἀλλὰ — διηγησώμεθα* Eusebius 5 *οὐ βιαίου* Theodoretus: *οὐ βεβαίου* Eusebius 12 *καὶ πολλοῖς*] aut supplendum aut corrigendum

---

IV.

ΕΚ ΤΟΥ ΠΕΡΙ ΨΥΧΗΣ Α.

Super hoc eodem Chilone *Plutarchus* philosophus in libro *περὶ ψυχῆς* primo verbis his ita scripsit: *Χείλων ὁ παλαιὸς ἀκούσας τινὸς λέγοντος μηδένα ἔχειν ἐχθρόν, ἠρώτησεν, εἰ μηδένα φίλον ἔχει· νομίζων ἐξ ἀνάγκης ἐπακολουθεῖν καὶ συνεμπλέκεσθαι φιλίας καὶ ἀπεχθείας.*

2 Ex Gell. 1, 3, 31 5 *ἔχοι?* 6 *συνεμπλέκεσθαι* Duebnerus ex *συνενπαεκεσθλαι* optimi cod. Parisini lectione corr pro *συνεπάγεσθαι* 7 cf. p. 86c.

V.

EX EODEM LIBRO.

Plutarchus in librorum, quos περὶ ψυχῆς inscripsit, primo, cum de morbis dissereret in animos hominum incidentibus, 'Virgines' dixit 'Milesii nominis, fere quot tum in ea civitate erant, repente sine ulla evidenti causa voluntatem cepisse obeundae mortis, ac deinde plurimas vitam suspendio amisisse. Id cum accideret in dies crebrius, neque animis earum mori perseverantium medicina adhiberi quiret, decrevisse Milesios, ut virgines, quae corporibus suspensis demortuae forent, ut hae omnes nudae cum eodem laqueo, quo essent praevinctae, efferrentur. Post id decretum virgines voluntariam mortem non petisse, pudore solo deterritas tam inhonesti funeris.'

2 Ex Gell. 15, 10. cf. p. 249b sq. ubi post γυμνὰς fort. secundum Gellium supplendum τῷ αὐτῷ βρόχῳ δεδεμένας

VI.

ΕΚ ΤΟΥ ΠΕΡΙ ΨΥΧΗΣ.

---

1. *Ταῦτα τοῦ Τίμωνος εἰπόντος, ὑπολαβὼν ὁ Πατροκλέας 'ὁ μὲν λόγος' εἶπεν 'οὐχ ἧττον ἰσχυρὸς ἢ παλαιός, ἔχει δ' ὅμως ἀπορίας. εἰ γὰρ ἡ δόξα τῆς ἀφθαρσίας παμπάλαιός ἐστι, πῶς αὖ πάλιν τὸ τοῦ θανάτου δέος πάντων πρεσβύτατον εἶναι τῶν φόβων; εἰ μὴ νὴ Δία καὶ πάντας ἡμῖν τοῦτο τοὺς ἄλλους ἐγγεγέννηκεν· οὐ γὰρ νεαρὸν οὐδὲ πρόσφατόν ἐστι τὸ κλαίεσθαι τὸν τεθνηκότα, καὶ ταῦτα δὴ τὰ θρηνώδη καὶ δύσφημα τῶν ὀνομάτων ἐπιλέγεσθαι, τὸν ἄθλιον καὶ τὸν οἰκτρόν.'*

2. *''Αλλ' οὕτω μέν' ἔφη ὁ Τίμων 'λογιζόμενοι καὶ τὰ ἄφθαρτα δοξάζουσι συνδιαλύεσθαι τοῖς φθειρομένοις. ὅτι μὲν οὖν τὸ μετηλλαχέναι καὶ μεθίστασθαι καὶ οἴχεσθαι τὸν τεθνηκότα δυσχεροῦς οὐδενὸς ἁπλῶς, ἀμείψεως δέ τινος ἢ μεταβολῆς ὑπόνοιαν δίδωσιν, οὐκ ἄδηλόν ἐστι· ὅποι δ' αὕτη γίγνεται τοῖς μεταλλάττουσιν ἡ μεταβολή, καὶ πότερον εἰς*

2 ex Stob. Flor. 120, 28 4 malim *ἀπορίας τινάς* 6 *δέος φαμὲν πάν. πρ. εἶναι* aut *ἂν εἴη* pro *εἶναι* Duebnerus. Possis etiam post *φόβων* supplere *εἴποιμεν ἄν*, sed res est incerta 13 *συνδιαλύεσθαι τοῖς* *: *διανοεῖσθαι* cf. p. 1108c. De verbo cf. p. 823e. 1107b 16 *ἁπλῶς δ' ἀμείψεώς τινος* W 17 *ὅποι* Meinekius: *ὅπου*

χεῖρον ἢ βέλτιον, ἐκ τῶν ἄλλων ὀνομάτων σκοπῶμεν. αὐτὸ τοίνυν τὸ τοῦ θανάτου πρῶτον οὐχ ὑπὸ γῆν ἔοικεν οὐδὲ κάτω δεικνύναι χωροῦν τὸ μετηλλαχὸς ἀλλ' ἄνω φερόμενον καὶ θέον· διὸ δὴ καὶ λόγον ἔχει καθάπερ ἐκ καμπῆς τινος ἀνείσης οἷον ἐξᾴττειν καὶ ἀναθεῖν τὴν ψυχὴν ἀποπνέοντος τοῦ σώματος ἀναπνέουσαν αὐτὴν καὶ ἀναψύχουσαν. ὅρα δὲ τὸ ἀντικείμενον θανάτῳ, τὴν γένεσιν, ὡς τοὐναντίον δηλοῖ ῥοπήν τινα κάτω καὶ νεῦσιν ἐπὶ γῆν, ἐκείνου τοῦ περὶ τὴν τελευτὴν πάλιν ἀναθέοντος· ᾗ καὶ γενέθλιον τὴν ἡμέραν καλοῦσιν, ὡς ἄθλων καὶ πόνων ἀρχὴν γενομένην. μᾶλλον δ' ἴσως ἀφ' ἑτέρας ταὐτὸ συζυγίας κατοψόμεθα καὶ σαφέστερον. ἀπολύεσθαι γὰρ τὸν ἀποθνήσκοντα καὶ τὴν τελευτὴν ἀπόλυσιν καλοῦσιν, ἂν δὲ ἔρημαι σώματος· τοῦτο γὰρ 'δέμας' ὀνομάζουσιν, ὡς 'δεδεμένης' ὑπ' αὐτοῦ τῆς ψυχῆς ἐνταῦθα παρὰ φύσιν· οὐδὲν γὰρ ἐν ᾧ πέφυκεν εἶναι κατέχεται βίᾳ, καὶ τὸ δεδέσθαι τήν τε 'βίαν' ταύτην παραγαγόντες ὠνόμασαν 'βίον', ὥσπερ οἶμαι τὴν 'ἑσπέραν' Ὅμηρος 'ἕσπερον'. ὅθεν ἀντίφωνον τοῦ βίου ὄνομα γέγονε τὸ ἀναπαύεσθαι τὸν θνήσκοντα, μεγάλης καὶ παρὰ φύσιν

3 δεικνύναι Valckenarius: μιγνύναι 4 διὸ *: δ 5 καθάπερ ἐκ καμπῆς Duebnerus: καθαπερεὶ κάμπης cf. p. 611 f 6 ἐξᾴττειν Koenius: ἐξάπτειν ib. ἀναθεῖν Gesnerus: ἀναθεῖναι 10 ὡς ἐκείνου W 11 ᾗ W: οἱ 13 *: τὸ αὐτὸ 14 τὸ ἀποθνήσκειν Meinekius, nihil opus 15 ἂν δὲ ἔρημαι σώματος] corrupta. ἅτε δεσμοῦ τοῦ σώμ. Duebnerus. Malim ὡς ἂν ἀπὸ δεσμοῦ τοῦ σώμ. aut ὡς ἂν ἐξ εἱργμοῦ τοῦ σ. cf. p. 1091 f δεσμίων ἐξ εἱργμοῦ λυθέντων

ἀνάγκης ἀπαλλαττόμενον. οὕτω κατὰ τὴν εἰς τὸ ὅλον μεταβολὴν καὶ μετακόσμησιν ὀλωλέναι τὴν ψυχὴν λέγομεν ἐκεῖ γεγονυῖαν· ἐνταῦθα δ' ἀγνοεῖ, πλὴν ὅταν ἐν τῷ τελευτᾶν ἤδη γένηται· τότε δὲ πάσχει πάθος οἷον οἱ τελεταῖς μεγάλαις κατοργιαζόμενοι. διὸ καὶ τὸ ῥῆμα τῷ ῥήματι καὶ τὸ ἔργον τῷ ἔργῳ τοῦ τελευτᾶν καὶ τελεῖσθαι προσέοικε. πλάναι τὰ πρῶτα καὶ περιδρομαὶ κοπώδεις καὶ διὰ σκότους τινὲς ὕποπτοι πορεῖαι καὶ ἀτέλεστοι, εἶτα πρὸ τοῦ τέλους αὐτοῦ τὰ δεινὰ πάντα, φρίκη καὶ τρόμος καὶ ἱδρὼς καὶ θάμβος· ἐκ δὲ τούτου φῶς τι θαυμάσιον ἀπήντησεν καὶ τόποι καθαροὶ καὶ λειμῶνες ἐδέξαντο, φωνὰς καὶ χορείας καὶ σεμνότητας ἀκουσμάτων ἱερῶν καὶ φασμάτων ἁγίων ἔχοντες· ἐν αἷς ὁ παντελὴς ἤδη καὶ μεμυημένος ἐλεύθερος γεγονὼς καὶ ἄφετος περιιὼν ἐστεφανωμένος ὀργιάζει καὶ σύνεστιν ὁσίοις καὶ καθαροῖς ἀνδράσι, τὸν ἀμύητον ἐνταῦθα τῶν ζώντων ἀκάθαρτον ἐφορῶν ὄχλον ἐν βορβόρῳ πολλῷ καὶ ὁμίχλῃ πατούμενον ὑφ' ἑαυτοῦ καὶ συνελαυνόμενον, φόβῳ δὲ θανάτου τοῖς κακοῖς ἀπιστίᾳ τῶν ἐκεῖ ἀγαθῶν ἐμμένοντα. ἐπεὶ τό γε παρὰ φύσιν τὴν πρὸς τὸ σῶμα τῇ ψυχῇ συμπλοκὴν εἶναι καὶ σύνερξιν ἐκεῖθεν ἂν συνίδοις.'

3. 'Πόθεν;' ἔφη ὁ Πατροκλέας. — '"Ότι τῶν περὶ

2 μετακόσμησιν W: κατακόσμησιν cf. Vit. Sull. c. 7. Mor. p. 269a. 290a. Plat. de Legg. p. 892a μεταβολῆς τε αὐτῶν καὶ μετακοσμήσεως 3 γεγονυῖαν Cobetus: γεγονέναι 4 τότε W: τὸ 5 corr. Gesnerus: τελευταῖς 6 τὸ ῥῆμα W: ῥῆμα 9 τινὲς idem: τινὸς 12 καὶ τ. Duebnerus: ἢ τ. 22 τῆς ψυχῆς Nauckius 24 corr. Meinekius: πατροκλεύς

ἡμᾶς παθῶν ὁ ὕπνος ἥδιστόν ἐστι. πρῶτα μὲν γὰρ αἴσθησιν ἀλγηδόνος πᾶσι σβέννυσι διὰ τὴν ἡδονὴν πολλῷ τῷ οἰκείῳ κεραννυμένην· ἔπειτα τῶν ἄλλων ἐπιθυμιῶν κρατεῖ, κἂν ὦσι σφοδρόταται. καὶ γὰρ πρὸς ἡδονὴν οἱ φιλοσώματοι δυσανασχετοῦσιν, ἐπιόντος αὐτοῖς τοῦ καθεύδειν, καὶ περιβολὰς ἐρωμένων προΐενται καταδαρθάνοντες. καὶ τί δεῖ ταῦτα λέγειν, ὅπου καὶ τὴν ἡδονὴν τὴν ἀπὸ τοῦ μανθάνειν καὶ διαλέγεσθαι καὶ φιλοσοφεῖν καταλαμβάνων ὁ ὕπνος ἀποκλείει τῆς ψυχῆς, ὥσπερ ἀπὸ ῥεύματος λείου καὶ βαθέος ὑποφερομένης; ἡδονὴ δὲ δὴ πᾶσα μὲν ἴσως οὐσίαν ἔχει καὶ φύσιν ἀλγηδόνος ἀπαλλαγήν, αὕτη δὲ καὶ παντάπασιν. οὐδενὸς γὰρ ἔξωθεν οἷον ἐπιτερποῦς καὶ κινητικοῦ προσιόντος, ἡδόμεθα καταδαρθάνοντες· ἀλλ' ἐπίπονόν τινα καὶ κοπώδη καὶ σκληρὰν ἔοικεν ἐξαιρῶν ὕπνος διάθεσιν ἥδιστον εἶναι· αὕτη δ' ἐστὶν οὐχ ἑτέρα τῆς πρὸς τὸ σῶμα τὴν ψυχὴν συνδεούσης. χωρίζεται γὰρ ἡ ψυχὴ ἐν τῷ καθεύδειν ἀνατρέχουσα καὶ συλλεγομένη πρὸς ἑαυτὴν ἐκ τοῦ διατετάσθαι πρὸς τὸ σῶμα καὶ διεσπάρθαι ταῖς αἰσθήσεσι. καίτοι λέγουσί τινες ὡς καταμίγνυσι μᾶλλον ὁ ὕπνος πρὸς τὸ σῶμα τὴν ψυχήν, οὐκ ὀρθῶς λέγοντες· ἀντιμαρτυρεῖ γὰρ τῇ ἀναισθησίᾳ καὶ ψυχρότητι καὶ βάρει καὶ ὠχρότητι

3 corr. W: κεραννυμένης 5 φιλοσώματοι Valckenarius: φιλομουσώτατοι 8 ὅπου Gesnerus: ὅτι οὐ ib. τὴν Duebnerus: τῶν ib. ἡδονὴν τὴν * 9 φιλοσοφεῖν] add. ἡδονὴν Duebnerus 11 δὲ δὴ W: δ' ἤδε 12 ἀπαλλαγὴν] ἀπαλλακτικήν Ruhnkenius. Malim ἀπαλλαγῆναι, sed non opus 16 corr. W: ἐξαίρων ib. malim ὁ ὕπνος

τὸ σῶμα κατηγοροῦν τῆς ψυχῆς ἔκλειψιν μὲν ὅταν τελευτήσῃ μετάστασιν δ' ὅταν καθεύδῃ. καὶ τοῦτ' ἐστὶ τὸ τὴν ἡδονὴν ποιοῦν, ἀπόλυσις καὶ ἀνάπαυλα τῆς ψυχῆς, ὥσπερ ἄχθος κατατιθεμένης καὶ πάλιν ἀναλαμβανούσης καὶ ὑποδυομένης. φεύγειν γὰρ ἔοικε κομιδῇ τὸ σῶμα θνήσκουσα δραπετεύειν δὲ καταδαρθάνουσα. διὸ θνήσκουσι μὲν ἔνιοι μετὰ πόνων καθεύδουσι δὲ μεθ' ἡδονῆς ἅπαντες· ὅπου μὲν γὰρ ἀπορρήγνυται παντάπασιν ὁ δεσμός, ὅπου δ' ἐνδίδωσι καὶ χαλᾶται καὶ γίγνεται μαλακώτερος, οἷον ἁμμάτων ἀφιεμένων τῶν αἰσθήσεων παραλυομένων καὶ προϊεμένων τὴν περὶ τὸ σῶμα τῆς ψυχῆς ἔντασιν.'

4. *'Εἶτα πῶς' εἶπεν ὁ Πατροκλέας 'οὐ δυσφοροῦμεν οὐδ' ἀλγοῦμεν ἐγρηγορότες;' — 'Πῶς δέ' ἔφη ὁ Τίμων 'κειρομένων μὲν αἰσθάνεται κουφότητος ἡ κεφαλὴ καὶ ῥᾳστώνης, κομώντων δὲ βαρύτητος αἴσθησιν οὐ πάνυ παρεῖχεν; καὶ λυθέντες μὲν ἐκ δεσμῶν ἥδονται, δεδεμένοι δ' οὐκ ἀλγοῦσι; καὶ φῶς ἐπεισενεχθὲν ἐξαίφνης συμποσίῳ θόρυβον καὶ κρότον ὑφ' ἡδονῆς ἐποίησε, πρότερον δὲ τὸ ἀλαμπὲς ἐδόκει μὴ ἐνοχλεῖν μηδὲ λυπεῖν τὴν ὄψιν; ἓν γὰρ αἴτιον, ὦ φίλε, τούτων ἁπάντων, ὅτι τῷ παρὰ φύσιν τὸ κατὰ μικρὸν σύνηθες καὶ σύντροφον*

3 corr. Duebnerus: *ἀπόλαυσιν καὶ ἀνάπαυλαν* aut *ἀνάπαυλαν καὶ ἀνάπαυσιν* 5 corr. W: *ἀποδυομένης* 10 malim *χαλᾷ* 11 *ἁμμάτων ἀφιεμένων τῶν* W: *ὀμμάτων ἀφαιμάτων* 13 *ἔντασιν* W: *ἐν πᾶσιν* 14 *πατροκλεύς* libri 20 corr. W: *ἐπισυνεχθὲν* 23 idem: *ὤφειλε* ib. *τῷ* idem: *τὸ*

ἐποίει τὴν αἴσθησιν, ὥστε μὴ πάνυ δυσχεραίνειν πάσχουσαν, ἀπαλλαγείσης δὲ καὶ μεταβαλούσης εἰς τὴν φύσιν, φαίνεται παρευθύς, τῷ οἰκείῳ τἀλλότριον καὶ τῷ ἡδομένῳ τὸ λυποῦν ὅτι παρῆν καὶ βαρῦνον. οὕτω δὴ καὶ τὴν ψυχὴν τῇ πρὸς τὰ θνητὰ πάθη καὶ μέρη καὶ ὄργανα κοινωνίᾳ τὸ παρὰ φύσιν καὶ ἀλλότριον οὐ πάνυ δοκεῖ πιέζειν ὑπὸ μακρᾶς συνηθείας· αἰσθάνεται δὲ ῥᾳστώνης καὶ κουφότητος μεθ' ἡδονῆς ἀφιεμένη τῶν διὰ τοῦ σώματος ἐνεργειῶν· ἐκείναις γὰρ ἐνοχλεῖται καὶ περὶ ἐκείνας ἐκπονεῖται καὶ ἀπ' ἐκείνων σχολῆς δεῖται καὶ ἀναπαύσεως· ἃ δ' αὐτὴ καθ' αὑτὴν ἐνεργεῖ κατὰ φύσιν, τὸ σκοπεῖν ἀεί τι καὶ λογίζεσθαι καὶ μνημονεύειν καὶ θεωρεῖν, πρὸς ταῦτα ἄτρυτός ἐστι καὶ ἀκόρεστος. καὶ γὰρ ὁ κόρος κόπος ἐν ἡδοναῖς ἔοικεν εἶναι τῷ μετὰ σώματός τι τὴν ψυχὴν πάσχειν. ἐπεὶ πρός γε τὰς αὑτῆς ἡδονὰς οὐκ ἀπαγορεύει, συμπεπλεγμένη δέ, ὥσπερ εἴρηται, τῷ σώματι ταὐτὰ τῷ Ὀδυσσεῖ πέπονθεν· ὡς γὰρ ἐκεῖνος τῷ ἐρινεῷ προσφὺς εἴχετο καὶ περιέπτυσσεν οὐ ποθῶν οὐδ' ἀγαπῶν ἐκεῖνον, ἀλλὰ δεδιὼς ὑποκειμένην τὴν Χάρυβδιν· οὕτως ἔοικεν ἡ ψυχὴ ἔχεσθαι καὶ περιπεπλέχθαι τῷ σώματι δι' εὔνοιαν οὐδεμίαν αὐτοῦ καὶ χάριν, ἀλλ' ὀρρωδοῦσα τοῦ θανάτου τὴν ἀδηλότητα.

3 φύσιν, φαίνεται παρευθὺς Duebnerus: φύσιν· φαίνεται γὰρ εὐθὺς ib. *: τὸ ἀλλότριον 8 μακρᾶς Gesnerus: μικρᾶς 16 γε τὰς αὑτῆς W: τε τὰς αὐτὰς 17 οὐκ ἀπαγορεύει idem: οὐ κατηγοροῦσι 18 εἴρηται] εἱρκτῇ W 22 τῷ σώματι add. Duebnerus cum W

'κρύψαντες γὰρ ἔχουσι θεοὶ βίον ἀνθρώποισι' κατὰ τὸν σοφὸν Ἡσίοδον, οὐ σαρκίνοις τισὶ δεσμοῖς πρὸς τὸ σῶμα τὴν ψυχὴν κατατείναντες, ἀλλ' ἕνα δεσμὸν αὐτῇ καὶ μίαν φυλακὴν μηχανησάμενοι καὶ περιβαλόντες, τὴν ἀδηλότητα καὶ ἀπιστίαν τῶν μετὰ τὴν τελευτήν· ἐπεὶ τήν γε πεισθεῖσαν, ὅσα ἀνθρώπους περιμένει τελευτήσαντας καθ' Ἡράκλειτον, οὐδὲν ἂν κατάσχοι.'

2 Ἡσίοδον] OD 42 7 Ἡράκλειτον] vid. Bywater. p. 47 fr. 122

VII.

ΠΕΡΙ ΨΥΧΗΣ.

ΕΧ ΤΩΝ ΧΑΙΡΩΝΕΩΣ.

1. Ὅτι οὐ τὸ ἐπιστητὸν αἴτιον τῆς ἐπιστήμης, ὡς Ἀρκεσίλαος· οὕτω γὰρ καὶ ἀνεπιστημοσύνη τῆς ἐπιστήμης αἰτία φανεῖται.

2. Ὅτι οὐχ ἡ ψυχὴ τρέπει ἑαυτὴν εἰς τὴν τῶν πραγμάτων κατάληψιν καὶ ἀπάτην κατὰ τοὺς ἀπὸ τῆς Στοᾶς. πῶς γὰρ αἰτία ἑαυτῇ γνώσεως ἡ ψυχή, μήπω αὐτῆς ἔχουσα ἀρχήν;

3. Ὅτι μόνῳ τῷ Πλάτωνι ῥᾷστον ἀποδοῦναι τὸν λόγον, εἰς λήθην καὶ ἀνάμνησιν ἀναφέροντι τὴν γνῶσιν καὶ τὴν ἄγνοιαν.

4. Ὅτι ἔνεισι μὲν αἱ ἐπιστῆμαι, κρύπτονται δ' ὑπὸ τῶν ἄλλων ἐπεισοδίων ὁμοίως τῇ ὑπὸ Δημαράτου πεμφθείσῃ δέλτῳ.

5. Ὅτι καὶ τὸ ζητεῖν καὶ τὸ εὑρίσκειν δηλοῖ τὴν ἀνάμνησιν· οὔτε γὰρ ζητήσειεν ἄν τις οὗ ἐστιν

1 *ΠΕΡΙ ΨΥΧΗΣ* add. W qui haec adnotavit: 'Exstat in Olympiodori Commentario MS (Leid.) in Platonis Phaedrum inter Codd. MSS. Vossianos n. 15 Bibliothecae Lugduno-Batavae. Edidit partem Fabric. B. Gr vol. XII p. 265. Addidi cetera.' Eadem invenit Duebnerus in Cod. Paris. Regio n. 1823 recenti, quem appellat Par. 9 *αὐτῆς* Duebnerus: *αὐτὰς* 10 *Πλάτωνι*] Phaedon. p. 72e sq.

ἀνεννόητος οὔτ' ἂν εὕροι διά γε ζητήσεως· λέγεται γὰρ εὑρίσκειν καὶ ὁ κατὰ περίπτωσιν.

6. Ὅτι ἄπορον ὄντως εἰ οἷόν τε ζητεῖν καὶ εὑρίσκειν, ὡς ἐν Μένωνι προβέβληται· οὔτε γὰρ ἃ ἴσμεν, μάταιον γάρ· οὔτε ἃ μὴ ἴσμεν, κἂν γὰρ περιπέσωμεν αὐτοῖς, ἀγνοοῦμεν, ὡς τοῖς τυχοῦσι. οἱ μὲν γὰρ Περιπατητικοὶ τὸν δυνάμει νοῦν ἐπενόησαν· ἡμεῖς δ' ἠποροῦμεν ἀπὸ τοῦ ἐνεργείᾳ εἰδέναι καὶ μὴ εἰδέναι. ἔστω γὰρ εἶναι τὸν δυνάμει νοῦν, ἀλλ' ἔτι ἀπορία ἡ αὐτή· πῶς γὰρ οὗτος νοεῖ; ἢ γὰρ ἃ οἶδεν ἢ ἃ οὐκ οἶδεν. οἱ δ' ἀπὸ τῆς Στοᾶς τὰς φυσικὰς ἐννοίας αἰτιῶνται· εἰ μὲν δὴ δυνάμει, ταὐτὸ ἐροῦμεν· εἰ δ' ἐνεργείᾳ, διὰ τί ζητοῦμεν ἃ ἴσμεν; εἰ δ' ἀπὸ τούτων ἄλλα ἀγνοούμενα, πῶς ἅπερ οὐκ ἴσμεν; οἱ δ' Ἐπικούρειοι τὰς προλήψεις· ἃς εἰ μὲν διηρθρωμένας φασί, περιττὴ ἡ ζήτησις· εἰ δ' ἀδιαρθρώτους, πῶς ἄλλο τι παρὰ τὰς προλήψεις ἐπιζητοῦμεν, ὅ γε οὐδὲ προειλήφαμεν;

7. Ὅτι καὶ ἡ ἀλήθεια τὸ ὄνομα δηλοῖ λήθης ἐκβολὴν εἶναι τὴν ἐπιστήμην, ὅ ἐστιν ἀνάμνησις· ὅτι καὶ οἱ μητέρα τῶν Μουσῶν τὴν Μνημοσύνην εἰπόντες αὐτὸ τοῦτ' ἐνδείκνυνται· αἱ μὲν γὰρ Μοῦσαι τὸ ζητεῖν παρέχονται, ἡ δὲ Μνημοσύνη τὸ εὑρίσκειν.

8. Ὅτι καὶ οἱ πολλοὶ τὸ ἀγνοεῖν ἐπιλελῆσθαι λέγοντες τῷ αὐτῷ μαρτυροῦσι· λανθάνειν γὰρ ἡμᾶς

1 ἂν εὕροι *: ἀνεύροι 3 corr. W: ἀπόρου ὄντος
4 Μένωνι] cf. p. 81 d sq. 12 ταὐτὸ *: τὸ αὐτὸ

φαμεν ἅπερ ἀγνοοῦμεν, καὶ λαθραῖα πράγματα καλοῦμεν τὰ ἀγνοούμενα.

9. Ὅτι καὶ πρὸ βιοτῆς ἀναμνήσεις ἱστοροῦνται, οἷα καὶ ἡ τοῦ Μύρωνος.

10. Ὅτι καὶ ὅσοι γαλῆν φοβοῦνται ἢ σαῦρον ἢ χελώνην, οὓς εἰδέναι αὐτός· καὶ ὁ Τιβερίου ἀδελφιδοῦς ἄρκτους θηρῶν καὶ λέοντας, ὅμως ἀλεκτρυόνα οὐδ' ἰδεῖν ἠδύνατο· φαρμακοπώλην δέ τινα εἰδέναι ὑπὸ μὲν δρακόντων καὶ ἀσπίδων μηδὲν πάσχειν, μύωπα δὲ φεύγειν μέχρι βοῆς καὶ ἐκστάσεως. Θεμίσων δ' ὁ ἰατρὸς τὰ μὲν ἄλλα πάθη πάντα μετεχειρίζετο, τὸν δ' ὑδροφόβαν εἴ τις ὠνόμασε μόνον, ἐταράττετο καὶ ὅμοια ἔπασχε τοῖς ὑπ' αὐτοῦ κατεχομένοις· ὧν αἰτίαν εἶναι τὴν ἀνάμνησιν τῆς προπαθείας.

11. Ὅτι αἱ τῶν προπαθειῶν σφοδρότεραι τυποῦσι τὰς μνήμας εἰς δύο γενέσεις· οἷον τὸ Πολεμάρχου καὶ τῶν ἐν Κορίνθῳ ὑπὸ τῷ μεγάλῳ σεισμῷ καὶ τὸ ἐν Ἀμοργῷ τοῦ Δημητρίου ἐγγεγραμμένον τῷ τάφῳ.

12. Ὅτι ὅμοια πάσχουσι καὶ οἱ ποταμοὺς μᾶλλον ἢ θάλατταν δεδοικότες καὶ οἱ πρὸς τὰ ὕψη ταραττόμενοι.

13. Ὅτι τὰ νεογενῆ παιδία ἀμειδῆ ἐστι καὶ ἄγριον βλέπει μέχρι τριῶν σχεδὸν ἑβδομάδων, ὑπνώττοντα τὸν πλείω χρόνον· ἀλλ' ὅμως ποτὲ καθ' ὕπνους καὶ πολλάκις γελᾷ καὶ διαχεῖται. τίνα οὖν τρόπον

6 ὁ τιβερίου cod. 1823: ὅτι βερίου 19 *: ἀμόργω ib. malim ἐπιγεγραμμένον 27 πολλάκις] πολλὰ p. 35, 16

ἄλλου τοῦτο συμβαίνει, ἢ τῆς ψυχῆς τότε ἀπὸ τῆς δίνης τοῦ ζῴου ἀναφερούσης καὶ κατὰ τὰς ἑαυτῆς προπαθείας κινουμένης;

14. *Ὅτι καὶ αἱ πρὸς τάδε ἢ τάδε εὐφυίαι τοῦτον ἀποβαίνουσι τὸν τρόπον.*

15. *Ὅτι τὸ μὲν λέγειν οὕτω πεφυκέναι παχύ τε καὶ ἰδιωτικὸν καὶ ἀρκοῦν πρὸς πᾶσαν ἀπόκρισιν. ἀλλ' οἷον τὸ πεφυκέναι ζητητέον ὅμως· ἄλλο γὰρ ἄλλου, ὡς τῆς λογικῆς ψυχῆς τὸ ἀπὸ τῶν προεγνωσμένων τὰ παρόντα ἀναγνωρίζειν.*

16. *Ὅτι ἔσωθεν ἐκφέρομεν τὰς τῶν ζητημάτων ἐπιστήμας, δηλοῖ τὸ πρὸς τὴν εὕρεσιν συντεινομένους εἴσω βλέπειν.*

17. *Ὅτι καὶ ἡ εὐφροσύνη ἡ ἐπὶ τοῖς εὑρήμασι δηλοῖ τὸν ἀναγνωρισμὸν τῆς ὅτι μάλιστα οἰκείας ἡμῖν ἀληθείας ἐν τῷ μέσῳ χρόνῳ οἷον ἀπολομένης.*

18. *Ὅτι Βίων ἠπόρει περὶ τοῦ ψεύδους, εἰ καὶ αὐτὸ κατ' ἀνάμνησιν ὡς τοὐναντίον γε, ἢ οὔ· καὶ τί ἡ ἀλογία. ἢ ῥητέον ὡς καὶ τοῦτο γίγνεται κατὰ τὸ εἴδωλον τοῦ ἀληθοῦς· τὸ δ' εἴδωλον εἶναι τοῦτο, ὅπερ ἀληθὲς οὐκ ἄν τις νομίσειεν, εἰ μή πῃ εἰδείη τὸ ἀληθές.*

19. *Ὅτι Στράτων ἠπόρει, εἰ ἔστιν ἀνάμνησις, πῶς ἄνευ ἀποδείξεων οὐ γιγνόμεθα ἐπιστήμονες· πῶς δ' οὐδεὶς αὐλητὴς ἢ κιθαριστὴς γέγονεν ἄνευ μελέτης. ἢ μάλιστα μὲν γεγόνασί τινες αὐτοδίδακτοι·*

11 *ἐκφέρομεν* Fabricius: *ἐπιφέρομεν*   14 *ἡ posterius* add. Duebnerus   18 *: *τὸ ἐναντίον*   26 *αὐτοδίδακτοι*] fort. excidit *οἷον*

Ἡράκλειτος, ὁ Αἰγύπτιος γεωργός, Φήμιος ὁ Ὁμήρου, Ἀγάθαρχος ὁ γραφεύς. εἶτα καὶ αἱ ψυχαὶ πολλῷ τῷ κάρῳ κατεχόμεναι τῆς γενέσεως πολλῆς πρὸς ἀνάμνησιν δέονται τῆς μοχλείας· διὸ καὶ τῶν αἰσθητῶν χρήζουσιν.

20. Ὅτι, ὡς ἡ φαντασία ἀφ' ἑνός τινος ὀνόματος ὅλου ἀναμιμνήσκεται βίου, οἷον τοῦ Ἀλκιβιάδου· οὕτω καὶ ἡ λογικὴ μνήμη ἀπὸ τῆς τυχούσης ἀφορμῆς προσεξευρίσκει πλείονα.

21. Ὅτι ἔοικεν ἡ πρὸς τὸ σῶμα σύνδεσις ἐπιληψίᾳ· καὶ γὰρ ἐν ἐκείνῃ ὀψέ ποτε ἀναφέρουσιν αἱ ψυχαὶ εἰς τὰ καθεστῶτα.

22. Ὅτι εἰ μὲν ἀεὶ πρὸς τὰ πρόσθεν δι' ἀνάμνησιν αἱ μαθήσεις, ἐπ' ἄπειρον ἴασιν αἱ ψυχαὶ ἐπὶ τὰ πρόσω, λείπει δὲ καὶ τὸ ἐπὶ θάτερον μέρος· διόπερ οὔπω ἀθάνατοι. εἰ δ' ἀπὸ χρόνου γενομένη μετὰ τῆς ἐπιστήμης γέγονε, πῶς ἀποβάλλει αὐτὴν εὐθέως κατ' οὐσίαν; οὕτω γὰρ κάλλιον ἐπιλύσασθαι, ἤπερ ὡς ὁ ἐξηγητής· εἰς γὰρ ποικιλίαν ἐξηνέχθη πολλήν.

23. Ὅτι σαφῶς ὁ Κέβης οὐ τοῦ αὐτοῦ συμπεράσματος ἐπάγει ἄλλην ἐπιχείρησιν, ἀλλὰ τὸ ἀντίστροφον ἐννοεῖ τε καὶ τὸν Σωκράτην ὑπομιμνήσκει, δειχθῆναι δυνάμενον τῷ πρὸ τοῦ σώματος εἶναι τὴν

12 εἰς (ἐς Duebnerus) *. 'singulari numero dici solet τὸ καθεστὸς vel τὸ καθεστηκός' Duebnerus 13 ἀναμνήσεων Fabricius 14 ἴασιν Duebnerus: εἴσιν 18 οὕτω γὰρ κάλλιον — πολλήν] 'haec add. Olympiodorus per ἐξηγητήν intelligens Iamblichum' Fabricius 24 τῷ Duebnerus: τὸ cf. Plat. Phaedon. p. 73a

ψυχήν· καὶ ταύτῃ οὖν λέγει τὴν ψυχὴν ἀθάνατόν τι εἶναι, εἰ προϋπάρχει χωριστή.

24. Ὅτι τῶν ἄλλων οἰομένων τὴν ψυχὴν καὶ συγγίγνεσθαι τῷ σώματι καὶ συμφθείρεσθαι, τοῦτο μὲν ἀνασκευάζει ὁ πρῶτος λόγος, ἐκεῖνο δ' ὁ δεύτερος.

25. Ὅτι ἡ μαιευτικὴ ἐρώτησις, πρόκλησις οὖσα τῆς κυουμένης ἐπιστήμης, ἀναγκαίως δείκνυσιν αὐτὴν προϋπάρχουσαν· ὡς ἔργῳ δείκνυσι καὶ ὁ Σωκράτης ἐν τῷ Μένωνι.

26. Ὅτι ἔστι τὰ εἴδη, παρενδείκνυταί πως ὑποτιθέμενος αὐτὰ σὺν ἀποδείξει. εἰ γὰρ πολλὰ τὰ ἴσα, ἀφ' ἑνὸς ἂν εἴη τοῖς πολλοῖς ταὐτό· καὶ δῆλον ὅτι ἓν τοῦτο ἐν οὐδενὶ τῶν καθ' ἕκαστα, ἐν οἷς τὰ πολλὰ ἴσα· πρὸ αὐτῶν ἄρα, εἴπερ ταῦτα ἀπ' αὐτοῦ· διὸ καὶ ἕτερα αὐτοῦ εἴρηται. εἶτα δευτέραν ἐνδείκνυται ἀπόδειξιν, τὰ ἐν ὕλῃ ἴσα παραχραινόμενα λέγων τῇ οἰκείᾳ στερήσει, τὰ δ' αὐτὰ καθ' ἑαυτὰ ἀκραιφνῆ· πάντως δ' ὅτι τὰ τέλεια τῶν μὴ τελείων πρεσβύτερα.

27. Ὅτι ποτὲ μὲν ἴσον ποτὲ δ' αὐτὰ ἴσα λέγει, ἢ εἰς τοὺς πολλοὺς ἀποβλέπων νόας, ὧν ἐν ἑκάστῳ ταὐτὸ ἴσον· ἢ τὸ μὲν ἓν τῷ νῷ ἀποδοτέον τὸ δὲ πεπληθυσμένον τῇ ψυχῇ· ἐν ταύτῃ γὰρ καὶ τὸ ἓν πολλὰ διὰ τὴν ἐν αὐτῇ πρὸς ἑαυτὴν ὑπόβασιν.

28. Ὅτι κατ' οὐσίαν εἰκὼν θεοῦ οὖσα συμπάσχει

12 τῇ συναποδείξει W 13 corr. Duebnerus: καὶ δῆλον ὅτι ὄντος καὶ δῆλον ὅτι ἐν οὐδενὶ 15 εἴπερ W: ἤπερ 23 *: τὸ αὐτὸ 26 θεοῦ W, quod propter οὖσα exciderit

τῷ οἰκείῳ παραδείγματι, καὶ ὀρέγεται αὐτοῦ ὡς αἰτίου· ὅπου γε καὶ αἱ τεχνηταὶ εἰκόνες κατὰ τὴν ψιλὴν ἀφομοίωσιν ὅμως ἐλλάμπονται ὑπὸ θεῶν.

29. Πῶς οὐ δυνατὸν ἐννοῆσαί πη διὰ τῶν αἰσθητῶν τὰ νοητὰ τάς γε πλείστας τῶν ψυχῶν;

30. Ὅτι ἡ μὲν ὀρέγεται ἀπ' αὐτῶν ἡ δ' ἐνδεῖ ἐκτὸς αὐτῶν.

31. Ὅτι τὸ ὅ ἐστι δηλοῖ μὲν καὶ τὸ ὄντως ὄν, δηλοῖ δὲ καὶ τὸ ἀπηλλαγμένον τῶν ἐν τῇ γενέσει περιφυομένων. εἰ τὰ ἐπιστητὰ πρὸ τῶν αἰσθητῶν, ἀνάγκη καὶ τὰς ἐπιστήμας πρὸ τῶν αἰσθήσεων· ὥστε καὶ τοὺς ἐπισταμένους πρὸ τῶν αἰσθανομένων, ὥστε καὶ ἕκαστος ἐπιστάμενος πρὸ αἰσθανομένου αὐτὸς ἑαυτοῦ. εὐθὺς δὲ γεννηθέντες αἰσθανόμεθα· πρὸ τοῦ γεννηθῆναι ἄρα ἐπιστάμεθα. διό φησιν ἐξ ὑποθέσεως εἶναι ταῦτα.

32. Ὅτι ἐν τῇ πρώτῃ γενέσει ἡ σφοδροτάτη μεταβολή ἐστιν· αὕτη δ' ἐκπλήσσει τὴν μνήμην καὶ ταράττουσα λήθην ἐμποιεῖ· τότε ἄρα οὐκ ἂν ἐλάβομεν ἐπιστήμην· πρότερον ἄρα τοῦ σώματος, ἤτοι δὲ προσεχῶς ὡς ἐπὶ τῶν νεοτελῶν τῶν ἐκ φιλοσοφίας, ἢ καὶ ἐκ προγενεστέρων ἔτι βίων.

33. Ὅτι ὡς πρὸς τὸν δεύτερον λόγον ἀπιδὼν ὁ Σιμμίας οὐκ ἀποδεικνύναι φησὶν αὐτὸν τὸ ἐπιδια-

3 ψιλὴν cod. Par. 1823: ψυχὴν, unde ἄψυχον W 4 πη idem: μὴ 5 τάς Duebnerus: ἢ τάς 6 ἀπ'] del. Duebnerus. Fort. ἅμ' 11 ἐπιστήμας] add. εἶναι cod. 1823 18 ἐκπλήσσει τὴν μνήμην] cf. Thucyd. 2, 87 21 τῶν ἐκ W: ἢ τῶν ἐκ 24 Σιμίας? ib. τὸ W: τὸ δὲ

μένειν ἐν Ἅιδου· οὐδὲ γὰρ ἐκεῖνον τὸ πρὸ τῆς γενέσεως. διόπερ ὁ Σωκράτης ἐκ τῶν δύο λόγων συνάγει τὴν μίαν ὅλην ἀπόδειξιν.

34. Ὅτι ὁ παῖς ἐν μὲν τῷ λόγῳ παρὰ φύσιν ἀπαίδευτος, ἐν δὲ τῷ ἀλόγῳ κατὰ φύσιν τὴν ἑαυτοῦ, ἐν δὲ τῷ σώματι καθ' ἡλικίαν.

ΕΚ ΤΩΝ ΤΟΥ ΧΑΙΡΩΝΕΩΣ ΠΛΟΥΤΑΡΧΟΥ.

1. *Εἰ ἀφ' ἑτέρου ἕτερον ἐννοοῦμεν.* οὐκ ἂν εἰ μὴ προέγνωστο. τὸ ἐπιχείρημα Πλατωνικόν.

2. *Εἰ προστίθεμεν τὸ ἐλλεῖπον τοῖς αἰσθητοῖς.* καὶ αὐτὸ Πλατωνικόν.

3. *Εἰ παῖδες εὐμαθέστεροι,* ὡς ἐγγίους τῆς προβιοτῆς, ἐν ᾗ ἡ μνήμη ἐσῴζετο. ἐπιπόλαιος ὁ λόγος.

4. *Εἰ ἄλλοι πρὸς ἄλλο μάθημα ἐπιτηδειότεροι.*

5. *Εἰ πολλοὶ αὐτοδίδακτοι ὅλων τεχνῶν.*

6. *Εἰ πολλὰ παιδία ὑπνώττοντα γελᾷ,* ὕπαρ δ' οὔπω· πολλὰ δὲ καὶ ὕπαρ ἐφθέγξατο, ἄλλως οὔπω φθεγγόμενα.

7. *Εἰ ἔνιοι καὶ ἀνδρεῖοι ὄντες ὅμως φοβοῦνται φαῦλ' ἄττα,* οἷον γαλῆν ἢ ἀλεκτρυόνα, ἀπ' οὐδεμιᾶς φανερᾶς αἰτίας.

8. *Εἰ μὴ ἔστιν ἄλλως εὑρίσκειν·* οὔτε γὰρ ἃ ἴσμεν ζητήσειεν ἄν τις· οὔτε ἃ μηδαμῶς ἴσμεν πρότερον, ἀλλ' οὐδ' ἂν εὕροιμεν ἃ μὴ ἴσμεν.

9. *Εἰ ἡ ἀλήθεια κατ' ἀφαίρεσιν τῆς λήθης ἔντευξις τοῦ ὄντος ἐστί.* λογικὴ ἡ ἐπιχείρησις.

12 Εἰ οἱ παῖδες? 13 ἐν ᾗ] ἧς Duebnerus

10. *Εἰ ἡ μήτηρ τῶν Μουσῶν Μνημοσύνη, ὡς ἡ ἀδιάρθρωτος μνήμη τῶν ζητήσεων αἰτία.*

11. *Εἰ, ἅπερ ἀδύνατον γιγνώσκειν, μηδὲ ζητοῦμεν. ἀλλὰ τὸ ἐπιχείρημα πάλιν ἀπὸ τῆς εὑρέσεως.*

12. *Εἰ τοῦ ὄντος ἡ εὕρεσις πάντως, ὅτι καὶ θεωρημάτων· ποῦ οὖν ὄντων; ἢ δῆλον ὅτι ἐν ψυχῇ.*

6 ἢ *: ἣ

VIII.

*ΕΚ ΤΩΝ ΣΤΡΩΜΑΤΕΩΝ.

---

1. *Θάλητα πρῶτον πάντων φασὶν ἀρχὴν τῶν ὅλων ὑποστήσασθαι τὸ ὕδωρ· ἐξ αὐτοῦ γὰρ εἶναι τὰ πάντα καὶ εἰς αὐτὸ χωρεῖν.*

2. *Μεθ' ὃν Ἀναξίμανδρον, Θάλητος ἑταῖρον γενόμενον, τὸ ἄπειρον φάναι τὴν πᾶσαν αἰτίαν ἔχειν τῆς τοῦ παντὸς γενέσεώς τε καὶ φθορᾶς· ἐξ οὗ δή φησι τούς τε οὐρανοὺς ἀποκεκρίσθαι, καὶ καθόλου τοὺς ἅπαντας ἀπείρους ὄντας κόσμους. ἀπεφήνατο δὲ τὴν φθορὰν γίγνεσθαι καὶ πολὺ πρότερον τὴν γένεσιν, ἐξ ἀπείρου αἰῶνος ἀνακυκλουμένων πάντων αὐτῶν. ὑπάρχειν δέ φησι τῷ μὲν σχήματι τὴν γῆν κυλινδροειδῆ, ἔχειν δὲ τοσοῦτον βάθος ὅσον ἂν εἴη τρίτον πρὸς τὸ πλάτος. φησὶ δὲ τὸ ἐκ τοῦ ἀιδίου γόνιμον θερμοῦ τε καὶ ψυχροῦ κατὰ τὴν γένεσιν τοῦδε τοῦ κόσμου ἀποκριθῆναι, καί τινα ἐκ τούτου φλογὸς σφαῖραν περιφυῆναι τῷ περὶ τὴν γῆν ἀέρι ὡς τῷ δένδρῳ φλοιόν, ἧς ἀπορραγείσης καὶ εἴς τινας ἀποκλεισθείσης κύκλους, ὑποστῆναι τὸν ἥλιον καὶ τὴν σελήνην καὶ τοὺς ἀστέρας. ἔτι φησὶν ὅτι κατ' ἀρχὰς ἐξ ἀλλοειδῶν ζῴων ὁ ἄνθρωπος*

2 Ex Eusebii Praep. Ev. 1, 7, 16   14 *δὲ τοῦ] δέ τι* Dielesius

ἐγεννήθη, ἐκ τοῦ τὰ μὲν ἄλλα δι' ἑαυτῶν ταχὺ νέμεσθαι, μόνον δὲ τὸν ἄνθρωπον πολυχρονίου δεῖσθαι τιθηνήσεως· διὸ καὶ κατ' ἀρχὰς οὐκ ἄν ποτε τοιοῦτον ὄντα διασωθῆναι. ταῦτα μὲν οὖν ὁ Ἀναξίμανδρος.

3. *Ἀναξιμένην δέ φασι τὴν τῶν ὅλων ἀρχὴν τὸν ἀέρα εἰπεῖν, καὶ τοῦτον εἶναι τῷ μὲν μεγέθει ἄπειρον, ταῖς δὲ περὶ αὐτὸν ποιότησιν ὡρισμένον· γεννᾶσθαί τε πάντα κατά τινα πύκνωσιν τούτου καὶ πάλιν ἀραίωσιν. τήν γε μὴν κίνησιν ἐξ αἰῶνος ὑπάρχειν· πιλουμένου δὲ τοῦ ἀέρος, πρώτην γεγενῆσθαι λέγει τὴν γῆν, πλατεῖαν μάλα· διὸ καὶ κατὰ λόγον αὐτὴν ἐποχεῖσθαι τῷ ἀέρι· καὶ τὸν ἥλιον καὶ τὴν σελήνην καὶ τὰ λοιπὰ ἄστρα τὴν ἀρχὴν τῆς γενέσεως ἐκ γῆς ἔχειν. ἀποφαίνεται γοῦν τὸν ἥλιον γῆν, διὰ δὲ τὴν ὀξεῖαν κίνησιν καὶ μάλ' ἱκανῶς θερμότητα λαβεῖν.*

4. *Ξενοφάνης δ' ὁ Κολοφώνιος, ἰδίαν τινὰ ὁδὸν πεπορευμένος καὶ παρηλλαχυῖαν πάντας τοὺς προειρημένους, οὔτε γένεσιν οὔτε φθορὰν ἀπολείπει, ἀλλ' εἶναι λέγει τὸ πᾶν ἀεὶ ὅμοιον· εἰ γὰρ γίγνοιτο τοῦτο, φησίν, ἀναγκαῖον πρὸ τούτου μὴ εἶναι· τὸ μὴ ὂν δ' οὐκ ἂν γένοιτο οὐδ' ἂν τὸ μὴ ὂν ποιήσαι τι οὔτε ὑπὸ τοῦ μὴ ὄντος γένοιτ' ἄν τι. ἀποφαί-*

7 *μὲν μεγέθει* Zellerus: *μὲν γένει.* Possis etiam *μεγέθει*
17 *θερμότητα* Dielesius, *θερμοτητα* (superscr. *τος*) deleto *τα* aut *θερμοτάτην* libri. *θερμότητος* Usenerus, unde malim *καὶ μάλ' ἱκανῆς θερμότητος μεταλαβεῖν* ib. *λαβεῖν* Zellerus: *κίνησιν λαβεῖν* libri, nisi quod cod. D in mg *κίνησιν* exhibet

νεται δὲ καὶ τὰς αἰσθήσεις ψευδεῖς, καὶ καθόλου σὺν αὐταῖς καὶ αὐτὸν τὸν λόγον διαβάλλει. ἀποφαίνεται δὲ καὶ τῷ χρόνῳ καταφερομένην συνεχῶς καὶ κατ' ὀλίγον τὴν γῆν εἰς τὴν θάλασσαν χωρεῖν. φησὶ δὲ καὶ τὸν ἥλιον ἐκ μικρῶν καὶ πλειόνων πυριδίων ἀθροίζεσθαι. ἀποφαίνεται δὲ καὶ περὶ θεῶν, ὡς οὐδεμιᾶς ἡγεμονίας ἐν αὐτοῖς οὔσης· οὐ γὰρ ὅσιον δεσπόζεσθαί τινα τῶν θεῶν, ἐπιδεῖσθαί τε μηδενὸς αὐτῶν μηδένα μηδ' ὅλως, ἀκούειν δὲ καὶ ὁρᾶν καθόλου καὶ μὴ κατὰ μέρος. ἀποφαίνεται δὲ καὶ τὴν γῆν ἄπειρον εἶναι καὶ κατὰ πᾶν μέρος μὴ περιέχεσθαι ὑπ' ἀέρος· γίγνεσθαι δ' ἅπαντα ἐκ γῆς. τὸν δ' ἥλιόν φησι καὶ τὰ ἄλλα ἄστρα ἐκ τῶν νεφῶν γίγνεσθαι.

5. *Παρμενίδης* δ' ὁ Ἐλεάτης, ἑταῖρος Ξενοφάνους, ἅμα μὲν καὶ τῶν τούτου δοξῶν ἀντεποιήσατο, ἅμα δὲ καὶ τὴν ἐναντίαν ἐνεχείρησε στάσιν· ἀίδιον μὲν γὰρ τὸ πᾶν καὶ ἀκίνητον ἀποφαίνεται καὶ κατὰ τὴν τῶν πραγμάτων ἀλήθειαν· εἶναι γὰρ αὐτὸ

'μοῦνον μουνογενές τε καὶ ἀτρεμὲς ἠδ' ἀγένητον'·

γένεσιν δὲ τῶν καθ' ὑπόληψιν ψευδῆ δοκούντων εἶναι· καὶ τὰς αἰσθήσεις ἐκβάλλει ἐκ τῆς ἀληθείας· φησὶ δ' ὅτι, εἴ τι παρὰ τὸ ὂν ὑπάρχει, τοῦτο οὐκ ἔστιν ὄν, τὸ δὲ μὴ ὂν ἐν τοῖς ὅλοις οὐκ ἔστιν.

5 *πυριδίων* Toupius: *πυρίων* 11 *καὶ κατὰ*] *καὶ τὸ κάτω* Dielesius coll. p. 895 d. e. *καὶ μὴ κατὰ πᾶν μέρος περιέχεσθαι* Brandisius 13 *τὰ ἄλλα*] *τὰ* Dielesius 18 *καὶ* ante *κατὰ*] del. Duebnerus, sed recte expressum est in versione: 'idque'.

οὕτως οὖν τὸ ὂν ἀγένητον ἀπολείπει. λέγει δὲ τὴν γῆν τοῦ πυκνοῦ καταρρυέντος ἀέρος γεγονέναι.

6. Ζήνων δ' ὁ Ἐλεάτης ἴδιον μὲν οὐδὲν ἐξέθετο, διηπόρησε δὲ περὶ τούτων ἐπὶ πλεῖον.

7. Δημόκριτος δ' ὁ Ἀβδηρίτης ὑπεστήσατο τὸ πᾶν ἄπειρον διὰ τὸ μηδαμῶς ὑπό τινος αὐτὸ δεδημιουργῆσθαι, ἔτι δὲ καὶ ἀμετάβλητον αὐτὸ λέγει· καὶ καθόλου, οἷον τὸ πᾶν ἐστι, ῥητῶς ἐκτίθεται, μηδεμίαν ἀρχὴν ἔχειν τὰς αἰτίας τῶν νῦν γιγνομένων, ἄνωθεν δ' ὅλως ἐξ ἀπείρου χρόνου προκατέχεσθαι τῇ ἀνάγκῃ πάνθ' ἁπλῶς τὰ γεγονότα καὶ ἐόντα καὶ ἐσόμενα. ἡλίου δὲ καὶ σελήνης γένεσίν φησι· κατ' ἰδίαν φέρεσθαι ταῦτα μηδέπω τὸ παράπαν ἔχοντα θερμὴν φύσιν μηδὲ μὴν καθόλου λαμπρότητα, τοὐναντίον δ' ἐξωμοιωμένην τῇ περὶ τὴν γῆν φύσει· γεγονέναι γὰρ ἑκάτερον τούτων πρότερον ἔτι κατ' ἰδίαν ὑποβολήν τινα κόσμου, ὕστερον δέ, μεγεθοποιουμένου τοῦ περὶ τὸν ἥλιον κύκλου, ἐναποληφθῆναι ἐν αὐτῷ τὸ πῦρ.

8. Ἐπίκουρος Νεοκλέους Ἀθηναῖος τὸν περὶ θεῶν τῦφον πειρᾶται καταστέλλειν· ἀλλὰ καὶ οὐδέν, φησί, γίγνεται ἐκ τοῦ μὴ ὄντος, ὅτι τὸ πᾶν ἀεὶ τοιοῦτον ἦν καὶ ἔσται τοιοῦτον· ὅτι οὐδὲν ξένον ἐν τῷ παντὶ ἀποτελεῖται παρὰ τὸν ἤδη γεγενημένον χρόνον ἄπειρον· ὅτι πᾶν ἐστι σῶμα, καὶ οὐ μόνον ἀμετάβλητον ἀλλὰ καὶ ἄπειρον· ὅτι τέλος τῶν ἀγαθῶν ἡ ἡδονή.

4 πλέον Dindorfius 8 τὸ W 14 λαμπρότητα Dielesius: λαμπροτάτην 27 ἡ idem.

9. Ἀρίστιππος ὁ Κυρηναῖος τέλος ἀγαθῶν τὴν ἡδονὴν κακῶν δὲ τὴν ἀλγηδόνα· τὴν δ' ἄλλην φυσιολογίαν περιγράφει, μόνον ὠφέλιμον εἶναι λέγων τὸ ζητεῖν

'ὅττι τοι ἐν μεγάροισι κακόν τ' ἀγαθόν τε τέτυκται'.

10. Ἐμπεδοκλῆς ὁ Ἀκραγαντῖνος στοιχεῖα τέσσαρα, πῦρ, ὕδωρ, αἰθέρα, γαῖαν· αἰτίαν δὲ τούτων φιλίαν καὶ νεῖκος· ἐκ πρώτης φησὶ τῆς τῶν στοιχείων κράσεως ἀποκριθέντα τὸν ἀέρα περιχυθῆναι κύκλῳ· μετὰ δὲ τὸν ἀέρα τὸ πῦρ ἐκδραμὸν καὶ οὐκ ἔχον ἑτέραν χώραν ἄνω ἐκτρέχειν ὑπὸ τοῦ περὶ τὸν ἀέρα πάγου. εἶναι δὲ κύκλῳ περὶ τὴν γῆν φερόμενα δύο ἡμισφαίρια, τὸ μὲν καθόλου πυρὸς τὸ δὲ μικτὸν ἐξ ἀέρος καὶ ὀλίγου πυρός, ὅπερ οἴεται τὴν νύκτα εἶναι. τὴν δ' ἀρχὴν τῆς κινήσεως συμβῆναι ἀπὸ τοῦ τετυχηκέναι κατὰ τὸν ἀθροισμὸν ἐπιβρίσαντος τοῦ πυρός. ὁ δ' ἥλιος τὴν φύσιν οὐκ ἔστι πῦρ ἀλλὰ τοῦ πυρὸς ἀντανάκλασις, ὁμοία τῇ ἀφ' ὕδατος γιγνομένῃ. σελήνην δέ φησι συστῆναι καθ' ἑαυτὴν ἐκ τοῦ ἀποληφθέντος ἀέρος ὑπὸ τοῦ πυρός· τοῦτον γὰρ παγῆναι καθάπερ καὶ τὴν χάλαζαν· τὸ δὲ φῶς αὐτὴν σχεῖν ἀπὸ τοῦ ἡλίου. τὸ δ' ἡγεμονικὸν οὔτ' ἐν κεφαλῇ οὔτ' ἐν θώρακι ἀλλ' ἐν αἵματι· ὅθεν καθ' ὅ τι ἂν μέρος τοῦ σώματος πλεῖον ᾖ παρεσπαρμένον, οἴεται κατ' ἐκεῖνο προτερεῖν τοὺς ἀνθρώπους.

16 corr. vid. ἐπιβρῖσαν τὸ πῦρ 25 οἴεται*: τὸ ἡγεμονικόν, οἴεται libri. Manifestum glossema eliminavi

11. *Μητρόδωρος ὁ Χῖος ἀίδιον εἶναί φησι τὸ πᾶν, ὅτι, εἰ ἦν γενητόν, ἐκ τοῦ μὴ ὄντος ἂν ἦν· ἄπειρον δέ, ὅτι ἀίδιον· οὐ γὰρ ἔχειν ἀρχὴν ὅθεν ἤρξατο οὐδὲ πέρας οὐδὲ τελευτήν. ἀλλ' οὐδὲ κινήσεως μετέχειν τὸ πᾶν· κινεῖσθαι γὰρ ἀδύνατον, μὴ μεθιστάμενον· μεθίστασθαι δ' ἀναγκαῖον ἤτοι εἰς πλῆρες ἢ εἰς κενόν***. *πυκνούμενον δὲ τὸν ἀέρα ποιεῖν νεφέλας, εἶτα ὕδωρ, ὃ καὶ κατιὸν ἐπὶ τὸν ἥλιον σβεννύναι αὐτὸν καὶ πάλιν ἀραιούμενον ἐξάπτεσθαι· χρόνῳ δὲ πήγνυσθαι τῷ ξηρῷ τὸν ἥλιον καὶ ποιεῖν ἐκ τοῦ λαμπροῦ ὕδατος ἀστέρας, νύκτα τε καὶ ἡμέραν ἐκ τῆς σβέσεως καὶ ἐξάψεως, καὶ καθόλου τὰς ἐκλείψεις ἀποτελεῖν.*

12. *Διογένης ὁ Ἀπολλωνιάτης ἀέρα ὑφίσταται στοιχεῖον· κινεῖσθαι δὲ τὰ πάντα ἀπείρους τ' εἶναι τοὺς κόσμους. κοσμοποιεῖ δ' οὕτως· ὅτι τοῦ παντὸς κινουμένου καὶ ᾗ μὲν ἀραιοῦ ᾗ δὲ πυκνοῦ γιγνομένου, ὅπου συνεκύρησε τὸ πυκνόν, συστροφὴν ποιῆσαι, καὶ οὕτω τὰ λοιπὰ κατὰ τὸν αὐτὸν λόγον· τὰ κουφότατα τὴν ἄνω τάξιν λαβόντα τὸν ἥλιον ἀποτελέσαι.*

7 post *κενόν* intercidisse quaedam vidit Zellerus. Unde lacunam cum Dielesio significavi. Fort. supplendum [*KENON. ὅπερ ἀδύνατον· ἔξω γὰρ τοῦ παντὸς οὔτε πλῆρες οὔτε*] *KENON* 10 *τὸν*] om. Dielesius 15 *δὲ τὰ*] *τε κατὰ* idem 18 *συστροφὴν*] 'sc. *πνευμάτων καὶ νεφελῶν* . . . sed vide ne scribendum sit *συστραφὲν γῆν*' Dielesius 20 *τὰ δὲ* idem. Sed fort. supplendum: *λόγον* [*ὅπου δὲ συνέπεσε τὸ ἀραιόν*], *τὰ κουφότατα* aut *λόγον καὶ δὴ τὰ κουφότατα* cett. aut *κατὰ τὸν αὐτὸν οὖν λόγον τὰ κουφ.* aut cum Duebnero *καὶ κατὰ τὸν αὐτὸν λόγον* cett.

IX.

ΕΚ ΤΟΥ ΠΕΡΙ ΤΩΝ ΕΝ ΠΛΑΤΑΙΑΙΣ ΔΑΙΔΑΛΩΝ.

---

1. Ὅτι μὲν οὖν ἡ παλαιὰ φυσιολογία καὶ παρ' Ἕλλησι καὶ βαρβάροις λόγος ἦν φυσικὸς ἐγκεκρυμμένος μύθοις τὰ πολλὰ καὶ δι' αἰνιγμάτων καὶ ὑπονοιῶν ἀπόκρυφος καὶ μυστηριώδης θεολογία, τά τε λαλούμενα τῶν σιγωμένων σαφέστερα τοῖς πολλοῖς ἔχουσα καὶ τὰ σιγώμενα τῶν λαλουμένων ὑποπτότερα, κατάδηλόν ἐστιν ἐν τοῖς Ὀρφικοῖς ἔπεσι καὶ τοῖς Αἰγυπτιακοῖς καὶ Φρυγίοις λόγοις· μάλιστα δ' οἱ περὶ τὰς τελετὰς ὀργιασμοὶ καὶ τὰ δρώμενα συμβολικῶς ἐν ταῖς ἱερουργίαις τὴν τῶν παλαιῶν ἐμφαίνει διάνοιαν.

2. Οἷον, ἵνα μὴ μακρὰν τῶν ἐνεστηκότων λόγων βαδίζωμεν, οὐ νομίζουσιν οὐδ' ἀξιοῦσι κοινωνίαν εἶναι πρὸς Διόνυσον Ἥρᾳ· καὶ φυλάσσονται δὲ συμμιγνύναι τὰ ἱερά, καὶ τὰς Ἀθήνησιν ἱερείας ἀπαντώσας, φασίν, ἀλλήλαις μὴ προσαγορεύειν, μηδ' ὅλως κιττὸν εἰς τὸ τῆς Ἥρας εἰσκομίζεσθαι τέμενος,

3 Fragm. ex Eusebii Praepar. Ev. 3, 1 4 ἐγκεκρυμμένος] aut hoc aut ἐγγεγραμμένος codices. ἐγκεκαλυμμένος libri editi. συγκεκραμένος Piccolos 5 καὶ ante δι' Duebnerus. Possis etiam δὲ δι' 8 ἔχουσα W: ἔχοντα 18 φασίν Vigerus: φησίν

οὐ διὰ τὰς μυθικὰς καὶ φλυαρώδεις ζηλοτυπίας, ἀλλ' ὅτι γαμήλιος μὲν ἡ θεὸς καὶ νυμφαγωγός, ἀπρεπὲς δὲ τὸ μεθύειν νυμφίοις καὶ γάμοις ἀναρμοστότατον, ὥς φησιν ὁ Πλάτων· ἀκρατοποσία γάρ, φησί, ταραχὴν ἐμποιεῖ καὶ ψυχαῖς καὶ σώμασιν, ὑφ' ἧς ἄπλαστα καὶ πεπλανημένα ῥιζοῦται κακῶς τὰ σπειρόμενα καὶ κυϊσκόμενα. πάλιν οἱ θύοντες τῇ Ἥρα τὴν χολὴν οὐ καθαγίζουσιν ἀλλὰ κατορύττουσι παρὰ τὸν βωμόν, ὡς δέον ἄθυμον καὶ ἄχολον καὶ καθαρεύουσαν ὀργῆς καὶ πικρίας ἁπάσης τὴν γυναικὸς καὶ ἀνδρὸς εἶναι συμβίωσιν.

3. *Τοῦτο δὲ τὸ συμβολικὸν εἶδος ἐν τοῖς λόγοις καὶ τοῖς μύθοις ἔστι μᾶλλον· οἷον ἱστοροῦσι τὴν Ἥραν ἐν τῇ Εὐβοίᾳ τρεφομένην ἔτι παρθένον ὑπὸ τοῦ Διὸς κλαπῆναι, καὶ διακομισθεῖσαν ἐνταῦθα κρύπτεσθαι, Κιθαιρῶνος αὐτοῖς ἐπίσκιόν τινα μυχὸν καὶ θάλαμον αὐτοφυῆ παρασχόντος· ἐλθούσης δὲ τῆς Μακρίδος κατὰ ζήτησιν (ἦν δὲ Ἥρας τιθήνη) καὶ βουλομένης ἐρευνᾶν, οὐκ ἐᾶν τὸν Κιθαιρῶνα πολυπραγμονεῖν οὐδὲ τῷ χωρίῳ προσάγειν, ὡς τοῦ Διὸς ἐκεῖ τῇ Λητοῖ συναναπαυομένου καὶ συνδιατρίβοντος. ἀπελθούσης δὲ τῆς Μακρίδος, οὕτω τότε μὲν διαλαθεῖν τὴν Ἥραν, ὕστερον δὲ τῇ Λητοῖ χάριν ἀπομνημονεύουσαν ὁμοβώμιον θέσθαι καὶ σύνναον· ὥστε καὶ Λητοῖ Μυχίᾳ προθύεσθαι· τινὲς δὲ Νυχίαν λέγουσι. σημαίνεται δ' ἐν ἑκατέρῳ τῶν ὀνομάτων τὸ κρύφιον καὶ διαλεληθός. ἔνιοι δὲ τὴν*

4 *Πλάτων*] in Legg. p. 775c   17 malim *αὐτοφυᾶ*

Ἥραν αὐτὴν ἐκεῖ τῷ Διὶ λάθρᾳ συνοῦσαν καὶ λανθάνουσαν οὕτω Λητώ φασι Νυχίαν προσηγορεῦσθαι· φανερῶν δὲ τῶν γάμων γενομένων καὶ περὶ τὸν Κιθαιρῶνα πρῶτον ἐνταῦθα καὶ τὰς Πλαταιὰς τῆς ὁμιλίας ἀνακαλυφθείσης, Ἥραν Τελείαν καὶ Γαμήλιον αὐτὴν προσαγορευθῆναι.

4. Οἱ δὲ φυσικῶς μᾶλλον καὶ πρεπόντως ὑπολαβόντες τὸν μῦθον οὕτως εἰς ταὐτὸ τῇ Λητοῖ συνάγουσι τὴν Ἥραν. γῆ μέν ἐστιν ἡ Ἥρα καθάπερ εἴρηται, νὺξ δ' ἡ Λητὼ 'ληθώ' τις οὖσα τῶν εἰς ὕπνον τρεπομένων. νὺξ δ' οὐδέν ἐστιν ἄλλο πλὴν σκιὰ γῆς· ὅταν γὰρ πλησιάσασα ταῖς δυσμαῖς ἀποκρύψῃ τὸν ἥλιον, ἀναπλατυνομένη μελαίνει τὸν ἀέρα· καὶ τοῦτ' ἔστι τὸ ἐκλειπτικὸν ὀλίσθημα τῶν πανσελήνων, ὅταν τῆς σελήνης περιφερομένης ἡ σκιὰ τῆς γῆς ἐπιψαύσῃ καὶ διαθολώσῃ τὸ φέγγος.

5. Ὅτι δ' οὐκ ἄλλη τίς ἐστι τῆς Ἥρας ἡ Λητώ, μάθοιτ' ἂν ἐνθένδε. τὴν Ἄρτεμιν ἤδη που θυγατέρα Λητοῦς καλοῦμεν, ἀλλὰ καὶ Εἰλείθυιαν τὴν αὐτὴν ὀνομάζομεν· οὐκοῦν ἥ τε Ἥρα καὶ ἡ Λητὼ δύο εἰσὶ μιᾶς θεοῦ προσηγορίαι. πάλιν ἐκ μὲν Λητοῦς ὁ Ἀπόλλων ἐκ δ' Ἥρας ὁ Ἄρης γέγονε· μία δ' ἐστὶν ἀμφοτέρων δύναμις, καὶ κέκληται Ἄρης μὲν ὡς 'ἀρήγων' τοῖς κατὰ βίαν καὶ μάχην συμπτώμασιν, Ἀπόλλων δ' ὡς 'ἀπαλλάττων' καὶ 'ἀπολύων' τῶν περὶ σῶμα νοσηματικῶν παθῶν τὸν ἄν-

4 ἐνταῦθα] εἶτα δὲ Piccolos, non opus 13 malim πλατυνομένη 23 fort. καὶ Ἄρης μὲν κέκληται aut καὶ κέκλ. μὲν Ἄρης 26 νοσηματικῶν] malim νοσημάτων καὶ

θρωπον. διὸ καὶ τῶν ἐμπυρωτάτων ἄστρων καὶ πυριφλεγεστάτων ὁ μὲν ἥλιος Ἀπόλλων κέκληται ὁ δὲ πυροειδὴς Ἄρης ἐπωνόμασται. καὶ οὐκ ἀπότροπόν ἐστι τὴν αὐτὴν θεὸν Γαμήλιον λέγεσθαι καὶ μητέρα Εἰλειθυίας καὶ Ἡλίου νομίζεσθαι· γάμου γὰρ τέλος γένεσίς ἐστι, γένεσις δ' ἡ εἰς ἥλιον καὶ φῶς ἐκ σκότους πορεία· καὶ καλῶς ἔφη ὁ ποιητής

'αὐτὰρ ἐπειδὴ τόν γε μογοστόκος Εἰλείθυια
ἐξάγαγε πρὸ φόωσδε καὶ ἠελίου ἴδεν αὐγάς'.

εὖ ὁ ποιητὴς τῇ μὲν προθέσει τὴν σύνθεσιν ἔθλιψεν, ἐμφαίνων τὸ βεβιασμένον τῆς ὠδῖνος, τέλος δὲ τῆς γενέσεως ἐποίησεν ἥλιον ἰδεῖν. οὐκοῦν ἡ αὐτὴ θεὸς ἐποίησε καὶ γάμον συνελθεῖν, ἵνα γένεσιν παρασκευάσῃ.

6. Δεῖ δ' ἴσως καὶ τὸν εὐηθέστερον μῦθον εἰπεῖν. λέγεται γὰρ ὁ Ζεύς, τῆς Ἥρας αὐτῷ διαφερομένης καὶ μηκέτι φοιτᾶν εἰς ταὐτὸ βουλομένης ἀλλὰ κρυπτούσης ἑαυτήν, ἀμηχανῶν καὶ πλανώμενος Ἀλαλκομένει τῷ αὐτόχθονι συντυχεῖν καὶ διδαχθῆναι ὑπὸ τούτου, ὡς ἐξαπατητέον τὴν Ἥραν σκηψάμενον γαμεῖν ἑτέραν. συνεργοῦντος δὲ τοῦ Ἀλαλκομένους, κρύφα τεμόντας αὐτοὺς εὐκέατον καὶ παγκάλην δρῦν μορφῶσαί τ' αὐτὴν καὶ καταστεῖλαι νυμφικῶς, Δαι-

3 malim πυρόεις ib. ἀπότροπον] ἀπὸ τρόπου Gaisfordus 8 Hom. π 187 10 εὖ ὁ ποιητὴς] delenda cum Piccolo puto et deinde scrib. τῇ μὲν γὰρ aut quidem corrig. οὗ (ubi) ὁ ποιητὴς 17 *: τὸ αὐτὸ 20 corr. Huttenus: σκεψάμενον 22 ἐκτεμόντας αὐτοὺς Herwerdenus, sed cf. Vit. Marcell. c. 8 ib. εὐκέατον idem: εὐκτέανον cf. Vit. Marcell. l. l. variam lectionem εὐκεάνου

δάλην προσαγορεύσαντας· εἶθ' οὕτως ἀναμέλπεσθαι μὲν τὸν ὑμέναιον, λουτρὰ δὲ κομίζειν τὰς Τριτωνίδας Νύμφας, αὐλοὺς δὲ καὶ κώμους τὴν Βοιωτίαν παρασχεῖν· περαινομένων δὲ τούτων οὐκέτι τὴν Ἥραν καρτερεῖν, ἀλλὰ καταβᾶσαν ἐκ τοῦ Κιθαιρῶνος, τῶν Πλαταιΐδων αὐτῇ γυναικῶν ἑπομένων, ὑπ' ὀργῆς καὶ ζηλοτυπίας θέουσαν ἐλθεῖν πρὸς τὸν Δία, καὶ τοῦ πλάσματος φανεροῦ γενομένου, διαλλαγεῖσαν μετὰ χαρᾶς καὶ γέλωτος αὐτὴν νυμφαγωγεῖν· τιμὴν δὲ τῷ ξοάνῳ προσθεῖναι, καὶ Δαίδαλα τὴν ἑορτὴν προσαγορεῦσαι, κατακαῦσαι δ' ὅμως αὐτὸ καίπερ ἄψυχον ὂν ὑπὸ ζηλοτυπίας.

7. Ὁ μὲν οὖν μῦθος τοιοῦτος, ὁ δὲ λόγος αὐτοῦ τοιόσδε. Ἥρας καὶ Διὸς διαφορὰ καὶ στάσις οὐδὲν ἄλλο πλὴν στοιχείων δυσκρασία καὶ τάραχός ἐστιν, ὅταν ἀλλήλοις μηκέτι συμμετρῆται κατὰ κόσμον, ἀλλὰ καὶ ἀνωμαλίας καὶ τραχύτητος ἐγγενομένης δυσμαχήσαντα λύσῃ τὴν κοινωνίαν καὶ φθορὰν τῶν ὅλων ἀπεργάσηται. ἂν μὲν οὖν ὁ Ζεύς, τουτέστιν ἡ θερμὴ καὶ πυρώδης δύναμις, αἰτίαν παράσχῃ τῆς διαφθορᾶς, αὐχμὸς τὴν γῆν καταλαμβάνει· ἐὰν δὲ περὶ τὴν Ἥραν, τουτέστι τὴν ὑγρὰν καὶ πνευματικὴν φύσιν, ὕβρις τις ᾗ πλεονασμὸς γένηται, ῥεῦμα ἦλθε πολὺ καὶ συνώμβρισε καὶ κατέκλυσε τὰ πάντα. τοιούτου δέ τινος γενομένου καὶ περὶ τοὺς τότε χρόνους, καὶ μάλιστα τῆς Βοιωτίας βυθισθείσης, ὡς πρῶτον ἀνέδυ τὸ πεδίον καὶ ἡ πλήμμυρα ἐλώ-

27 πρῶτον ἀνέδυ] πρότερον ἔφη codd. AH, unde πρῶτον ἀνεφάνη Piccolos

φησεν, ὁ μὲν ἐξ εὐδίας κόσμος τοῦ περιέχοντος ὁμόνοια καὶ διαλλαγὴ τῶν θεῶν ἐλέχθη. πρῶτον δ' ἀνέσχεν ἐκ τῶν φυτῶν τῆς γῆς ἡ δρῦς, καὶ ταύτην ἠγάπησαν οἱ ἄνθρωποι, τροφῆς βίου καὶ σωτηρίας διαμονὴν παρασχοῦσαν. οὐ γὰρ μόνον τοῖς εὐσεβέσιν, ὡς Ἡσίοδός φησιν, ἀλλὰ καὶ τοῖς ὑπολειφθεῖσι τῆς φθορᾶς

'ἄκρη μέν τε φέρει βαλάνους, μέσση δὲ μελίσσας'.

1 ὁ μὲν] deest apodosis 8 Hes. OD 231

X.

ΕΚ ΤΟΥ ΑΥΤΟΥ.

Ἡ δὲ τῶν ξοάνων ποίησις ἀρχαῖον ἔοικεν εἶναί καὶ παλαιόν, εἴγε ξύλινον μὲν ἦν τὸ πρῶτον εἰς ῆλον ὑπὸ Ἐρυσίχθονος Ἀπόλλωνι ἐπὶ τῶν θεω-ῶν ἄγαλμα, ξύλινον δὲ τὸ τῆς Πολιάδος ὑπὸ τῶν τοχθόνων ἱδρυθέν, ὃ μέχρι νῦν Ἀθηναῖοι διαφυ-ττουσιν. Ἥρας δὲ καὶ Σάμιοι ξύλινον εἶχον ἕδος, φησι Καλλίμαχος

ὔπω Σκέλμιον ἔργον ἐύξοον, ἀλλ' ἔτι τεθμῷ
δηναιῷ γλυφάνων ἄξοος ἦσθα σανίς.
δε γὰρ ἱδρύοντο θεοὺς τότε· καὶ γὰρ Ἀθήνης
ἐν Λίνδῳ Δαναὸς λεῖον ἔθηκεν ἕδος'.

2 Fragm. ex Euseb. Praep. Ev. 3, 8 7 corr. Bentleius: · 8 cf. Callimach. Fragm. 105 9 *Σκέλμιον*] i. e. iis, quae Scelmis, artifex celeberrimus, faciebat simile. *μιος* Bentleius. *Σμίλιον* Schneiderus coll. Clem. Alex. Pott. *τὸ δὲ ἐν Σάμῳ τῆς Ἥρας ξόανον σμίλῃ τῇ Εὐκλεί-πεποιῆσθαι*, ubi corr. *Σμίλιδι Εὐκλείδου* Schneiderus; s erat *Σμίλι* (dat. ion.) *τῷ Εὐκλείδου*, cf. *Σάϊς, Σάρα-* m. ib. *ἐύξοον* Bentleius: *εἰς ξόανον* ib. corr. Meine- *ἐπὶ τεθμὸν* 10 *δὴ νεόγλυφον ὦναξ θεᾶς*: corr. Bent- nisi quod pro Bentleiano *δηναιοῦ γλυφάνῳ* Schneiderus liis edidit *δηναιῷ γλυφάνων* 12 *λεῖον*] *λίθον* codd. es. *κίον'* Bentleius. *λιτὸν* Vossius. *λᾶαν* Toupius. *λισσὸν*

λέγεται δὲ Πείρας ὁ πρῶτος Ἀργολίδος Ἥρας ἱερὸν εἱσάμενος τὴν ἑαυτοῦ θυγατέρα Καλλίθυιαν ἱέρειαν καταστήσας, ἐκ τῶν περὶ Τίρυνθα δένδρων ὄγχνην τεμὼν εὐκέατον, Ἥρας ἄγαλμα μορφῶσαι. πέτραν μὲν γὰρ εἰς θεοῦ κόπτειν εἰκόνα σκληρὰν καὶ δύσεργον καὶ ἄψυχον οὐκ ἐβούλοντο, χρυσὸν δὲ καὶ ἄργυρον ἡγοῦντο γῆς ἀκάρπου καὶ διεφθαρμένης χρώματα νοσώδη καὶ κηλῖδας ἐξανθεῖν ὥσπερ μώλωπας ὑπὸ πυρὸς ῥαπισθείσης· ἐλέφαντι δὲ παίζοντες μὲν ἔσθ' ὅπου προσεχρῶντο ποικίλματι τρυφῆς.

4 corr. Herwerdenus: εὐκτέανον 10 τρυφῆς] τροφῆς alii codd., unde γραφῆς suspic. W. Ceterum orationem mancam esse ostendit praegressum μὲν

XI.

ΕΚ ΤΩΝ ΕΙΣ ΗΣΙΟΔΟΝ ΥΠΟΜΝΗΜΑΤΩΝ.

---

1. *''Ἰθύνει σκολιόν.' Τὸν ποικίλον τὸ ἦθος διὰ πανουργίαν 'σκολιὸν' ὀνομάζει. τοῦτον οὖν ἰθύνειν λέγει τὸν Δία, πάλιν εἰς τὸ ἁπλοῦν ἐπανάγοντα ἦθος, διὰ τὸ κολάζειν αὐτὸν ἐν τῇ πανουργίᾳ.*

2. *'Καὶ ἀγήνορα κάρφει.' Τὸν αὐθάδη καὶ ὑπερόπτην εὐτελῆ ποιεῖ καὶ ταπεινόν. ἡ γὰρ αὐθάδεια πρὸς καταφρόνησιν ἐγείρει τῶν ἄλλων ἁπάντων, ἡ δὲ ταπείνωσις εἰς ἔννοιαν ἄγει τοῦ μηδὲν ἡμᾶς διαφέρειν τῶν ὁμοίων καὶ μετρίους ποιεῖ τὸ ἦθος.*

3. *'Οὐδ' ὅσον ἐν μαλάχῃ τε.' Τὸν ἐκ τοῦ ῥᾴστου βίου λέγει, ἴσως δὲ καὶ ἀφ' ἱστορίας τοῦτο λέγει. Ἕρμιππος γὰρ ἐν τῷ τῶν ἑπτὰ σοφῶν περὶ τῆς ἀλίμου λέγει· μέμνηται δὲ τῆς ἀλίμου καὶ Ἡρόδωρος ἐν τῷ πέμπτῳ τοῦ καθ' Ἡρακλέα λόγου, καὶ Πλάτων ἐν γ' τῶν Νόμων. Ἐπιμενίδην φησὶ μικρόν τι ἐδεσμάτιον προσφερόμενον ὧδε διατελεῖν*

3 Scholium Proculi ad OD vs. 7 add. Westerwickius (De Plut. studiis Hesiodeis Monasterii 1893) 7 Schol. ibid. add. idem ex eodem 12 Schol. Proculi ad vs. 41 add. Heinsius 14 *τῷ*] fort. *τῷ λόγῳ* 15 *Ἡρόδωρος* Heinsius: *Ἡρόδοτος* 17 fort. *ἐν τῷ γ'* 18 *διατελεῖν ὅλην* *: *διὰ ὅλην τελεῖν*

ὅλην τὴν ἡμέραν, ἣν δ' ἐξ ἀσφοδέλου καὶ μαλάχης, ὅπερ αὐτὸν ἄλιμον καὶ ἄδιψον ἐποίει.

4. 'Προμηθεὺς ἀγκυλομήτης.' Εἰ δὲ ἀγκυλομήτης ὁ Προμηθεύς (οὕτω γὰρ γράφειν δεῖ καθ' ἃ καὶ Πλούταρχος), Κρόνιός τίς ἐστι καὶ νοερῶς ἑαυτὸν νοῶν, καὶ ἀγκύλως εἰς ἑαυτὸν ἐπεστραμμένος.

5. ''Εθέλημοι.' Ἐκ παραλλήλου· 'ἐθέλημοι' γὰρ καὶ 'ἥσυχοι' ταὐτόν ἐστιν, ἡσύχως καὶ ἑκουσίᾳ γνώμῃ. ἐμφαίνει δὲ διάθεσιν ψυχῆς ἀρίστης ἀφ' ἧς ἐστι τὸ χαίρειν καὶ εὐφραίνεσθαι καὶ ἀλύπως εὐωχεῖσθαι, ἀντὶ τοῦ μεθ' ἡδονῆς.

6. 'Τοὶ μὲν δαίμονες.' Τοὺς μεθισταμένους τοῦ ζῆν ὄντας δὲ φύλακας τοῦ βίου τῶν ἀνθρώπων 'δαίμονας' καλεῖ παρὰ τὸ 'δαῆναι' τὰ πάντα ἢ μερίζειν τὰ ἀγαθὰ τοῖς ἀνθρώποις. Ὅμηρος δὲ δαίμονας τοὺς ἀνθρώπους οὐ καλεῖ ἀλλὰ τοὺς θεούς. ἢ οὕτως· εἰς τέσσαρα διαιρεῖ τὴν λογικὴν πᾶσαν φύσιν, τὴν μὲν πρώτην θεῶν, τὴν δὲ δευτέραν δαιμόνων, τὴν δὲ τρίτην ἡρώων, καὶ τὴν τετάρτην ἀνθρώπων. καὶ τὸ μὲν θεῖον ἡμῖν ἀνεπίμικτον, δαίμονας δὲ τοὺς ἐφορῶντας τὰ ἀνθρώπινα, ὡς καὶ Πλάτων φησίν.

7. 'Τρίτον ἄλλο γένος.' Τοῦτο τὸ γένος εἰκότως τρίτον οὔτε νωθρὸν ὂν οὔτε πανοῦργον, ἀλλὰ δεινὸν ὄντως καὶ εἰς τυραννικὴν δυναστείαν ἐκλακτίσαν

3 Pr. scholium ad 48 add. W ut reliqua de quibus nihil adnotavi. Lemma addidi 7 Pr. ad 118 addidi ego 12 Pr. ad 122 22 *Πλάτων*] in Legg. p. 713c 23 Pr. ad 143 add. Westerwickius

καὶ φονικόν, τῶν σωμάτων μόνον ἐπιμελές. διό φησιν

'ἄπλατοι, μεγάλη δὲ βίη καὶ χεῖρες ἄαπτοι
ἐξ ὤμων ἐπέφυκον'.

δηλοῖ γὰρ ὅτι τῶν σωμάτων τὴν ῥώμην ἤσκουν οἱ ἐν τούτῳ τῷ γένει, τῶν δ' ἄλλων ἀμελοῦντες περὶ τὴν τῶν ὅπλων κατασκευὴν διέτριβον καὶ τῷ χαλκῷ πρὸς τοῦτο ἐχρῶντο ὡς τῷ σιδήρῳ πρὸς γεωργίαν, διά τινος βαφῆς τὸν χαλκὸν στερροποιοῦντες ὄντα φύσει μαλακόν. ἐκλιπούσης δὲ τῆς βαφῆς ἐπὶ τὴν τοῦ σιδήρου καὶ ἐν τοῖς πολέμοις χρῆσιν ἐλθεῖν. τοῦτο δὴ τὸ χαλκοῦν γένος 'ἐκ μελιᾶν' εἶπε φῦναι δωρικῶς, ἀντὶ τοῦ ἐκ τῶν μελιῶν τῶν δένδρων, οὐχὶ ἐκ τῶν Μελιῶν Νυμφῶν· καὶ γὰρ Μελίας Νύμφας εἶναί φασιν· ἄτοπον γὰρ τοὺς ἐκ τοῦ θείου γένους ὄντας θηριώδεις φῦναι· ἀλλ' ὡς ἐκ δένδρων στερεῶν καὶ δυσσήπτων γεγονότας τά τε σώματα γενέσθαι ἰσχύοντας καὶ τὰ ἤθη ἀτεράμονας καὶ βιαίους· τοῦτο γὰρ αἰνίττεται ἡ ἐκ τῶν μελιῶν αὐτοῖς γένεσις.

8. 'Ἐν μακάρων νήσοισι.' Περὶ δὲ τῶν ἐν Ὠκεανῷ νήσων Ὅμηρος καὶ οὑτοσὶν ὁ Ἡσίοδος καὶ Λυκόφρων καὶ Πλούταρχος καὶ Φιλόστρατος καὶ Δίων καὶ ἕτεροί τινες συγγεγραφήκεσαν, ὡς ἀγαθή τε ἡ χώρα ἐστὶ καὶ ἀεὶ καταπνεομένη Ζεφύρῳ τρὶς ἔτους ἑκάστου

8 ὡς τῷ σιδήρῳ] del. idem ib. πρὸς γεωργίαν] transponit post τοῦ σιδήρου idem 11 ἐλθεῖν] ἦλθον idem 21 Tzetz. ad 171. Lemma addidi

ἀναδίδωσι τοὺς καρπούς· ἐκεῖσε δέ φασι καὶ τὰς τῶν ἀποβεβιωκότων ψυχὰς διαπορθμεύεσθαι, γράφοντες τοιάδε· ‘Περὶ τὴν ἀκτὴν τοῦ περὶ τὴν Βρεταννίαν νῆσον Ὠκεανοῦ ἄνθρωποί τινες οἰκοῦσιν ἰχθυοθῆραι, κατήκοοι μὲν Φράγγοις φόρον δὲ μὴ τελοῦντες αὐτοῖς. οὗτοι περὶ τὰς αὐτῶν οἰκίας καθεύδοντες φωνῆς ἀκούουσι καλούσης αὐτοὺς καὶ κρότου περὶ τὰς θύρας αἰσθάνονται· ἀναστάντες δὲ πλοῖα εὑρίσκουσί τινα, οὐχὶ τὰ αὐτῶν, ἐπιβατῶν μεστά. εἰς ταῦτα οὖν εἰσελθόντες μιᾷ ῥοπῇ πρὸς τὴν Βρεταννίαν νῆσον καταίρουσι κωπηλατοῦντες, καίπερ μόλις ὅλῳ νυχθημέρῳ λαίφεσι πεπταμένοις καταπλέοντες εἰς αὐτήν, ὅτε ταῖς ἰδίαις ναυσὶ κέχρηνται. ἐκεῖ γοῦν ἀποβάντες ἐξάγουσιν οὓς οὐκ εἰδότες φέρουσιν ἐπιβάτας. οὐδένα δὲ ὁρῶντες ἀκούουσι φωνῆς τῶν ὑποδεχομένων αὐτοὺς κατ᾽ ὄνομα καὶ κατὰ φυλὴν καὶ κατὰ συγγένειαν καὶ τέχνην καλούσης αὐτούς, καὶ αὐτῶν δὲ ὁμοίως ἀποκρινομένων. καὶ οὕτω πάλιν μιᾷ ῥοπῇ πρὸς τὴν ἑαυτῶν ἀποπλέοντες αἰσθάνονται τῶν νηῶν ἐλαφροτέρων ἢ ὅτε οὓς εἶχον ἀπεκόμιζον.’ ἐκ τούτου πάντες ἔφασαν παῖδες Ἑλλήνων ἐκεῖ τὰς τῶν ἀποβεβιωκότων διάγειν ψυχάς· ὃ νῦν καὶ Ἡσίοδός φησι περὶ τῶν ἡρώων.

9. ‘*Ὁμοίϊος.*’ *Τὸ μὲν ὁμοίϊος δηλοῖ τὸ κοινωνικὸν καὶ προσήγορον καὶ φίλιον· φιλία γὰρ δι᾽ ὁμοιότητος ἐπιτελεῖται. πάντα δ᾽ ἐκτραγῳδεῖ τὰ ἐπεισελθόντα κακὰ ἐν τῷ βίῳ μετ᾽ αὐτόν, τὴν ἀπι-*

24 Pr. ad 182 addidi

στίαν τῶν παίδων καὶ πατέρων, τὴν τῶν ξένων καὶ ξενοδόχων, τὴν τῶν ἑταίρων πρὸς ἀλλήλους. τριττὴ γὰρ καὶ φιλία, συγγενικὴ ἑταιρικὴ ξενική.

10. 'Τὰ δὲ λείψεται.' Τουτέστι τὸ τῶν κακῶν ἔσχατον. ἀναιδείας γὰρ κρατησάσης καὶ φθόνου τῶν ἀνθρώπων, πάντη τὸ γένος ἡμῶν ἀπολιπεῖν αἰδῶ καὶ νέμεσιν· τούτων γὰρ ἀπόπτωσίς ἐστιν ἡ ἀναίδεια καὶ ὁ φθόνος. ἀλλ' οὗτος μὲν εἴδωλον ὢν νεμέσεως· δοκεῖ γὰρ αὐτὸς ἐπὶ τοῖς παρ' ἀξίαν εὐτυχοῦσιν ἀγανακτεῖν· ἡ δ' ἀναίδεια οὐχὶ εἴδωλον τῆς αἰδοῦς ἀλλὰ τὸ ἐναντιώτατον πρὸς αὐτὴν ὑποκρινόμενον τὴν παρρησίαν. εἰ δὲ λευκὰ τὰ φάρη τῆς αἰδοῦς καὶ νεμέσεως, ἐν φωτὶ μὲν αὐταῖν ἡ ὑπόστασις νοεραὶ δ' αἱ δυνάμεις, πόρρω δ' εἰσὶ τῆς ἀθέου καὶ σκοτώδους τῶν παθῶν οὐσίας. διὸ τὴν μὲν αἰδῶ θεῖον φόβον ὑμνοῦσι, τὴν δὲ νέμεσιν δίκης ἄγγελον. καλῶς οὖν καὶ Πλάτων ἐρωτηθεὶς τί ποτε προσγέγονε τοῖς κατ' αὐτὸν ἀνθρώποις, ἀπεκρίνατο μὴ αἰσχύνεσθαι κακοὺς ὄντας. ὅτι δὲ θεῖον πρᾶγμα καὶ ἡ νέμεσις, δηλοῖ τὸ καὶ θεοῖς αὐτὴν ὑπάρχειν· 'νεμέσησε δὲ πότνια Ἥρη' φησὶν ἡ ποίησις. φθόνος δ' ἔξωθεν θείου χοροῦ παντός.

4 Pr. ad 200 add. Westerwickius 9 oratio turbata. Fort. corr. ὢν νεμέσεως δοκεῖ καὶ αὐτὸς (aut παρ' αὐτὴν) ἐπὶ τοῖς — — ἀγανακτεῖν, ut audiatur ἀληθῶς δ' οὐκ ἀγανακτῶν 10 ἀγανακτεῖν] add. ἀλλ' ἡ μὲν νέμεσις ἐπὶ τοῖς ὡς ἀληθῶς παρὰ τὴν ἀξίαν εὐτυχοῦσιν Dorvillii codex 21 vid. Hom. Θ 198 22 φθόνος κτἑ] cf. Plat. Phaedr. p. 247a

11. *'Οὐδὲ μὲν ἐσθλός.'* Λέγει δὲ ἐσθλοὺς οὐ τοὺς τῇ τύχῃ καὶ τῇ δυνάμει προέχοντας, ὥς φησι Πλούταρχος, ἀλλὰ τοὺς κατ' ἀρετὴν προέχοντας, ἐκ τούτου μᾶλλον δεικνὺς τὴν ὕβριν ἀφόρητον. οἱ μὲν γὰρ ἐν δυνάμει καὶ σφόδρα δυσχεραίνουσιν ἐπὶ ταῖς ἐκ τῶν ἀσθενεστέρων εἰς αὐτοὺς ὕβρεσιν· οἱ δὲ κατ' ἀρετὴν ζῶντες καὶ ταύτας τὰς ὕβρεις διαπτύουσιν. οὐδὲ γὰρ χείρων ἐγώ, φησὶν ὁ Σωκράτης, ἂν ὁ δεῖνα ἐπὶ κόρρης πατάξῃ με ἀδίκως.

12. *'Σκολιῇσι δίκῃσι.'* Σκολιὰς δὲ δίκας λέγει νῦν τὰς κακῶς δεδικασμένας διὰ τὸ μηδὲν ὑγιὲς φρονεῖν τοὺς δικάζοντας ἀλλ' ἐμπαθῶς δικάζειν· πᾶν γὰρ πάθος σκολιόν, ὡς ἁπλοῦν τὸ ἀπαθές.

13. *''Ρόθος ἑλκομένης.'* Τὸν ῥόθον οἱ μὲν ἤκουσαν τὸν ψόφον, ὅθεν καὶ ῥόθιον καλεῖσθαι τὸ κτυποῦν κῦμα καὶ ῥεῦμα· Πλούταρχος δὲ βοιωτιάζων (οὕτω γὰρ καλεῖν φασι Βοιωτούς) τὰς ὀρεινὰς ὁδοὺς τὰς στενὰς καὶ δυσάντεις ῥόθους ὀνομάζεσθαί φησιν. εἰ οὖν τοῦτο κρατοίη, λέγοι ἂν ὅτι, τῆς δίκης ἑλκομένης ὑπὸ τῶν ἐπὶ δώροις τὰς δίκας κρινόντων σκολιῶς, ῥόθος ἐστί, τουτέστι δυσάντης ἡ ὁδὸς καὶ τραχεῖα, δι' ἧς ἕλκεται ὑπὸ τῶν δικαστῶν· ἀντίκειται γὰρ τῷ εὐθεῖ τὸ σκολιὸν καὶ τῷ λείῳ τὸ τραχὺ καὶ τῷ εὐδιοδεύτῳ τὸ στενὸν καὶ δυσχωρίαν ἔχον· τοιαύτη δ' ἐστὶ πᾶσα μοχθηρὰ κρίσις.

14. *'Πολλάκι καὶ ξύμπασα πόλις.'* Τοῦτο δοκεῖ

1 Pr. ad 214 ib. οὐ] transponit post ἀλλὰ (vs. 22) Westerwickius 10 Pr. ad 219 add. idem 14 Pr. ad 220. Lemma addidi 26 Pr. ad 240 inseruit Patzigius

μὲν οὐκ εἶναι κατὰ δίκην, τὸ ἑνὸς ἕνεκα πονηροῦ πόλιν ὅλην διδόναι ποινήν. δύναται δὲ λέγειν ὅτι μοχθηροῦ ἑνὸς ὄντος ὥσπερ νοσήματος ἡ πόλις παραπολαύουσα πολλάκις εἰς ὅλην ἑαυτὴν ἀναμάττεται τὴν πονηρίαν ἐξομοιουμένη τῷ ἑνί. δύναται δὲ κἀκεῖνο σημαίνειν ὅτι ἑνὸς ὄντος πονηροῦ δίδωσιν ἡ πᾶσα πόλις δίκην, ὡς ἐξὸν κωλύειν μὴ κωλύουσα τὴν τοῦ ἑνὸς πονηρίαν. οὕτω καὶ τοῦ Ἀγαμέμνονος αὐθαδῶς τῷ ἱερεῖ προσενεχθέντος, εἰς πάντας Ἕλληνας διέτεινεν ὁ λοιμός, ὡς παρέντας βοηθῆσαι τῷ ἱερεῖ· καὶ τοῦ Αἴαντος ἀσεβήσαντος περὶ τὸ τῆς Ἀθηνᾶς ἱερόν, πάντες ἔνοχοι τῇ δίκῃ γεγόνασιν, ὡς μὴ ἀγανακτήσαντες ἐπὶ τῷ ἀσεβήματι. δεῖ γὰρ μὴ ἐπιτρέπειν τοῖς ὑβρισταῖς μηδὲ συνεπινεύειν τοῖς ἀδίκοις, δυναμένους μὲν παῦσαι περιορῶντας δὲ τοῦ παῦσαι τὴν ἐξουσίαν τῶν πονηρῶν.

15. *Δεῖ δὲ συνάπτειν τῷ*

'λιμὸν ὁμοῦ καὶ λοιμόν, ἀποφθινύθουσι δὲ λαοί',

τοὺς ἐν τοῖς πολλοῖς φερομένους ὑπερβάντα δύο στίχους, τὸ

'ἢ τῶν γε στρατὸν εὐρὺν ἀπώλεσεν'

καὶ τὰ ἑξῆς. οὕτω Πλούταρχος.

16. *'Ἄν τίς μιν βλάπτῃ.' Ἐάν τις τὸ δίκαιον*

16 malim *τὸ παῦσαι* 18 Pr. ad 242 ib. *τῷ* Gaisfordus: *τὸ* 19 Hes OD 244 20 *τοὺς — φερομένους* W: *τοῖς φερομένοις* 21 *τὸ* Duebnerus 22 *εὐρὺν* idem ex Hesiodo 24 Pr. ad 258 inseruit Westerwickius

βλάπτη παραχαράττων. οὕτω γὰρ βλάπτει ὁ σκολιῶς τοῦτο πράττων καὶ διὰ πανουργίας 'ὀνοτάζων' τὴν Δίκην, ἤγουν οὐχ ἁπλῶς λοιδορῶν ἀλλὰ καὶ ἐξευτελίζων ὡς εὐκαταφρόνητον διὰ τὸ τοῦ δικαίου καταφρονεῖν. ὁ γὰρ τὰ ἀγάλματα τῶν θεῶν ὑβρίζων αὐτοὺς ὑβρίζει τοὺς θεούς· ἄγαλμα δὲ τῆς Δίκης τὸ δίκαιον. ἐὰν οὖν τις τοιοῦτόν τι πράττη, καθημένη παρὰ τῷ Διὶ ἡ Δίκη 'γηρύεται' τὸν ἄδικον νοῦν τῶν ἀνθρώπων καὶ ἀπαγγέλλει τῷ πατρί, ὡς ἂν ἀπ' αὐτοῦ δικάζειν ταχθεῖσα καὶ κρίνειν πάντα ὅσα ἐφορᾷ ὁ Ζεύς. δηλοῖ δὲ τὸ καθῆσθαι τὸ παρὰ τῷ θεῷ τάξιν αὐτὴν καὶ ἕδραν ἔχειν ἀμετακίνητον, ὡς καὶ ἐκεῖνόν φησιν Ὅμηρος ἐν τῇ τοῦ Ὀλύμπου κορυφῇ 'ἄτερ ἥμενον ἄλλων'.

17. 'Νῦν δὴ ἐγὼ μήτ' αὐτός.' Τὸ μὲν λεγόμενον φανερόν· εἰ μὴ ἔστι δίκη καὶ τιμωρία κατὰ τῶν ἀδίκων, μηδ' ἕξουσί τι πλέον οἱ δίκαιοι τῶν ἀδίκων ἐν τῷδε τῷ παρόντι ὃ ἐφορᾷ ὁ Ζεύς, μήτ' αὐτὸς εἴην δίκαιος μήτε παῖς ἐμός· δίκης γὰρ οὐκ οὔσης, ὄνομα μόνον ἔσται τὸ δίκαιον. εἰ δὲ δὴ τὸ δίκαιον καὶ αἱρετόν, κἂν μὴ ᾖ πρόνοια, καὶ φευκτὸν τὸ ἄδικον, δῆλον ὅτι πᾶς οὗτος ὁ λόγος περιττός. διόπερ ὁ Πλούταρχος τοὺς ἑπτὰ τούτους στίχους ἐκβάλλει ἀπὸ τοῦ

'πάντα ἰδὼν Διὸς ὀφθαλμὸς . . .'

ἕως τοῦ

15 Pr. ad 270 ib. νῦν δὴ ἐγώ μήτ' αὐτός] addidi 20 δὴ W: διὰ 25 Hes. OD 265

'ἀλλὰ τάγ' οὔπω ἔολπα τελεῖν Δία μητιόεντα',

ὡς ἀναξίους τῆς Ἡσιόδου περὶ δικαίων καὶ ἀδίκων κρίσεως.

18. 'Ἐν δὲ δίκην βλάψας.' Ὃς ἂν ψευδῆ μαρτυρήσας ἑκὼν ἀποκρύψῃ τὸ δίκαιον καὶ ὅρκον προσθεὶς νήκεστον βλάβην καὶ ἀνίατον ὑπομείνῃ διὰ τῆς ψευδομαρτυρίας καὶ ἐπιορκίας, ἀμαυροτέρα ἡ τούτου γενεὰ γίνεται, ὡς ἡ τοῦ εὐόρκου ἀμείνων ἡ γενεά. τὰ γὰρ τῶν πατέρων ἀδικήματα χραίνει καὶ τοὺς ἐκγόνους αὐτῶν καὶ ἐνόχους ἀποφαίνει ταῖς τιμωρίαις· καὶ γὰρ ὀνείδη καὶ ἀδοξίαι ἐκ τῶν ἀδικιῶν συμβαίνουσι, καὶ τίσεις ἐκ τῶν ἁμαρτημάτων ἀπολαμβάνοντες, ὧν ἔσχον ἀδικήσαντες οἱ πατέρες αὐτῶν, συναπολαύουσι τῶν ὀφειλομένων ἐκείνοις κολάσεων ἀνθ' ὧν ἠδίκησαν. ἄλλως δὲ γινώσκει τὸ θεῖον ὡς τοῖς ἤθεσιν αὐτῶν ἐμπέφυκέ τι τῆς ἀδίκου τῶν γεννησάντων προαιρέσεως κἂν ἡμᾶς λανθάνωσι, καὶ εἰκότως ταύτην ἐν αὐτοῖς ὁρῶντες τὴν ῥίζαν ἐκκόπτουσι διὰ τῶν τιμωριῶν καὶ τοῦ μὴ ἐνεργῆσαι κωλύουσιν ὡς ἰατροὶ προκαθαίροντές τινας ὧν ὑφορῶνται νόσους.

19. 'Σοὶ δ' ἐγὼ ἐσθλὰ νοέων.' Κάλλιστα τὸ φιλόσοφον ἦθος οἷόν ἐστιν εἶπε διὰ τούτων ὁ Πλούταρχος δηλοῦσθαι. τὸν μὲν γὰρ Ἀρχίλοχον καὶ τὸν Ἱππώνακτα βλασφημίας συγγράψαι κατὰ

1 Hes. OD 271 ib. *μητιόεντα*] *τερπικέραυνον* Hesiodus 4 Pr. ad 283 add. Westerwickius 6 fort. *ἀνήκεστον* dixit Proculus 10 *ἐνόχους* *: *εὐνούχους* 21 *νόσους*] malim *νόσων* 22 Pr. ad 286 *σοὶ* — *νοέων*] addidi

τῶν λυπησάντων· Τιμοκράτην δὲ καὶ Μητρόδωρον τοὺς Ἐπικουρείους, ἀδελφοὺς ὄντας καὶ προσκρούσαντας ἀλλήλοις, ἐκδοῦναι κατ' ἀλλήλων συγγράμματα. καὶ τί δεῖ τούτους λέγειν, ὅπου γε καὶ Ξενοφάνης διὰ δή τινα πρὸς τοὺς κατ' αὐτὸν φιλοσόφους καὶ ποιητὰς μικροψυχίαν σίλλους ἀτόπους συνθεῖναι λέγεται κατὰ πάντων φιλοσόφων καὶ ποιητῶν; ἀλλὰ τὸν ὄντως μουσικὸν Ἡσίοδον μηδὲν τοιοῦτο παθεῖν· οὐ γὰρ μουσικοῦ τὸ μελαγχολᾶν· λυπηθέντα δὲ πρὸς τὸν ἀδελφὸν ἀντὶ τοῦ βλασφημεῖν νουθετεῖν, εἰδότα τοῦτο δὴ τὸ τοῦ Σωκράτους, ὅτι πᾶς ὁ κακὸς ἄκων ἐστὶ κακός· δεῖται οὖν νουθεσίας, καὶ ἴσως ἐπιγνώσεται ἑαυτὸν ὄντα κακόν.

20. 'Καὶ ἰλαδὸν ἔστιν ἑλέσθαι.' Οὐκ ἀποδεκτέον τὸ ἰλαδόν, ὡς Πλούταρχος ἐξηγήσατο, τὸ πᾶσαν ἐγκολπίσασθαι κακίαν ὁμοῦ δηλοῦν.

21. Ζήνων μὲν ὁ Στωικὸς ἐνήλλαττε τοὺς στίχους, λέγων

'οὗτος μὲν πανάριστος ὃς εὖ εἰπόντι πίθηται·
ἐσθλὸς δ' αὖ κἀκεῖνος ὃς αὐτῷ πάντα νοήσῃ·'

τῇ εὐπειθείᾳ τὰ πρωτεῖα διδούς, τῇ φρονήσει δὲ τὰ δευτερεῖα. Ἀρίστιππος δ' ἀπ' ἐναντίας ὁ Σωκρατικὸς ἔλεγε τὸ συμβούλου δεῖσθαι χεῖρον εἶναι τοῦ προσαιτεῖν. ὁ δ' Ἡσίοδος τοῦ μέτρου μάλιστα τυγχάνει, τρεῖς ἕξεις διελών, τὴν ἔμφρονα τὴν

6 σίλλους *: σιλλοὺς   15 Pr. ad 287   ib. καὶ ἰλαδὸν ἔστιν ἑλέσθαι] addidi   18 Pr. ad 293

ἀνόητον τὴν μέσην· ὧν ἡ μὲν ἀρίστη καὶ τῷ θείῳ παραπλησία· καὶ γὰρ τὸ θεῖον αὔταρκες, ὥστε καὶ ὁ ἑαυτῷ πάντα νοῶν καὶ προορῶν ὅσα ἂν ᾖ καὶ εἰς τὸν ἔπειτα χρόνον ἀμείνω. ἡ δὲ φευκτοτάτη τὸ μήθ' ἑαυτῷ δύνασθαι τὰ ὀρθὰ λογίζεσθαι μήτ' ἄλλοις ἕπεσθαι συμβούλοις ἐθέλειν. μέση δὲ τούτων ἡ τοῦ συνορατικοῦ μὲν τῶν ἀμεινόνων οὐκ οὖσα δύναμις, ἐπακολουθητικὴ δὲ τοῦ συνορῶντος.

22. *'Πλούτῳ δ' ἀρετή.' Μηδεὶς λοιδορείτω τὸν στίχον εἰς τὸν πολυάρατον πλοῦτον ὁρῶν πόρρω τῆς ἀρετῆς ἐσκηνωμένον, ἀλλὰ πλοῦτον οἰέσθω νῦν λέγεσθαι τὴν ἀπὸ τῶν ἔργων πορισθεῖσαν ἀφθονίαν τοῖς ἐργαζομένοις δικαίαν οὖσαν καὶ ἀπὸ τῶν οἰκείων πόνων ἠθροισμένην. εἴρηται γὰρ ἐν τοῖς ἔμπροσθεν ἐκ τῶν ἔργων τοὺς ἀνθρώπους γίνεσθαι πολυμήλους καὶ ἀφθόνους καὶ ἀφνειούς. τῷ δὲ τοιούτῳ πλούτῳ ἕπεσθαι πάντως ἀνάγκη τὴν ἀρετὴν καὶ τὴν δόξαν· ἕπεσθαι δ' οὐχ ὡς παρακολουθήματα ὄντα ταῦτα τῆς εὐπορίας ἀλλ' ὡς συνυπάρχοντα τῷ τοιούτῳ πλούτῳ· καὶ ὡς παντός, ὃς ἂν οὕτω πλουτῇ, καὶ δόξαν ἀγαθὴν κεκτημένου καὶ δηλοῦντος ὅτι ἀρετὴν ἔχει, δι' ἣν προσκαρτερεῖ τοῖς οἰκείοις ἔργοις.*

23. *'Δαίμονι δ' οἷος ἔησθα.' Δαίμων οὐ μόνον ὁ ἀπονέμων ἡμῖν τὸν βίον καὶ διοικῶν τὰ ἡμέτερα κρεῖττον ἡμῶν καλεῖται, ἀλλὰ καὶ αὐτὸς ὁ ἀπ' ἐκεί-*

2 ὥστε] auditur *αὐτάρκης ἐστὶ* 7 *οὐκ ἔχουσα δύναμιν* Duebnerus 9 Pr. ad 313 add. Scheerius 24 Pr. ad 314 add. Westerwickius 26 correxi: *κρείττων*

νου βίος ἑκάστοις ἀπονεμόμενος, εἰς ὃν βλέποντες τοὺς μὲν εὐδαιμονεῖν φαμεν τοὺς δὲ κακοδαιμονεῖν· ὡς καὶ τύχη λέγεται ἥ τε ἐπιτροπεύουσα τοὺς βίους ἡμῶν καὶ τὸ ἀποδιδόμενον ἑκάστοις παρ' αὐτῆς· ὅθεν καὶ εὐτυχεῖν τινας καὶ δυστυχεῖν λέγομεν. τοῦτο οὖν φησιν ὁ Ἡσίοδος προτρέπων εἰς τὸ μὴ ζῆν ἀργόν, ὅτι ὁποῖος ἂν ἑκάστῳ τυγχάνῃ βίος ἀποδεδομένος, τούτῳ ἄμεινον ἐργάζεσθαι, εἴτε ἀμείνων εἴτε χείρων· καὶ μὴ ποιεῖσθαι πρόφασιν ἀργίας ἡλικίαν ἢ τύχην ἢ ἄλλο τι τοιοῦτον, ἀλλὰ πάντως ἔργον τι ζητεῖν ἢ γεωργικὸν ἢ τεκτονικὸν ἢ ἐμπορικὸν ἢ ἄλλ' ὁτιοῦν.

24. *'Αἰδὼς δ' οὐκ ἀγαθή.'* Καὶ τοῦτον καὶ τὸν ἑξῆς στίχον παρεμβεβλῆσθαι, ληφθέντας ἀπὸ τοῦ Ὁμήρου, καὶ Πλούταρχος εἶπε.

25. *'Ἶσον δ' ὅς θ' ἱκέτην.'* Διὰ τούτων καὶ τῶν ἑξῆς εἰρημένων στίχων ὀκτώ, τοῖς εἰρημένοις ἁμαρτήμασιν, οἷς ἔφατο δίκην ἀκολουθεῖν παρὰ τῶν θεῶν, ἄλλα συναριθμεῖ δι' ἔργων ἁμαρτήματα ἀπὸ ἀνοσίου γινόμενα ζωῆς· ταῦτα δ' ἐστὶν ἱκέτην παριδεῖν, εἰς ξένους κακουργεῖν, ἀδελφοῦ διαφθείρειν εὐνήν, ἁμαρτάνειν περὶ ὀρφανούς, ὑβρίζειν εἰς γονέας γέροντας. παντὶ γὰρ τῷ τοιούτῳ φησὶν ὁ Ζεὺς ἀγαίεται' τουτέστι μέμφεται καὶ τιμωρίαν ἐπάγει. διαφερόντως δὲ τοῦ Διὸς ἐμνημόνευσεν, ἐπειδὴ πάσας εἰς τὸν θεὸν τοῦτον ἀνῆγον τὰς τοιαύτας προσηγορίας 'ἱκέσιον' καλοῦντες ὡς ἔφορον

13 Pr. ad 317 16 Pr. ad 327 add. Westerwickius

τῶν ἱκετῶν καὶ 'ξένιον' ὡς τῶν ξένων προστάτην καὶ 'ὁμόγνιον' ὡς τῶν συγγενῶν μάλιστα φύλακα καὶ τῶν πρὸς τοὺς ὁμογνίους καθηκόντων. οὕτω γὰρ καὶ τῶν ἐν ὀρφανίᾳ ζώντων αὐτὸν ἔλεγον κηδεμόνα, πατέρα νομίζοντες πάντων καὶ ὧν οὔκ εἰσιν ἄνθρωποι πατέρες, καὶ βοηθὸν τῶν ἀδικουμένων πατέρων ὑπὸ τῶν παίδων. ἀγάλματα γάρ εἰσιν οἱ πατέρες τοῦ πάντων πατρός, τοῦ Διός· οἱ δ' εἰς τὰ ἀγάλματα τῶν θεῶν δυσσεβεῖς, εἰς αὐτοὺς ἀναφέρουσι τοὺς θεούς, ὧν τὰ ἀγάλματα, τὴν δυσσέβειαν· ὥστε εἰκότως ἔφη τὸν Δία καὶ νεμεσᾶν τούτοις καὶ πᾶσιν ὁμοῦ τῶν ἀδίκων ἔργων, ἅπερ διηριθμήσατο, χαλεπὴν ἀποδιδόναι ἔκτισιν. αὕτη γὰρ ἡ ἀμοιβὴ τῶν ἀδικημάτων τιμωρία τις οὖσα τῆς ἀδικίας ἀκόλουθος.

26. 'Κὰδ δύναμιν δ' ἔρδειν.' Τὸ μὲν θύειν, ὅπερ εἰώθασιν οἱ νεώτεροι λέγειν, ἔρδειν ὠνόμαζον οἱ παλαιοὶ καὶ ῥέζειν. τὸ δ' ἀπάρχεσθαι τῶν παρόντων διὰ τοῦ θύειν ἐδήλουν καὶ θυηλὰς τὰς ἀπαρχὰς ἐκάλουν· 'ὁ δ' ἐν πυρὶ βάλλε θυηλάς' φησὶν Ὅμηρος. ἀμφοτέρων οὖν ὁ Ἡσίοδος κελεύει λιπαρῶς ἀντέχεσθαι, κατὰ δύναμίν τε ἱερὰ ῥέζοντας, ἀφ' ὧν εὐποροῦμεν, ἁγνῶς καὶ καθαρῶς, καὶ θύεσσι καὶ σπονδαῖς ἱλασκομένους τοὺς θεοὺς ἀρχομένης ἡμέρας — τοῦτο γὰρ τὸ 'ὅτ' ἂν φάος ἱερὸν ἔλθῃ' — καὶ εἰς ὕπνον τρεπομένους νυκτὸς ἐπιούσης. τὸ μὲν οὖν

2 καὶ ὁμόγνιον *: ὁμόγνιον 14 cf. Plat. Legg. p. 728c 16 Pr. ad 336 21 Ὅμηρος] Ι 220 23 θύεσσι *: θυέεσι. Idem correxi paullo post

κατὰ δύναμιν ἔρδειν ἀφαιρεῖται πᾶσαν τὴν πολυτέλειαν ἐπὶ τῇ προφάσει τῆς εὐσεβείας ἡδυπάθειαν εἰσάγουσαν. καλῶς οὖν τοῦ Λάκωνος εἰπόντος, ὃς ἐρωτηθείς 'διὰ τί εὐτελῆ θύουσιν' ἔφη ὅτι 'ἵνα πολλάκις θύωσιν'. οὕτω γὰρ καὶ Νουμᾶς Ῥωμαίοις, ὡς Λυκοῦργος Λακεδαιμονίοις, προσέταξεν ἀπὸ τῶν εὐτελεστάτων θύειν. τὸ γοῦν μὴ ὑπερβάλλειν τὴν περιουσίαν ἐν τῇ θεραπείᾳ τῶν θεῶν πρεπωδέστατόν ἐστι παράγγελμα τοῖς εἰς αὐτὸ μόνον βλέπουσι τὸ ὅσιον· τὴν δ' ἁγνείαν καὶ καθαρότητα μάλιστα προηγουμένως δεῖ σπουδάζεσθαι τοῖς ἱερουργεῖν μέλλουσι, τὴν μὲν ἐν αὐτῇ τῇ ζωῇ — τοιαύτη δ' ἐστὶν ὅση ἂν ἐξάντης ᾖ πάσης ἀσελγείας πάσης ἀδικίας πάσης ἐμπαθείας· ταύτην γὰρ ἂν εἴποιμεν κυρίως ἁγνεύειν, καὶ μετὰ ταύτην τὴν ἀποχὴν τῶν βρωτῶν καὶ τῶν ποτῶν κατὰ τὰ πάτρια ἤθη· καὶ γὰρ ἄλλα ἄλλοις ἔστιν, ὧν ὁ μετασχὼν εἴργεται τῶν νομίμων θυσιῶν — τὴν δὲ ἐν τοῖς ὀργάνοις πᾶσι καὶ τοῖς ἱεροῖς τόποις, ἐν οἷς δεῖ θύειν, καὶ τοῖς περὶ τὸ σῶμα ἡμῶν κόσμοις. γελοῖον γὰρ τοῖς καθαρωτάτοις προσιόντας οἷς θύουσιν ἀκαθάρτοις χρῆσθαί τισιν, ἢ ἐν τοῖς μεμολυσμένοις οἴκοις τοῦτο πράττοντας ἢ μοῖραν τῷ ἱερῷ προσάγοντας ἔκ τινος μεμιασμένης ἐνεργείας ἢ ἐσθῆτα φέροντας ἀκάθαρτον, ὅπου γε καὶ τῷ πάντα καθαίροντι πυρὶ παρήγγελται χρῆσθαι μὴ ἐξ ἀκαθάρτου οἰκίας ληφθέντι. τὸ δ' αὖ ἱλάσκεσθαι τοὺς θεοὺς ταῖς ἀπαραλείπτοις σπονδαῖς

5 fort. Νομᾶς 26 δ' αὖ *: αὖ 27 ἀπαραλείπτοις *: ἀπαραλήπτοις

καὶ τοῖς μετὰ τούτων θύεσσιν, ἀρχομένης ἡμέρας ἢ νυκτός, οἷον ψαιστοῖς ἢ ἄλλοις τισὶ τοιούτοις, ἐνδείκνυται· καὶ ὅτι χρὴ ταῖς τοιαύταις ἀπαρχαῖς ταῖς εὐπορίστοις ἀπάρχεσθαι τῶν προσόδων αὐτοῖς, διὰ τῆς συνεχείας τηροῦντας αὐτῶν τὸ πρὸς ἡμᾶς εὐμενές· ἡ γὰρ ἱλέωσις οὐκ ἐκείνοις προστίθησιν ἃ μὴ εἶχον, ἀλλ' ἡμᾶς ἐπιτηδειοτέρους ποιήσει πρὸς τὸ μενόντων αὐτῶν ἀεὶ τοιούτων οἷοί πέρ εἰσι μετέχειν ἀκωλύτως· καὶ τοῦτο δηλοῖ τὸ εὐμενές, τὸ μένειν ἡμῖν τὸ εὖ ἀεὶ παρὰ τῶν θεῶν, καὶ ὡς ἐκεῖνοι διαμένουσιν ἀεὶ ὅμοιοι ὄντες.

27. 'Τὸν φιλέοντ' ἐπὶ δαῖτα.' Ταῦτα καὶ τὰ ἑπόμενα τούτοις περὶ τῶν πρὸς τοὺς φίλους καὶ γονέας καθηκόντων ἔχει τὴν παραίνεσιν οὐκ ὄντα ἠθικὰ ὥς τισιν ἔδοξεν ἀλλ' εἰς εὐγενὲς ἦθος καὶ δεξιὸν προσάγοντα τὸν πειθόμενον. οὐ γὰρ δεῖ τὰ αὐτὰ φίλοις καὶ ἐχθροῖς ἀποδιδόναι οὐδ' ὁμοίως ἑκατέρους ὁμοτραπέζους ποιεῖσθαι καὶ ὁμοσπόνδους, ἡγουμένους καὶ τράπεζαν βωμὸν εἶναι τῆς ἑστίας καὶ πάντων τῶν τὴν τροφὴν δωρησαμένων. θύειν μὲν οὖν καὶ ἡμῖν νόμος πρὸ τοῦ τῆς τροφῆς ἅψασθαι· δεῖ οὖν μὴ τοὺς ἐχθροὺς ἄγειν ἐπὶ δαῖτα φιλίαν δὴ ὑποκρινομένους, ἀλλὰ τοὺς ὄντως φίλους, οἷς καὶ κοινωνεῖν ὅσιον ὡς τῆς ἄλλης φιλίας οὕτω καὶ ἁλῶν καὶ σπονδῶν καὶ ἑστίας θεῶν καὶ φιλοφροσύνης. καὶ γὰρ εἰ ὡς ἔτυχε καὶ τοὺς ἐχθροὺς

8 τοιούτων *: τούτων wickius 12 Pr. ad 342 add. Wester-

ἑστιῶμεν, τί ποιήσομεν ἐκείνων ἡμᾶς ἐν μέρει καλούντων ἐπὶ τὰ ὅμοια; μὴ ὑπακούοντες γὰρ ἀδικήσομεν τοὺς ὑπακούσαντας, ὑπακούοντες δὲ προησόμεθα ἑαυτοὺς ἀνθρώποις ἀπεχθῶς διακειμένοις. ταῦτα μὲν οὖν περὶ τῶν φίλων καὶ ἐχθρῶν τῆς συνεστιάσεως. τὸν δὲ γείτονα τοῦ μὴ γείτονος αἱρετώτερον εἰς τοιαύτην ἡγεῖσθαι κοινωνίαν· δῆλον μὲν οὖν ὅτι λέγεται τῆς φιλίας κοινῆς οὔσης· οὐ γάρ που τὸν μὴ φίλον γείτονα δέ, δι' αὐτὸ τοῦτο παραινεῖ μᾶλλον τοῦ φίλου ποιεῖσθαι συνέστιον, προειπὼν 'τὸν φιλέοντα ἐπὶ δαῖτα καλεῖν'. τούτου δ' ὄντος φανεροῦ, πῶς οὐκ εὔλογον πλέον τοῖς γείτοσι νέμειν ἢ τούτους μὲν παρεῖναι τοὺς δὲ μὴ γείτονας εὐφραίνειν ταῖς φιλοτησίαις; οὐδὲ γὰρ τὰς γειτονίας ἴσως οἴεσθαι δεῖ μάτην ἡμῖν ἀπονέμεσθαι τοιῶν ἢ τοιῶν ἀνθρώπων θεόθεν, ἀλλὰ καὶ τοῦτο εἰς τάξιν εἱμαρμένης ἔχειν, καὶ προσήκει καὶ πρὸς ταύτην ἀφοσιοῦσθαι τὸν ἔχοντα νοῦν· τρόπον γάρ τινα καὶ ὁ γείτων ἡμῖν σύνοικός ἐστι καὶ ὁμωρόφιος.

28. 'Πῆμα κακὸς γείτων.' Ταῦτα καὶ διὰ τῆς ἱστορίας ὁ Πλούταρχος ἐπιστώσατο· καὶ γὰρ Αἰτωλοὺς καὶ Ἀκαρνᾶνας, Ἕλληνας ὄντας καὶ γείτονας, ἐκτρῖψαι διὰ πλεονεξίαν ἀλλήλους, καὶ Χαλκηδονίους καὶ Βυζαντίους διὰ τὴν ἔμφυτον δυσμένειαν περὶ σκαλμοῦ διενεχθέντας ἐν τῷ Βοσπόρῳ

12 εὐλογώτερον? 13 malim παριέναι aut μὴ παρεῖναι 16 τοίων? 21 Pr. ad 346 24 ἐκτρῖψαι Duebnerus: ἐκτρίψας ib. corr. W: Καρχηδονίους

ναυμαχῆσαι· καὶ ἐπὶ τῶν ἰδιωτικῶν γειτνιάσεων πολλὰ μὲν ἀγαθὰ συμβαίνειν διὰ ταύτας, ὡς ἐπὶ Φλάκκου καὶ Κάτωνος· πολλὰ δὲ τὰ ἐναντία· τὰς γὰρ γειτνιάσεις ἀφορμὰς προξενεῖν ἐνίοτε πολλῶν ἐπηρειῶν. αὐτὸς μὲν οὖν τὸν βοῦν εἰς παράδειγμα παρέλαβε· δεῖ δ' ἐκτείνειν ἐπὶ τὰ ὅμοια τὸν λόγον, ὁσαοῦν ἂν ἀπόλοιτο διὰ τὸν γείτονα. πρὸς ἃ καὶ οἱ παλαιοὶ νόμοι βλέποντες ἐδικαίωσαν τῶν ἀπολλυμένων τοὺς γείτονας συναλλαγμάτων.

29. '"Οσσον τ' ἀγαθὸς μέγ' ὄνειαρ.' Δείκνυσι τοῦτο Πλούταρχος. Θεμιστοκλέα γάρ φησιν ἢ Κάτωνα πιπράσκοντα τὸν ἀγρὸν λέγειν ὅτι ἀγαθὸν ἔχει γείτονα.

30. 'Βοῦς ἀπόλοιτ'.' Λέγεται ὅτι Θεμιστοκλῆς χωρίον πιπράσκων ἐκέλευσε κηρύττεσθαι, ὅτι ἀγαθὸν ἔχει γείτονα. ἔνιοι δὲ βοῦν ἐδέξαντο τὴν γυναῖκα ἀπὸ τοῦ ἀλφεσίβοια· ὅτι οὐδ' ἂν γυνὴ μοιχευθείη, εἰ μὴ γείτων κακὸς εἴη. ἢ οὐ μόνον τὸν κατὰ τὴν κώμην γείτονα, ** ἀλλὰ τὰ κτήνη τὰ ἐν τῇ ἀγροικίᾳ ἢ πᾶν ὁτιοῦν κτῆμα.

31. 'Τὸν φιλέοντα φιλεῖν.' Τούτους ὁ Πλού-

1 ναυμαχῆσαι idem: ναυμαχήσαντας 7 ὁσαοῦν ἂν *: ὡς οὐκ ἂν 8 εἰς τὰ ἀπολλύμενα τοὺς γείτονας συμβάλλεσθαι corr. Gaisfordus duce Heraclide c. 11: ἔθος ἦν τοῖς Κυμαίοις εἰς τὰ κλοπιμαῖα συμβάλλεσθαι τοὺς γείτονας. Fort. τῶν ἀπολλυμένων τοὺς γείτονας συναπα[ΠΡΑττεσθαι συμβολὰς]ΠΡΑγμάτων 10 Tz. ad 346 14 Pr. ad 346 19 lac. add. Duebnerus, quam W supplet ita: γείτονα ['ΑΛΛΑ καὶ τὸν ἐν τῇ πόλει· οὐδὲ μόνον βοῦν] 'ΑΛΛΑ τὰ κτήνη cett. 21 Pr. ad 353

ταρχος ἐκβάλλει τοὺς στίχους. ὁ γὰρ μέλλων λέγειν, ὅτι τοῖς ἀγαθοῖς τὸ διδόναι προσήκει καὶ ὡς χαίρουσι διδόντες, ἄτοπος ἂν εἴη λέγων καὶ διδόναι τῷ διδόντι καὶ μὴ διδόναι τῷ μὴ διδόντι· οὕτω γὰρ ἂν τὰς δόσεις ἀναγκαίας ἐποίει, τὰς δὲ προκαθηγουμένας τῶν εὐεργεσιῶν ἐξέκοψεν.

Ibid. Ὁ μὲν Πλούταρχος τούτους ὀβελίζει τοὺς στίχους, λέγων οὐδέποτε ἂν γενέσθαι φίλον, εἰ τῶν φιλιωθησομένων ἑκάτερος ἀναμένει παρὰ τοῦ ἑτέρου προφιλιωθῆναι.

32. 'Δώτῃ μὲν τις ἔδωκε.' Ὁ Πλούταρχος εἰκάζει τοὺς τοιούτους, ὅσοι προαίρεσιν δωρητικὴν ἔχουσι, τοῖς σφαιρίζουσιν, οἳ λαβόντες τὴν ὑπ' ἀλλήλων ῥιφεῖσαν σφαῖραν οὔτε κατέχουσιν οὔτε ἀντιπέμπουσι τοῖς μὴ εἰδόσι σφαιρίζειν, ἀλλὰ τοῖς ἀντιπέμψαι δυναμένοις.

33. 'Μισθὸς δ' ἀνδρὶ φίλῳ εἰρημένος.' Τούτους δέ τινες τοὺς στίχους ἐξέβαλον· ὁ δὲ Πλούταρχος ἐγκρίνει· δεῖν γὰρ καὶ τὸν φίλον συνεργὸν παραλαμβάνειν ἐπὶ ὡρισμένῳ μισθῷ· ἔχθραν γὰρ προξενεῖ τὸ τῆς ἀμοιβῆς μετὰ τὸ ἔργον ἐλλιπὲς ἀδόκητον ὑπάρξαν. τούτῳ δ' ὅμοιον καὶ τὸ τὰ πρὸς τοὺς ἀδελφοὺς συναλλάγματα μὴ ἀμάρτυρα ποιεῖσθαι. τὸ δ' ἐπαχθὲς ἀφαιρῶν εἶπεν ὅτι γελάσας τουτέστιν ὡς παίζοντας καὶ μὴ σπουδάζοντας· πολλοὺς γὰρ ἀπολέσθαι διὰ τὸ πιστεῦσαί τισιν οἷς

7 Tz. ad eundem v. 353   9 ἀναμένοι?   10 *: προσφιλιωθῆναι   11 Pr ad 355. Lemma addidi   13 ἄλλων?   17 eiusdem ad 356   21 τὸ τῆς W: τὸ μετὰ τῆς   ib. ἀδόκητον] ἀδοκήτως W

ἀπιστεῖν δέον, ἀπιστῆσαι δὲ πάλιν οἷς πιστεῦσαι δέον. διὸ χρεία τῆς ἐπὶ τῶν μαρτύρων ὁμολογίας καὶ ἐπὶ τῶν ἀδελφῶν, καὶ τῆς τοῦ μισθοῦ προομολογίας καὶ ἐπὶ τῶν φίλων.

34. 'Εἰ γάρ κεν καὶ σμικρόν.' Δοκεῖ μὲν ἀπηρτῆσθαι τοῦτο τοῦ προρρηθέντος· ἔχει δὲ καὶ συνέχειαν. ἐπειδὴ γὰρ εἶπεν ὅτι, κἂν ᾖ σμικρὸν τὸ ἀφαιρεθέν, παχνοῖ τὸν ἀφαιρεθέντα διὰ τὴν ἀκούσιον ἀφαίρεσιν, ἐπήγαγεν ὅτι τὸ σμικρὸν ἐπισωρευόμενον μὲν μέγα τι γίνεται, ἀφαιρούμενον δ' εἰς τὸ μηδὲν καταλήγει· ὥστε εἰκότως λυπεῖ καὶ τὸ σμικρὸν ἀφαιρούμενον. καὶ εἰ τοῦτο ἀληθές, ὀρθῶς Ἀριστοτέλης ἔλεγεν, ὅτι χείριστον τῶν ἐν τῷ βίῳ τὸ μὴ παρὰ τοῦτο λεγόμενον· εἰ γὰρ καταφρονοῖτο ὡς μικρὸν ἕκαστον καὶ ἐπιλέγοιμεν μὴ παρὰ τοῦτο, κακῶς πράξομεν· ἐν μὲν οὖν οἰκονομίαις λιμώξομεν, τοῦτο ἀεὶ ἐπᾴδοντες· ἐν δὲ τῇ διαίτῃ νοσήσομεν, πολλάκις μὲν παρορῶντες τὸ ὀρθόν, λέγοντες δὲ ταύτην τὴν φωνήν· ἡ γὰρ καθ' ἓν ἕκαστον ἔλλειψις μεγάλην ἀθροίζει τοῖς παρορῶσι τὴν βλάβην.

35. ''Ἀρχομένου δὲ πίθου καὶ λήγοντος.' Καὶ ἐν τοῖς πατρίοις ἐστὶν ἑορτὴ Πιθοίγια, καθ' ἣν οὔτε οἰκέτην οὔτε μισθωτὸν εἴργειν τῆς ἀπολαύσεως τοῦ οἴνου θεμιτὸν ἦν, ἀλλὰ θύσαντας πᾶσι μεταδιδόναι τοῦ δώρου τοῦ Διονύσου. καλῶς οὖν εἴρη-

3 καὶ τῆς W: καὶ ἐπὶ τῆς 5 Pr. ad 361 12 Ἀριστοτέλης] cf. p. 1303, 20a 16 Duebnerus: πράξοιμεν 21 Pr. ad 368 22 ἐν τοῖς πατρίοις] ἐν τοῖς Ἀθηναίων πατρίοις Westerwickius. Fort. ἐνίοις πάτριος, sed cf. Thucyd. 3, 66 ib. πιθοιγία: corr. Duebnerus

ται δεῖν 'ἀρχομένου πίθου κορέσασθαι', καὶ τῇ ἑορτῇ συμφώνως· δεῖ δὲ καὶ φειδοῦς ταμιευομένοις τὴν ἀπόλαυσιν, ὥστε καὶ εἰσαῦθις ἡμῖν γενέσθαι καὶ αὖθις. εἰ δ' ἀπαναλωθέντος τοῦ πλείστου τὸ λειπόμενον ὀλίγον εἴη, χαλεπὴν εἶναι τὴν φειδώ· τότε γάρ, φησί, τάχα ἂν καὶ τραπείη καὶ ἄχρηστον γένοιτο τοῖς φεισαμένοις. τὸ μὲν οὖν 'ἀρχομένου κορέσασθαι' παιδεύει πρὸς κοινωνίαν, τὸ δέ 'μεσσόθι φείδεσθαι' πρὸς οἰκονομίαν, τὸ δὲ χαλεπὴν εἶναι 'τὴν ἐν τῷ πυθμένι φειδώ' πρὸς ἀπόλαυσιν τῶν κατὰ καιρόν.

36. "Ὃς δὲ γυναικὶ πέποιθε, πέποιθ' ὅ γε φηλήτῃσι.' Τοῦτον ὁ Πλούταρχος χαράττει τὸν στίχον· σημαίνειν δὲ τοὺς φηλήτας τοὺς ἀφαιρεῖσθαί τι καὶ ἐκφορεῖν ἐθέλοντας, παρὰ τὸ ἀφαιρεῖν καὶ ὑφελεῖν τοῦ ὀνόματος αὐτοῖς τεθέντος.

37. 'Μουνογενὴς δὲ πάις σῴζοι πατρώιον οἶκον φερβέμεν.' Δόξειεν ἂν ἄτοπος ὁ στίχος εἶναι καὶ ἀγανακτοῦντος, ὅτι γέγονεν οὐ μόνος τῷ πατρί. μήποτε, φησὶν ὁ Πλούταρχος, καὶ Πλάτων ἕπεται τῷ Ἡσιόδῳ, καὶ Ξενοκράτης καὶ Λυκοῦργος πρὸ τούτων· οἳ πάντες ᾤοντο δεῖν ἕνα κληρονόμον καταλιπεῖν· καὶ τοῦτο ἦν τὸ ὑπὸ Ἡσιόδου λεγόμενον. δοκεῖ δ' ἡ λέξις εὐχομένου εἶναι καὶ οὐχὶ συμβουλεύοντος· τὸ γὰρ 'σῴζοι πατρώιον οἶκον' εὐκτικόν ἐστιν· ὥστε εἶναι τὸν λόγον 'εἰ καὶ μὴ πλείους εἶεν

2 ταμιευομένοις ὥστε τὴν ἀπόλαυσιν καὶ W 5 ὀλίγον] add. W, sed nihil enotavi ex A 11 Pr. ad 375 16 eiusdem ad 376 19 μήποτε] add. δὲ W ib. Πλάτων] 'Respicit fort. ad Legg. XI p. 923' Gaisfordus

παῖδες ἀλλὰ μονογενής, οὗτός γε σῴζοι τὸν οἶκον'. τὸ δ' ἑπόμενον στιχίδιον ἔτι μᾶλλον λύει τὴν διαβολήν.

38. 'Γηραιὸς δὲ θάνοις.' Οἱ περὶ Πρόκλον καὶ Ἀρίσταρχον ἢ Πλούταρχον ἀδιανόητον τοῦτό φασιν εἶναι καὶ περισσόν.

39. 'Πλείων μὲν πλεόνων μελέτη, μείζων δ' ἐπιθήκη.' Μήποτε δέ, φησὶν ὁ Πλούταρχος, ἐκεῖνο λέγει τὸ τοῦ Λάμπιδος, ὅτι πλείων μὲν ἡ φροντὶς ἐπὶ τοῦ πλείονος πλούτου, μείζων δ' ἡ ἐπίδοσις, ἣν 'ἐπιθήκην' εἶπεν, αὐτοῦ συναύξοντος ἑαυτὸν τοῦ πλούτου διὰ τὴν τῶν ὀργάνων εὐπορίαν καὶ τῶν ὑπηρετῶν. ὃ καὶ ὁ Λάμπις εἴρηκεν ἐρωτηθεὶς πῶς ἐκτήσατο· 'τὸν μὲν γὰρ ὀλίγον' ἔφη 'χαλεπῶς, τὸν δὲ πολὺν ῥᾳδίως, πολλῶν ὄντων ἤδη τῶν ὑπουργούντων.'

40. 'Γυμνὸν σπείρειν.' Κάλλιον δέ, φησὶν ὁ Πλούταρχος, μετὰ τὸν σπόρον ὑετὸν συμβῆναι ἢ πρὸ σπόρου· δῆλον δέ· τὰ γὰρ μετὰ Πλειάδα σπαρέντα καὶ πρὸ τροπῶν φύεσθαι ἑβδομαῖα, ἐν Αἰγύπτῳ δὲ καὶ τριταῖα· τὸν δὲ μετὰ τροπὰς μόλις ἐν τριπλασίῳ τούτου τοῦ χρόνου. οὕτω τὸ ἐπιγενέσθαι ὑετὸν ἀγαθὸν μᾶλλον ἢ τὸ προγενέσθαι. οἱ δ' ἀρχαῖοι καὶ πρωιαίτερον ἔσπειρον, ὡς δῆλον ἐκ τῶν Ἐλευσινίων τελετῶν, ἐν αἷς ἐλέγετο 'πάριθι κόρη γέφυραν· ὅσον οὔπω τρὶς πολέουσιν'.

4 Tzetz. ad 378 5 ἢ] καὶ Usenerus 7 Pr. ad 380 14 γὰρ] addidi ex A 17 Pr. ad 391 25 ἐν οἷς ἔλεγε τοῦ π̄θι κόρη γεφύραν, ὅσον οὔπω τριπόλεον δέ: corr. Bergkius (3 p. 658)

41. 'Ἦμος δὴ λήγει.' Ἐν τῷ χειμῶνι καὶ ἡ δύναμις τοῦ ἡλίου ἀσθενεστέρα ἐστὶ καὶ αἱ ἡμέραι μικραὶ καὶ αἱ νύκτες μεγάλαι καὶ τὰ σώματα πυκνοῦται καὶ ἐλαφροῦται· τότε οὖν λέγει δενδροτομεῖν. 'ἀδηκτοτάτη' δ' ἀβρωτάτη, ὅτι τότε σκώληξ οὐκ ἐσθίει τὴν ὕλην· καὶ ἔστι παραμονωτέρα, ἐπειδὴ διὰ τὴν ψῦξιν τοῦ ἀέρος ἀποκέκλεισται ἐν βάθει ἡ ὑγρότης. καὶ τότε αἱ ῥίζαι τρέφονται καὶ αὔξονται καὶ τὰ φύλλα πίπτει μὴ ἐπιπολαζούσης αὐτῆς. ἐν θέρει δ' ἐπιπολάζει διὰ τὴν τοῦ καιροῦ θερμότητα· τὸ γὰρ ψυχρὸν οὐκ ἐᾷ τὴν θερμότητα εἰς τὴν τῶν ξύλων ἐπιφάνειαν ἐλθεῖν, οὐδὲ ποιεῖ σῆψιν ἡ ὑγρότης πλεονάζουσα, καὶ τότε στερρά ἐστιν ἡ ὕλη μὴ εἴκουσα τῷ δάκνεσθαι.

42. 'Ὅλμον μὲν τριπόδην.' Πολὺς ἐν τούτοις ὁ Πλούταρχος ἀμυνόμενος τοὺς γελῶντας τὸν Ἡσίοδον τῆς σμικρολογίας, καὶ Πλάτωνα λέγων περὶ τῆς τῶν σκευῶν ἐν τοῖς οἴκοις διειλέχθαι συμμετρίας· καὶ Λυκοῦργον περὶ τῆς τῶν θυρῶν κατασκευῆς, ἵν' ἀπὸ πρίονος ὦσι καὶ πελέκεως μόνον ἀποίκιλοι. δεῖν οὖν ἀποδέχεσθαι καὶ τὸν Ἡσίοδον μέτρα παραδόντα καὶ ὅλμου καὶ ὑπέρου καὶ ἄξονος καὶ σφύρας. καὶ τοὺς ἀρχαίους δὲ πολὺν καὶ τούτων ποιεῖσθαι λόγον· καὶ τῶν εὑρετῶν Πάμφων μὲν τιμᾶν, διότι τὸν λύχνον πρῶτος εὗρε καὶ τὸ ἐκ τούτου φῶς εἰσήγαγεν εἴς τε τὰ ἱερὰ καὶ τὴν ἰδίαν χρῆσιν· τὸν δὲ τῶν Πιτθέων δῆμον ὀνομάσαι,

1 Pr. ad 414 ego addidi   15 Pr. ad 423   21 δεῖ: corr. W   26 εἴς τε Duebnerus: ὥστε   ib. καὶ Patzigius

διότι τῶν πίθων ἐπενοήσαντο τὴν πλάσιν· ὥστε μὴ τὴν πολυτέλειαν προσήκειν θαυμάζειν, ἀλλὰ τὴν τῶν χρειωδῶν, κἂν εὐτελῆ τυγχάνῃ, περιποίησιν.

43. ‘Φέρειν δὲ γύην.’ Τὸν μὲν οὖν γύην εἶναι κελεύει πρίνινον, προσθείς ‘ἢ κατ’ ἄρουραν εἰ εὕροις, ἢ κατ’ ὄρος, πρίνινον’. οὐ γὰρ εὔπορος Βοιωτοῖς ἡ πρῖνος, φησὶν ὁ Πλούταρχος, ἀλλὰ τοῖς πτελεΐνοις ἀντὶ τῶν πρινίνων χρῶνται τοὺς γύας κατασκευάζοντες.

44. ‘Εὖτ’ ἂν Ἀθηναίης δμωός.’ Ὁ μὲν δὴ γύης πρίνινος ἔστω· ὁ δ’ ἱστοβοεὺς ἢ δάφνινος ἢ πτελέϊνος· οὕτω γὰρ ἄσηπτος ἔσται· τὸ δ’ ἄσηπτον ἐδήλωσεν εἰπὼν ἀκιώτατον· ὁ δὲ Πλούταρχος ἐξηγήσατο τὴν αἰτίαν, λέγων εἶναί τι θηρίδιον ὃ καλεῖται κίς, διεσθίον τὰ ξύλα· τοῦτο καὶ Πίνδαρον οὕτω καλεῖν περὶ τοῦ χρυσοῦ λέγοντα

‘κεῖνον οὐ σῆς, οὐ κὶς δάμναται’,

ὡς ἄσηπτον· ἐγγίνεται δ’ οὖν τὰ τοιαῦτα θηρίδια τοῖς γλυκέσι καὶ μαλακοῖς ξύλοις, δάφνη δὲ καὶ πτελέα δριμύτατα.

45. ‘Ῥηίδιον γὰρ ἔπος εἰπεῖν.’ Τούτων τὸ μὲν ‘ἀβούτης’ εἴποι ἂν ὁ αἰτῶν βόας ἵν’ ἀροτριάσῃ τοῦ καιροῦ καλοῦντος, τὸ δ’ ὁ εὐπορῶν βοῶν ἀποκρίναιτο ἄν, ὅτι καὶ οἱ παρ’ αὐτῷ βόες ἔργα ἔχουσι, καὶ διὰ τοῦτο οὐκ ἂν αἰτούμενος δοίη. ὃ καὶ ὁ

4 Pr. ad 427 4. 10 Lemmata addidi 10 eiusdem ad 430 17 κεῖνον οὐ Schol. Pindari (Bergk. 1 p. 455 fr. 222): κεῖνο 21 Pr. ad 453 add. Gaisfordus 22 ὁ* 23 εὐπορῶν Heinsius: ἀπορῶν 25 ὃ — Λάκων Gaisfordus: ὃν — λαβὼν

Λάκων τὴν κυνῆν αἰτούμενος εἰπεῖν λέγεται πρὸς τὸν αἰτοῦντα 'εἰ μὲν εὐδία, ἔσται καὶ σοὶ ἄχρηστος· εἰ δὲ χειμών, καὶ ἐμοὶ χρήσιμος'. καὶ γὰρ καὶ περὶ τῶν βοῶν ἐρεῖ ταὐτὸν ὁ αἰτηθείς 'εἰ μὲν μὴ καιρὸς τοῦ ἀροῦν, καὶ σοὶ ἄχρηστος· εἰ δὲ καιρός, κἀμοὶ χρήσιμος'.

46. *'Εὔχεσθαι δὲ Διὶ χθονίῳ.' Ταῦτα καὶ θεοσεβείας ἐστὶ δόγματα, τρέποντα τοὺς ἔργων ἀπτομένους ἐπὶ τὰς παρακλήσεις τῶν τὰ ἔργα ταῦτα ἐφορώντων καὶ τελειοῦν δυναμένων θεῶν· καὶ οὐδὲν ἀπολείπει πρὸς τέρψιν, εἰ ἐννοήσομεν τὸν ἀροῦν μέλλοντα, λαβόμενον τῆς ἐχέτλης ἣν προείπομεν ὅ τι ποτὲ δηλοῖ τοῦ ἀρότρου μέρος, πρὶν ἐλάσῃ τοὺς βόας, μάρτυρα καλοῦντα τοῦ ἔργου τὸν Δία καὶ τὴν Δήμητραν, τὸν μὲν ὡς τελεσιουργὸν διὰ τῶν ὄμβρων τῆς σπορᾶς, τὴν δ' ὡς προστάτιν τῶν γονίμων δυνάμεων τῆς γῆς. ὁ γοῦν πάντα τὰ παρ' ἑαυτοῦ ποιήσας οὐχ ἁπλῶς αἰτεῖ τοὺς θεοὺς ἀλλ' ὥσπερ ἀπαιτεῖ τὸ τέλος. ὡς οὖν ἔλεγε Σωκράτης εὔχεσθαι δεῖν μουσικὴν τὸν μανθάνοντα καὶ γονὴν παίδων τὸν γαμοῦντα, οὕτω καὶ Ἡσίοδος καρπῶν γονὴν τὸν τῆς ἐχέτλης ἤδη λαμβανόμενον καὶ ὅρπηκα φέροντα καὶ ἐπάγοντα τοῖς νώτοις τῶν βοῶν ὥστε κινηθῆναι καὶ ἑλκύσαι τὸ ἄροτρον.*

47. *'Ὧδέ κεν ἁδροσύνῃ.' Εἰ καὶ τὰ παρ' ἡμῖν*

1 *κυνῆν* Scaligerus: *κοινὴν* 7 Pr. ad 465 add. Westerwickius 12 *λαβόμενον* *: *λαβόμενος* ib. *: *προείπαμεν* 15 *Δήμητρα*? 18 *ἑαυτὸν*? 25 eiusdem ad 473 addidi ib. *παρ' ἡμῶν*?

γίγνοιντο πάντα καὶ εὐξαμένοις ἐπακολουθήσει καὶ τὰ παρὰ τοῦ Διός, οἱ στάχυες ἁδροὶ γενήσονται· τοιοῦτοι δὲ γενόμενοι νεύσουσιν ἔραζε, ὡς εἰώθασιν πλήρεις ὄντες καὶ ἐμβριθεῖς. τὸ γὰρ πλῆρες βαρῦνον τὸν στάχυν νεύειν ποιεῖ, ὁ δ' ἀσθενὴς ὀρθὸς μένει διὰ κουφότητα.

48. *‘Εὐοχθέων’ τουτέστιν οὐ κεκοπιακώς, ὡς τὸ ‘κάματον εὐκάματον’ παρ' Εὐριπίδῃ.*

49. *‘Εἰ δέ κεν ὄψ' ἀρόσῃς.’ Τὴν μὲν οὖν ὁπλὴν ἐπὶ βοὸς ῥηθεῖσαν ἢ οὐκ ἔστι τῶν μονωνύχων, συγγνώμης ἀξιωτέον· διότι δὲ σημεῖον ἐξεῦρεν ἱκανὸν ἀρκοῦντος ὄμβρου τοῖς περὶ ἄροτρα καὶ βοῦς ἀσχολουμένοις, ἐπαινετέον. ὅτι δ' ὁ τοιοῦτος ὄμβρος χρήσιμος, πιστοῦνται ἀπὸ τοῦ τὴν Σικελίαν εὐκαρπεῖν, πολλοὺς δεχομένην ἐαρινοὺς ὄμβρους· καὶ ἀπὸ τοῦ προσηνὲς εἶναι τῇ γῇ τὸ ὕδωρ τότε ὑποθερμαινόμενον, καὶ νηπίοις οὖσι τοῖς καρποῖς συμφέρον· καὶ ἀπὸ τοῦ τινας καὶ ἐν ἰσημερίᾳ σπείραντας ἐαρινῇ Μαρτίου μηνὸς κα' πολλοὺς θερίσαι καρπούς· καὶ γὰρ ὁ τριμηνιαῖος λεγόμενος πυρὸς ὑπὸ τοιούτων ὄμβρων ἐκτρέφεσθαι ἔοικε τῶν ἐαρινῶν.*

50. *‘Μή σε κακοῦ χειμῶνος — πόδα χειρὶ πιέζῃς.’ Τῶν λιμωττόντων τοὺς πόδας παχύνεσθαί φησι τὸ δ' ἄλλο σῶμα λεπτύνεσθαι. καὶ εἷς νόμος ἦν Ἐφεσίων, μὴ ἐξεῖναι πατρὶ παῖδας ἀποθέ-*

2 *γενήσονται* *: *γεννήσονται* 7 Pr. ad 477 add. Patzigius 8 *Εὐριπίδῃ*] Bacch. 66 9 eiusdem ad 485 9. 22 Lemmata addidi 10 *ἢ* add. Duebnerus 19 *Μαρτίου μηνὸς κα'*] glossema vid. esse 22 Pr. ad 496

σθαι, ἕως ἂν διὰ λιμὸν παχυνθῇ τοὺς πόδας. ἴσως δὲ καὶ τὴν ἀπὸ καθίσεως καὶ ἀργίας πάχυνσιν δηλοῖ τῶν ποδῶν· γίνεται γὰρ τοῦτο τοῖς ἐπὶ πολὺ καθημένοις. ἐὰν οὖν ἐν τοῖς ἀλεεινοῖς οἴκοις ἀργὸς καθιζάνῃς, λεπτῇ χειρὶ διὰ λιμὸν τοὺς παχεῖς ὄντας πόδας πιέσεις. ἔοικε δὲ καὶ ἡ ἐν τοῖς λιμοῖς πάχυνσις εἶναι κατὰ φύσιν, ὡς ὁ Πλούταρχος· δεῖται γὰρ τὸ ἐν ἡμῖν θερμόν, ἵνα μένῃ, τῆς ἔξωθεν τροφῆς, ἣν οὐ δεχόμενον δαπανᾷ τὸ σῶμα καὶ αὐτοῦ τι ἀποσπᾷ· δι' ἀσθένειαν δ' ἀδυνατοῦν ἀλλοιῶσαι τὸ ἀποσπώμενον ἄπεπτον ἀφίησι· καὶ αὐτὸ μὲν τὰ μέσα καὶ τὰ ἄνω λεπτύνει τοῦ σώματος, ἐν οἷς ἐστι πλεῖον· ἐκεῖνο δ' ἄρα τὸ ἄπεπτον εἰς τὸ κάτω φέρεται, καὶ οὕτω δὴ παχύνει τοὺς πόδας.

51. 'Δείκνυε δὲ δμώεσσι.' Διὰ τούτου τοῦ παραγγέλματος καὶ τὰ ὅμοια νοητέον· οὐκ ἀεὶ εὐτυχήσομεν· παρασκευαστέον οὖν καὶ πρὸς τὰς περιστάσεις· οὐδ' ἀεὶ ὑγιανοῦμεν· φροντιστέον οὖν καὶ τῶν ταῖς νόσοις ἐπιτηδείων· οὕτως οὖν καὶ οἰκήσεων ἐν θέρει διὰ τὴν ἐλπίδα τῆς τοῦ χειμῶνος προσβολῆς.

52. 'Μῆνα δὲ Ληναιῶνα.' Πλούταρχος οὐδένα φησὶ μῆνα Ληναιῶνα Βοιωτοὺς καλεῖν· ὑποπτεύει δ' ἢ τὸν Βουκάτιον αὐτὸν λέγειν, ὅς ἐστιν ἡλίου τὸν αἰγόκερων διιόντος, καὶ τὸ βούδορα τῷ Βουκατίῳ συνᾴδειν διὰ τὸ πλείστους ἐν αὐτῷ διαφθείρεσθαι

9 καὶ αὐτοῦ τι] malim ἑαυτοῦ τι καὶ vel ἑαυτοῦ τι ἀποσπῶν 15 Pr. ad 502 add. Westerwickius 21 Pr. ad 504 ib. οὐδένα φησὶ Ruhnkenius: οὐδὲ ἀφίησι 23 Βουκάτιον W: βούκαιρον 24 τὸ Duebnerus: τὸν ib. Βουκατίῳ W: βουκαίρῳ 25 συνᾴδειν Duebnerus: συνάδοντος

βόας· ἢ τὸν Ἑρμαῖον, ὅς ἐστι μετὰ τὸν Βουκάτιον καὶ εἰς ταὐτὸν ἐρχόμενος τῷ Γαμηλιῶνι, καθ' ὃν καὶ τὰ Ληναῖα παρ' Ἀθηναίοις· Ἴωνες δὲ τοῦτον οὐδ' ἄλλως, ἀλλὰ Ληναιῶνα καλοῦσι. τοῦτον οὖν ὡς ψυχρὸν κελεύει φυλάττεσθαι, καὶ ἐν τοῖς ἄλλοις μησὶ τὰς ἐξαπίνης γινομένας πηγάδας, αἳ δὴ γίνονται πήξεις τῶν ὑδάτων τοῦ Βορέου πνεύσαντος, ἃς οὐ ῥᾴδιον ὑπομεῖναι διὰ τὴν σφοδρότητα τῆς πήξεως.

53. 'Ὅτ' ἀνόστεος ὃν πόδα.' Ἀριστοτέλης φησὶ ψεῦδος εἶναι τὸ κατὰ τοὺς πολύποδας· αὐτοὺς γὰρ ἑαυτοὺς μὴ κατεσθίειν ἀλλ' ὑπὸ τῶν παγούρων κατεσθίεσθαι.

54. 'Ἀμφὶ δὲ ποσσὶ πέδιλα βοὸς ἶφι κταμένοιο Ἄρμενα δήσασθαι, πίλοις ἔντοσθε πυκάσσας.' Ἐκ βοείων δερμάτων εἶναι κελεύει τὰ ὑποδήματα, καὶ τούτων τῶν ἰσχυρῶν· τοιαῦτα δ' εἶναι τὰ τῶν σφαγέντων βοῶν, ἀλλ' οὐ τὰ τῶν αὐτομάτως ἀποθανόντων. εἰκότως· ἀποθνήσκουσι μὲν γὰρ ἢ νοσήσαντες ἢ γηράσαντες ὥστε ἠσθενηκότες· τῶν δὲ σφαγέντων ἡ ἐν τοῖς δέρμασιν ἐνοῦσα δύναμις μένει. δεῖν οὖν ἐκ τούτων εἶναι τὰ ὑποδήματα· δεῖν δὲ καὶ πίλοις ἔνδοθεν χρῆσθαι συμφύεσθαι τοῖς ποσὶ δυναμένοις καὶ μειζόνως ἀλεαίνειν· τὰ γὰρ ἄκρα μείζονος δεῖται βοηθείας, ὡς πορρώτερον ὄντα τοῦ μέσου, ἐν ᾧ τὸ ἔμφυτον θερμόν.

1 *Βουκάτιον* W: *βούκαιον* hoc significat scriptura compendiosa cod. A non *βού καὶ* 9 Pr. ad 524 add. Patzigius 13 Pr. ad 541 19 *ὥστε*] corruptum 23 *καὶ*] *ὡς*?

55. *'Τῆμος θῶμισυ βουσίν.' Διὰ τὸν χειμέριον μῆνα τροφὴν πλείονα κελεύει διδόναι, ταῖς μὲν βουσὶ τὸ ἥμισυ τῆς εἰωθυίας προστιθέντα, τοῖς δ' ἀνθρώποις πλέον ἢ τὸ ἥμισυ· εἰ μὴ ἄρα τὸ ἥμισυ καὶ τὸ πλέον δεῖ συντάττειν, ἵν' ἀμφοτέροις πλέον ἢ τὸ ἥμισυ δίδωσί τις τοῦ ἔθους· πέττεται γὰρ χειμῶνος ὄντος ἡ τροφὴ μᾶλλον ἐν μήκει τῶν νυκτῶν· ἥ τε γὰρ θερμότης εἴσω καθειργμένη διὰ τὴν ἔξωθεν πύκνωσιν πλείονα δαπανᾷ· καὶ μῆκος αἱ νύκτες ἔχουσαι πλείονα πέττουσι τροφήν, ἣν 'ἁρμαλιὰν' εἶπεν ὡς προσφιλῆ τοῖς τρεφομένοις καὶ εὐάρμοστον.*

56. *'Ταῦτα φυλασσόμενος ...' Τοῦτον καὶ τοὺς ἑξῆς δύο διαγράφει Πλούταρχος. δηλοῦσι δὲ χρῆναι δι' ὅλου τοῦ ἔτους βλέπειν εἰς τὰς νύκτας καὶ τὰς ἡμέρας καὶ πρὸς ταύτας ἰσοῦν τὰ ἔργα, ἕως ἂν μετὰ τὸν σπόρον ἡ ὥρα ἀφίκηται τῆς τῶν καρπῶν συλλογῆς. τούτων δὲ διαγραφέντων ἀκόλουθα τὰ ἑξῆς ᾖ.*

57. *''Ἦμος ἥτε φανεῖσα πολέας ἐπέβησε κελεύθου Ἀνθρώπους ...' Ταῦτα περὶ τῆς ἐν τῷ ὄρθρῳ σπουδῆς· ὡς οἵ γε τοῦτον τὸν καιρὸν ἄπρακτοι καὶ τὴν ἐν τοῖς ἄλλοις μέρεσι τῆς ἡμέρας ἀμβλύνουσι συντονίαν. τὸν μὲν οὖν Ὅμηρόν φησιν ὁ Πλούταρχος ἐπιθέτοις εἰς τέρψιν εὐδοκιμοῦσι τὴν ἡμέραν κοσμῆσαι 'κροκόπεπλον' αὐτὴν λέγοντα καὶ 'ῥο-*

1 eiusdem ad 559 add. Westerwickius 6 *δίδωσι*] *διδῷ*? 12 Pr. ad 561 13 *ἀναγράφει*: corr. W 16 *τῶν*] addidi ex A 17 fort. *ἀκόλουθ' ἂν τὰ ἑξῆς εἴη* aut del. *ᾖ* cf. p. 84, 15 19 Pr. ad 580 21 *οἵ γε* W: *οἵ τε* 23 *συντομίαν*: corr. Duebnerus

δοδάκτυλον·' τὸν δ' Ἡσίοδον μειζόνως ἀπὸ τῶν ἔργων, ἐφ' ἃ δὴ προϊοῦσα κινεῖ τοὺς ἀνθρώπους καὶ ἀπὸ τῆς ἐκλύσεως εἰς τὴν ἐνεργὸν μεθίστησι ζωήν.

58. 'Μαχλόταται δὲ γυναῖκες ...'· ὡς ψυχρότεραι τὴν κρᾶσιν καὶ διὰ τοῦτο βράδιον ὀργῶσαι ἀναθερμαινόμεναι. οἱ δ' ἄνδρες ἀφαυρότεροι διὰ τῆς ἔξωθεν θέρμης ἀφαυαινόμενοι, φύσει θερμότεροι ὄντες καὶ ξηρότεροι τῶν γυναικῶν. τοιαῦτα δὲ καὶ τὸν Ἀλκαῖον ᾄδειν·

'τέγγε πνεύμονας οἴνῳ· τὸ γὰρ ἄστρον περιτέλλεται,
ἁ δ' ὥρα χαλεπά,
ἀχεῖ δ' ἐκ πετάλων ἀδέα τέττιξ,
ἀνθεῖ δὲ σκόλυμος· νῦν δὲ γυναῖκες μιαρώταται,
λεπτοὶ δέ τοι ἄνδρες, ἐπεὶ κεφαλὰν
καὶ γόνα Σείριος ἄζει.'

59. 'Καὶ βοὸς ὑλοφάγοιο — — τὸ δὲ τέτρατον ἱέμεν οἴνου.' Ἐργάτῃ μὲν ἡ τροφὴ πρέπουσα πληροῦν βοείων κρεῶν τὴν γαστέρα, καὶ ἐν σκιᾷ δὲ καθήμενον καὶ ὑπὸ τοῦ ζεφύρου καταπνεόμενον πίνειν ἐπὶ τῇ κρεοφαγίᾳ, μίξαντα κρηναῖον ὕδωρ τῷ οἴνῳ, τρία μέτρα πρὸς ἕν· οὐ γὰρ διαρρέουσιν ἀνθρώποις γράφει δίαιταν, ἀλλ' ἐκπονοῦσι τὴν γῆν καὶ αὐτουργοῖς καὶ βιωτικοῖς· τοῖς γὰρ τοιούτοις οὐδὲν προσφορώτερον τῆς ἰσχυρᾶς καὶ δυσφθάρτου ταύτης

3 ἐνεργὸν W: ἐναργὸν, nisi quod ex A nihil enotatum habeo 4 Pr. ad 586 5 βράδιον] ῥᾷον Piccolos 7 ἀναφαινόμενοι: corr. W 10 Bergk. 3 p. 163 ib. οἴνω πνεύμονα τέγγε A ib. περιστέλλεται idem 12 πεττάλλων τάδε ἀντέττιξ ita A: corr. Duebnerus 13 δὲ Seidlerus: δὲ καὶ 15 γόνατα: corr. Bergkius 16 Pr. ad 591

τροφῆς, οὐ χιόνων δεομένοις οὐδὲ ῥιπιδίων, ἀλλὰ φυσικῆς εὐπνοίας, οἷος ὁ ἀκραὴς ζέφυρος, καθαρὸς ὢν ζέφυρος· τὰ γὰρ βόρεια λήγοντα συνάπτεται τοῖς δυτικοῖς πνεύμασι. τὸ δὲ ταύτην ἐπαινέσαι τὴν κρᾶσιν τοῦ οἴνου καὶ τοῦ ὕδατος ἄτοπον εἶναι δοκεῖ· λέγεται γὰρ

'ἢ πέντε πίνειν ἢ τρί' ἢ μὴ τέσσαρα'·

τὸ δὲ τρία μιγνύναι πρὸς ἓν τοιοῦτον εἶναι δοκεῖ. ἀλλ' ἐκεῖναι μὲν αἱ κράσεις, δύο πρὸς ἓν καὶ τριῶν πρὸς δύο, κατὰ λόγους διπλάσιον καὶ ἡμιόλιον, τοὺς ἡγεμόνας τῶν πολλαπλασίων καὶ ἐπιμορίων, εἰς μέθην εἰσὶ πινόντων· αὕτη δὲ σωφρόνως πινόντων. καὶ μὴν καὶ περὶ ὕδατος ἄλλοι μὲν γράφουσιν εἰς σταθμὸν ἀποβλέποντες ἐκλεγόμενοι τὸ κουφότερον· καί τινες καὶ ὑδροστάτας κατασκευάζουσι, δι' ὧν τὸ βαρὺ καὶ κοῦφον ὕδωρ κρίνουσι· καίτοι πολλαχοῦ κοῦφον μέν ἐστι πονηρὸν δέ, ὡς ἐν Χαλκίδι Πλούταρχος ἱστορεῖ τὸ τῆς Ἀρεθούσης· οἱ δὲ καὶ τὸ ῥᾳδίως οἴνῳ κεραννύμενον δοκιμάζουσιν ὕδωρ ἄριστον, πολλῆς δεόμενον πείρας καὶ διαφόρων οἴνων εἰς τὸ μὴ φωραθῆναι τοιοῦτον ὄν· ἄλλοι δὲ εἰς κεράμειον ποτήριον ὕδωρ ἐμβαλόντες ἐῶσι δι' ὅλης μεῖναι νυκτός, εἶτα γενομένης ἡμέρας ὁρῶσιν εἴ τινα ἐντὸς τῆς κύλικος ἔχει γεώδη περιφέρειαν συστᾶσαν καὶ μελανίζουσαν· καὶ τοῦτο σημεῖον τίθενται τῆς τοῦ ὕδατος φαυλότητος, οὐδ' οὗτοι πεῖ-

11 εἰς μέθην — πινόντων] cf. Plat. Legg. p. 775 b
21 ὄν] οὐκ ὄν Duebnerus 24 γαιώδη: corr. W.

ραν παραδιδόντες εὐπόριστον. πάντων δὴ οὖν τῶν τοιούτων ἁπλούστερον ὁ Ἡσίοδος κελεύει τῷ γεωργικῷ μιγνύναι τῷ οἴνῳ ὕδωρ ἐκ κρήνης ἀπορρύτου, ἵν' ᾖ κινούμενον λεπτὸν καὶ ἀθόλωτον, ἀλλὰ μὴ γεῶδες.

60. 'Ὥσπερ ἐμός τε πατὴρ ...' Ταῦτα καὶ τὰ ἑξῆς εἰς ζῆλον ἀνεγείρει τοῦ πατρὸς τὸν Πέρσην, εἰ μὴ γεωργεῖν ἐθέλοι, ναυτίλλεσθαι· καὶ γὰρ ἐκεῖνον ἐκ τῆς Κύμης (μία δ' αὕτη τῶν Αἰολίδων πόλεων) ἥκειν εἰς Βοιωτίαν διὰ τὸ βίον ἐθέλειν ἑαυτῷ περιποιήσασθαι, οὐ πλοῦτον φεύγοντα ἀλλὰ πενίαν· καὶ οἰκῆσαι τοῦτο δὴ τὸ λυπρότατον πολίχνιον, τὴν Ἄσκρην, χαλεπὴν καὶ θέρους ὥρᾳ καὶ χειμῶνος. κεῖται μὲν οὖν ὑπὲρ τὴν ὁδόν, ἣν βαδίζουσιν οἱ ἐπὶ τὸ Μουσεῖον ἀπιόντες, ἡ Ἄσκρη. τοῦ δ' Ἑλικῶνος ἐκκειμένου τοῖς ἀνέμοις, καὶ θαυμαστὰς μὲν ἀναπαύλας ἔχοντος ἐν θέρει δυσηνέμου δ' ὄντος ἐν χειμῶνι, τὴν Ἄσκρην ἐν τῷ μεσημβρινῷ κειμένην τοῦ ὄρους τῆς μὲν ἐκ τῶν ἀνέμων ἀπολαύειν βίας ἐν δὲ τῷ θέρει τὸ εὔπνουν μὴ ἔχειν. ἀοίκητον δ' αὐτὸ ὁ Πλούταρχος ἱστορεῖ καὶ τότε εἶναι, Θεσπιέων ἀνελόντων τοὺς οἰκοῦντας, Ὀρχομενίων δὲ τοὺς σωθέντας δεξαμένων· ὅθεν καὶ τὸν θεὸν Ὀρχομενίοις προστάξαι τὰ Ἡσιόδου λείψανα λαβεῖν καὶ θάψαι παρ' αὐτοῖς, ὡς καὶ Ἀριστοτέλης φησὶ γράφων τὴν Ὀρχομενίων πολιτείαν.

4 ἀλλὰ μὴ γεῶδες] 'suspecta habeo verba inutilia' Herwerdenus: quae non probo 6 Pr. ad 633 12 τὴν Duebnerus: τὴν δὲ, ex A nihil enotavi 25 *: αὐτοῖς

61. 'Νῆ' ὀλίγην αἰνεῖν.' 'Αἰνεῖν' δέ τινες παραιτεῖσθαι παρέλαβον, ὥσπερ 'ἐπαινὴν Περσεφόνειαν'.

62. 'Οὐ γάρ πώποτε νηί γ' ἐπέπλων.' Ταῦτα πάντα περὶ τῆς Χαλκίδος, τοῦ Ἀμφιδάμαντος καὶ τοῦ ἄθλου καὶ τοῦ τρίποδος ἐμβεβλῆσθαί φησιν ὁ Πλούταρχος οὐδὲν ἔχοντα χρηστόν. τὸν μὲν οὖν Ἀμφιδάμαντα ναυμαχοῦντα πρὸς Ἐρετριέας ὑπὲρ τοῦ Ληλάντου ἀποθανεῖν· ἆθλα δ' ἐπ' αὐτῷ καὶ ἀγῶνες ἐγένοντο τελευτήσαντος παρὰ τῶν ἑαυτοῦ παίδων· νικῆσαι δ' ἀγωνιζόμενον τὸν Ἡσίοδον καὶ ἆθλον μουσικὸν τρίποδα λαβεῖν καὶ ἀναθεῖναι τοῦτον ἐν τῷ Ἑλικῶνι, ὅπου καὶ κάτοχος ἐγεγόνει ταῖς Μούσαις, καὶ ἐπίγραμμα ἐπὶ τούτῳ θρυλοῦσι. πάντα οὖν ταῦτα ληρώδη λέγων ἐκεῖνος ἀπ' αὐτῶν ἄρχεται τῶν εἰς τὸν καιρὸν τοῦ πλοῦ συντεινόντων, ἤματα πεντήκοντα.

63. 'Μέτρα φυλάσσεσθαι.' Εἰπὼν μὴ δεῖν πάντα τῇ νηὶ πιστεύειν ἀλλ' οἴκοι τὰ πολλὰ καταλείπειν διὰ τὴν ἀδηλίαν τῶν ἀνέμων, καὶ παραδείγματι τῷ τῆς ἁμάξης χρησάμενος (καὶ γὰρ ἐκείνῃ φόρτον ἐπιτιθέναι πολὺν οὐκ εὖ ἔχει, μήποτε κατάξῃ τις αὐτήν) πανταχοῦ παρακελεύεται τοῦ μέτρου στοχάζεσθαι καὶ πρὸ πάντων εἰς τὸν καιρὸν ὁρᾶν· ἔστι γὰρ οὗτος ἱκανὸς συλλήπτωρ ὧν ἐνεργοῦμεν ὥσπερ καὶ δύσμαχος παροφθείς· ἐναρμόζει γὰρ ἡμῶν τῷ παντὶ τὰς πράξεις καὶ ποιεῖ πρὸς τὴν τοῦ παντὸς σύλληψιν αὐτὰς ἐπιτηδείας, ὀρθῶς καὶ τοῦ Πλάτωνος

1 Pr. ad 643 add. Heinsius. *αἰνεῖν* addidi 2 vid. Homer *I* p. 569 3 Pr. ad 650. Lemma addidi 16 eiusdem ad 694 inseruit Westerwickius 26 *Πλάτωνος*] cf. Legg. p. 709 b

αἰτιωμένου τῶν ἀποβαινόντων τὸν καιρόν, οὐ μόνον ἐν τοῖς γάμοις τῆς τῶν παίδων τῶν εὐφυῶν καὶ ἀφυῶν γενέσεως ἀλλὰ καὶ ἐν πᾶσιν ἁπλῶς τοῖς πρακτικοῖς τούτοις, τύχην αὐτοῖς ἐπιστήσας καὶ μετὰ θεοῦ τὰ ἀνθρώπεια κυβερνῶντος.

64. *'Εὖ δ' ὄπιν ἀθανάτων.'* Τοῦτο μετὰ τοὺς περὶ γάμου λόγους προοίμιόν ἐστι τῶν ῥηθησομένων παιδευμάτων· δεῖ γὰρ πρὸ πάντων στοχάζεσθαι τοῦ κεχαρισμένου τοῖς θεοῖς. καὶ γὰρ καὶ Πλάτων φησὶν ὁ βλέπων εἰς τὸ θεῖον ἐξ ἀσελγημάτων αὑτοῦ φυλάττειν ἑαυτὸν σπουδάζει καὶ ἀσεβημάτων πάντων· καὶ γὰρ ὁ τοὺς ἀγαθοὺς ἄνδρας αἰσχυνόμενος, παρόντων αὐτῶν ἀπέχεται τούτων, μὴ ὅτι γε τοὺς θεούς. καὶ τί λέγω τοὺς ἀγαθοὺς αὐτούς; ἀλλὰ καὶ εἰκόνας ἀγαθῶν τινες σέβονται, καὶ ὑπ' αὐταῖς ὀκνοῦσί τινα πονηρὰν πρᾶξιν πρᾶξαι, ὡς ἡ μὴ προσιεμένη τὸν ἐραστὴν ἑταίρα δρᾶσαί τι ἄσχημον ὑπὸ τῇ Ξενοκράτους εἰκόνι τοῦ σώφρονος.

65. *'Μηδὲ κασιγνήτῳ.'* Τὴν κατὰ φύσιν ἡμῶν σχέσιν πρὸς ἀλλήλους τῆς κατὰ προαίρεσιν εἶναι τιμιωτέραν φησὶν οὗτος ὁ λόγος. καὶ γὰρ τὴν μὲν ἀποθέσθαι ἐφ' ἡμῖν· τῆς δὲ τὸν δεσμὸν ἐπήγαγε τὸ πᾶν αὐτὴν φυλάττειν βέβαιον· δεῖν οὖν μείζονα τιμὴν νέμειν ἀδελφοῖς ἢ ἑταίροις· καὶ γὰρ καὶ τοῖς

4 ἐπιστήσας καὶ] corr. vid. ἐπιστήσαντος καὶ καιρὸν cf. Plat. l. l. 6 Pr. ad 706 addidi 9 Πλάτων] cf. Legg. p. 716c sq. Phaedr. p. 250 sq. Plut. Mor. p. 550e 10 ὁ] ὅτι ὁ? ib. αὑτοῦ] del. W 13 malim μήτι γε 19 eiusdem ad 707

πατράσιν οὕτω φίλα πράξομεν, οὓς δεῖ μετὰ θεοὺς τιμᾶν ὡς ἀγάλματα, φησίν, ὄντας ἐφέστια θεῶν. οὕτω δὲ καὶ τὴν οἰκείαν πόλιν τινὲς εἶπον ἐγγυτέραν τῆς μὴ οἰκείας, κἂν μᾶλλόν τις ἐν ταύτῃ τυγχάνῃ τιμώμενος, διὰ τὴν κατὰ φύσιν σχέσιν. καὶ ὀρθῶς ὁ Παναίτιος, πολίτην αὐτὸν Ἀθηναίων ποιεῖσθαι σπευδόντων, εἶπε τῷ σώφρονι μίαν πόλιν ἀρκεῖν. καὶ ὁ τῶν Σπαρτιατῶν βασιλεὺς πρὸς τὸν Ἀρκάδα τὸν ξένον, εἰπόντα πρὸς αὐτὸν ὅτι φιλολάκων οἴκοι καλοῖτο 'κάλλιόν τοι' εἶπεν 'εἰ φιλόπολις ἐκαλοῦ μᾶλλον ἢ φιλολάκων'. οὕτως αἱ κατὰ φύσιν ἡμῶν σχέσεις παρὰ πᾶσι τῶν κατὰ προαίρεσιν εἶναι δοκοῦσι κρείττους. δεῖν μὲν οὖν τὸν ἀδελφὸν τοῦ ἑταίρου πάντως ἐπὶ μείζονος ἄγειν σπουδῆς· τούτῳ δ' ἀκόλουθον τὸ ἑξῆς, ὅτι, εἴ τινα ποιησόμεθα φίλον, ἀπροσκρούστους εἶναι δεῖ πρὸς αὐτόν. καὶ γὰρ ἡ τῶν Πυθαγορείων παραίνεσις, οὐχ ὅτι προτέρους ἁμαρτάνειν εἰς φίλον διακωλύσειεν ἄν, ἀλλὰ καὶ τὰ ἁμαρτήματα τοῦ φίλου πρᾴως φέρειν, ἕως ἂν δυνώμεθα, παρακελεύεται. καὶ ἔχει τὸ παράγγελμα πρὸς τῇ ἄλλῃ δικαιοσύνῃ καὶ τὸ ἔμφρον· εἰκὸς γὰρ ἡμᾶς καὶ θαρρήσαντας τυγχάνειν τινὰ τῷ φίλῳ, καὶ δεῖ μηδὲν εἰς αὐτὸν ποιεῖν λύον τὴν σχέσιν.

1 *πράξομεν οὓς* Duebnerus: *πραξαμεν̂* ita A, quod potius *πραξαμένων* est 2 *ὄντας*] *ὁ Πλάτων* (de Legg. p. 931 a) Cobetus ib. *ἐφέστια* idem quo ducit *ἐφεστια* A: *ἐφ' ἑστία* ceteri 3 *ἐγγυτέραν* Herwerdenus: *ἐγγιωτέραν*, quod ex lectionibus *ἐγγίω* et *ἐγγυτέραν* ortum vid. 19 *πρᾴως φέρειν* *: *προσφέρειν*

66. '*Μηδὲ ψεύδεσθαι γλώσσης χάριν.*' *Μὴ μόνον παραιτεῖσθαι τὸν φίλον λυπεῖν διά τινος ἔργου προσκρούοντα, ἀλλὰ μηδὲ ψευδόμενον πρὸς αὐτὸν φαίνεσθαι διὰ περιττὴν καὶ ἀνόνητον τῆς γλώττης ὁρμήν· καὶ γὰρ τοῦτο λυπηρὸν καὶ προάγον εἰς ἀπέχθειαν· ὁ γὰρ ψευδόμενος καὶ ἀπατῶν οὐ φίλος· ὅθεν τοῦτο παραιτητέον. ὃ καὶ Πλάτων εἶπε, τὸν ἑκουσίως ψευδόμενον ἄπιστον εἰκότως εἶναι, τὸν δ' ἄπιστον ἄφιλον. μέγα οὖν σημεῖον ἤθους οὐ φιλητικοῦ τὸ ψευδολόγον εἶναι πρὸς ὃν οἴεται φίλον εἶναι καὶ ἐπιθολοῦν τὴν φιλίαν.*

67. '*Εἰ δὲ σέ γ' ἄρχῃ ἤ τι ἔπος ἀποθύμιον.*' *Τοῦτο κινητικόν ἐστι τοῦ ἀμυντικοῦ τῆς ψυχῆς· δεῖν γάρ φησιν, ἐὰν ἐκεῖνος προκατάρχῃ λόγων ἡμῖν ἀποθυμίων ἢ ἔργων, ἐπεξιέναι, διπλασίοις τιννύμενον καὶ ἀμυνόμενον. ἐχθρὸν γὰρ αὐτὸν ἀντὶ φίλου τιθέναι χρῆναι καὶ ποιεῖν ὡς ἐχθρὸν κακῶς, ὡς μὴ φυλάξαντα τὰ φιλικὰ καθήκοντα. Σιμωνίδης γοῦν ταύτην εἶναι δικαιοσύνην ὡρίσατο, τοὺς φίλους εὖ ποιεῖν· ἄμεινον δ' ὁ Πυθαγόρειος λόγος, εἰπὼν χρῆναι φέρειν τὰ ἁμαρτήματα τῶν φίλων εἰς δύναμιν.*

68. '*Εἰ δέ κεν αὖθις ἡγῆτ' ἐς φιλότητα.*' *Καὶ ἀμύνασθαι τὸν ἁμαρτάνοντα παραινεῖ καὶ προσιόντα μὴ ἀτιμάζειν· καὶ μάλιστα εἰ ἑαυτῷ δίκην τινὰ ἐπ-*

1 Pr. ad 709 add. Westerwickius 7 *Πλάτων*] in Legg. p. 730c 12 Pr. ad 709 add. Westerwickius ib. verba *ἤ τι ἔπος ἀποθύμιον* addidi ex A 19 *τοὺς φίλους εὖ ποιεῖν*] supplendum vid. *ΤΟΥΣ* [*τ' ἐχθροὺς κακῶς καὶ ΤΟΥΣ*] *φίλους εὖ ποιεῖν* cf. Plat. Rep. p. 332b 23 Pr. ad 711

ἄγειν ἕτοιμος εἴη τοῦ ἁμαρτήματος· δῆλος γάρ ἐστιν ἑαυτοῦ καταψηφισάμενος καὶ ἐν μεταμελείᾳ γεγονώς, ὥστ' εἰκὸς αὐτὸν μηκέτι ταὐτὸν παθεῖν. κοινὸν δ' ἁπλῶς ἐπέθηκε παράγγελμα τοῖς περὶ φιλίας λόγοις, τὰς εὐχερεῖς μεταβολὰς τῶν φίλων ἀνθρώποις ἀθλίοις οἴεσθαι πρέπειν· εἰσὶ δ' ἄθλιοι πάντες οἱ τῶν θεσμῶν ὑπερόπται τῶν εἰς κοινωνίαν συντεινόντων, ὧν εἷς ἐστι καὶ ὁ περὶ τὰς τῶν φίλων καταστάσεις. ὅτι μὲν οὖν τὸ μεταβάλλειν τὰς φιλίας ἄτοπον, καὶ οὐχ ἁπλῶς, ἀλλ' ἄθλιον, εἶπε καὶ αὐτός. Πλάτων δὲ καὶ τῆς φρουρᾶς τῆς περὶ φιλίαν κανόνα παραδέδωκε, τὰς μὲν ἡμετέρας εἰς τοὺς φίλους εὐποιίας μικροτέρας ἡγεῖσθαι τῶν φίλων τὰς δ' ἐκείνων εἰς ἡμᾶς μείζους ἐκείνων. τούτῳ δ' ὅμοιον καὶ τὸ τὰ μὲν ἡμέτερα εἰς τοὺς φίλους ἁμαρτήματα μείζω κρίνειν ἢ ἐκεῖνοι νομίζουσι, τὰ δ' ἐκείνων εἰς ἡμᾶς ἐλάττω νομίζειν ἢ ἐκεῖνοι κρίνουσι. ταῦτα φυλάττοντες ἀσάλευτον τὴν φιλίαν φυλάξομεν. φησὶ δ' οὖν ὁ Ἡσίοδος παραινῶν ἀφαιρεῖν τὴν εὐχέρειαν 'σὲ δὲ μήτι νόον κατελεγχέτω εἶδος'.

69. 'Μηδὲ πολύξεινον.' Τὸ μὲν μήτε πολύξεινον εἶναι μήτ' ἄξεινον ὅρον ἐπιτίθησι μετὰ τὰς φιλικὰς παραινέσεις ταῖς περὶ τοὺς ξένους ἡμῶν σπουδαῖς, μήτε δι' εὐχέρειαν πλῆθος εἰσδέχεσθαι

6 οἴεσθαι] add. δεῖν W 7 malim τεινόντων cum A 11 Πλάτων] de Legg. p. 729d ib. κανόνα Herwerdenus: εἰκόνα 15 ἁμαρτήματα inseruit Gaisfordus. Eius loco lac. 11—12 litt. exhibet solus A 22 Pr. ad 715

ξένων κελεύων μήτε δι' ἀγριότητα πρὸς πάντα ξένον ἀποκλείειν τὸν οἶκον. τὸ δὲ μήτε κακοῖς συγκολλᾶν ἑαυτὸν μήτ' εἰς τοὺς ἀγαθοὺς ὑβρίζειν καὶ Πλάτωνος κρατύναντος τὴν κρίσιν· αὐτὸς γοῦν ἐστιν ὁ λέγων ἐπ' οὐδενὶ τὸν θεὸν οὕτω νεμεσᾶν ὡς ἐπὶ τῷ τὸν ὅμοιον αὐτῷ ψέγειν ἐπαινεῖν δὲ τὸν ἀνόμοιον· θεῷ δ' ὁ ἀγαθὸς ὅμοιος, ὃν οὐ δεῖ νεικείειν, ὁ δὲ κακὸς ἀνόμοιος, ὃν οὐ δεῖ ἀσπάζεσθαι.

70. 'Μηδέ ποτ' οὐλομένην πενίην.' Τὴν πενίαν ἢ ἡμεῖς ἑαυτοῖς προξενοῦμεν διχῶς ἢ δι' ἀργίαν ἢ δι' ἀσωτίαν πενόμενοι, ἢ ἀπὸ τοῦ παντὸς ἔχομεν ἀποκληρωθεῖσαν ἡμῖν. ταύτην οὖν ἀξιοῖ μὴ ὀνειδίζειν, ὡς τήν γε παρ' ἡμᾶς ἀξίαν εἶναι μυρίων ὀνειδῶν οὐ βοηθουμένην ὑφ' ἡμῶν. οὕτω δὴ καὶ νόσον τὴν μὲν εἱμαρμένην οὐ δεῖ ὀνειδίζειν, τὴν δ' ἀπὸ τῆς ἡμετέρας ἀκρασίας διὰ τὴν ἀκρασίαν ὀνειδιστέον, οἷς ἐξὸν ὑγιαίνειν οὐχ ὑπάρχει τοῦτο δι' αὐτήν.

71. 'Γλώσσης τοι θησαυρὸς ἐν ἀνθρώποισιν ἄριστος.' Ὁ μὲν θησαυρὸς τῆς γλώττης ἐστὶν ἡ κρύψις τῶν νοημάτων ἡ ἐν τῇ ψυχῇ καὶ τῶν φαντασιῶν τῶν μὴ γενομένων ἐκφόρων ὑπὸ τῆς γλώττης προπετῶς κινουμένης· δεῖ γὰρ τὴν κίνησιν ἐπιμετρεῖν τῇ γλώσσῃ καὶ τὸν καιρὸν τῆς κινήσεως, ἀλλ' οὐ ταύτην κυρίαν εἶναι ἑαυτῆς. τὸ δὲ πλείστην μὲν αὐτῆς εἶναι χάριν μετρίας οὔσης, ἀρχὴν δὲ γίνεσθαι

1 κελεύων W: κωλύων 4 Πλάτωνος] Min. p. 319a
9 Pr. ad 717 add. Patzigius 10 ἢ ἡμεῖς idem: ἣν ἡμεῖς
19 Pr. ad 719 26 αὐτῆς Duebnerus: ἑαυτῆς

μειζόνων καὶ ἀλγεινοτέρων ἀκουσμάτων τὴν προπέτειαν αὐτῆς, ἄμφω παρέστησε, καὶ ὅτι αἱρετὸν τοῦτο τὸ μόριον καὶ ὅτι φευκτόν· ὡς Πιττακόν φασι, πέμψαντος αὐτῷ τοῦ Ἀμάσιδος ἱερεῖον καὶ ἀξιώσαντος ἀντιπέμψαι τῶν μορίων αὐτῷ τὸ κάλλιστον ἅμα καὶ χείριστον, ἐξελόντα τὴν γλῶσσαν ἀποστεῖλαι. καὶ ἔοικεν ἡ φύσις τὸ μὲν τῶν ὀδόντων ἕρκος αὐτῆς θεῖναι πρόσθεν, κατακλείουσα μαλακὴν αὐτὴν οὖσαν καὶ εὐκίνητον· τὸν δ' ἐγκέφαλον ἄνωθεν εἶναι παρ' οὗ τοῦ λόγου τὸ μέτρον αὐτῇ δεῖν ὑπάρχειν ἐνδεικνυμένη.

72. 'Μηδέποτ' ἐξ ἠοῦς Διὶ λείβειν αἴθοπα οἶνον Χερσὶν ἀνίπτοισιν.' Τοῦτο καθαρότητός ἐστι παράγγελμα. πολλὰ γὰρ αἱ χεῖρες τῶν ἀναγκαίων μὲν ἀκαθάρτων δὲ ποιοῦσιν· εἰς οὖν πρὸς τὸ θεῖον ἐνέργειαν δέονται καθάρσεως, διότι τὸ θεῖον καθαρόν. δεῖ δὲ τὸ ὅμοιον αὐτοῖς ὑπηρετεῖν· μὴ σπένδειν οὖν μὴ προκαθήραντας τὰς χεῖρας· πολλῷ ἄρα μᾶλλον τῷ ὅλῳ σώματι δεῖ καθαρῶς πράττειν τὰ πρὸς θεούς· ἐκ γὰρ ἀκαθάρτων τῶν ὀργάνων εἰ τιμῴημεν αὐτούς, ἀποπτύουσιν ἡμῶν τὰς ἐπὶ τοῖς ἔργοις τούτοις ἀράς· αὗται γάρ εἰσιν αἱ ἐπαραὶ ταῖς θυσίαις ἢ ταῖς σπονδαῖς ἐπᾳδόμεναι. ἐν μὲν

8 θεῖναι Duebnerus: εἶναι 10 εἶναι] seclusit idem, sed cum ἐνδεικνυμένη coniungendum vid. 'esse, quod ....' et corrigendum δεῖ; aut eiecto εἶναι legendum παρὰ τοῦ λόγου — δεῖν κτλ. 11 ἐνδεικνυμένην exhibet A 12 Pr. ad 724 17 δὲ τὸ Duebnerus: τὸ 18 προκαθάραντας: correxi ex A 23 ταῖς] αἱ ταῖς?

οὖν Σπάρτῃ τοῖς εἰς ἀρχὴν καθισταμένοις οἱ ἔφοροι προεκήρυττον μὴ τρέφειν μύστακας, ἵνα τοὺς τὸ φαῦλον τοῦτο καὶ εὐτελὲς παραβάντας μειζόνως κολάζωσιν· ὁ δ' Ἡσίοδος νίπτεσθαι τὰς χεῖρας παραινῶν πρὸ τοῦ σπένδειν ἐνδείκνυται τὸν περὶ τοῦτο μὴ πεισόμενον μείζονος ἄξιον εἶναι καταγνώσεως, ὡς ἀνεπιτήδειον πρὸς παιδείαν.

73. 'Μηδ' αἰδοῖα γονῇ πεπαλαγμένος ἔνδοθεν οἴκου Ἑστίῃ ἐμπελαδὸν παραφαινέμεν, ἀλλ' ἀλέασθαι.' Ταῦτα τῆς ἀπαιδευσίας ὄντα ἔκγονα, κἂν σμικρὰ ᾖ, δεῖ παραφυλάττειν, καλῶς τοῦ Πλουτάρχου λέγοντος, ὅτι καθάπερ ἐν λόγοις τὸ μὴ σολοικίζειν οὐ θαυμαστόν, ἀλλὰ τὸ σολοικίζειν καταγέλαστον, καὶ ἐν τοῖς ἔργοις οὐ τὸ μὴ πράττειν τὰ τοιαῦτα ἐπαινετόν, ἀλλὰ τὸ πράττειν ἐπονείδιστον· δεῖν οὖν μεμολυσμένον ἀπὸ γονῆς ἀποκρύπτειν τὰ αἴτια τοῦ μολυσμοῦ, καὶ μὴ γυμνοῦν ἐγγὺς τῆς ἑστίας· βωμὸς γὰρ καὶ αὕτη τῶν θεῶν καὶ καθημερινῶν θυσιῶν καὶ σπονδῶν ὑποδοχή. μὴ οὖν ἀπογυμνούμενον μολύνειν τὴν ἑστίαν.

74. 'Μηδ' ἀπὸ δυσφήμοιο τάφου.' Τὴν ἀρχὴν ἑκάστου τῶν σπουδαίων ἔργων θεῖόν τι δεῖ νομίζειν· μιμεῖται γὰρ τὴν κυρίως ἀρχὴν θεὸν οὖσαν. σπουδαῖον δὲ καὶ ἡ τέκνωσις ἅτε συντελοῦσα πρὸς τὴν ἀειγενεσίαν. οὐ δεῖ οὖν ποιεῖσθαι ταύτην ἀπὸ μιασμάτων ἀλλ' ἀπὸ καθαρότητος πρὸς τὸ καὶ ὑπ-

1 τοῖς — καθισταμένοις] εὐθὺς — καθιστάμενοι W 3 μὴ παραβάντας παραβαίνειν μείζονα κωλύσωσιν idem 8 Pr. ad 733 21 Pr. ad 735 add. Westerwickius

εναντίαν εἶναι τὴν τέκνωσιν τῇ τῶν τάφων ἐννοίᾳ· καὶ γάρ γένεσίς ἐστι καὶ φθορά. δεῖ οὖν ἀπὸ δαιτὸς θεῶν, τουτέστι θεοῖς προσελθόντα καὶ εὐωχηθέντα καὶ παρακαλέσαντα τοὺς θεοὺς οὕτω παιδουργεῖν, ἀπὸ τῶν κοινῶν πατέρων τῆς τιμῆς ἀρχόμενον τῆς παιδουργίας.

75. 'Μηδέ ποτ' ἀενάων ποταμῶν.' Οἱ παλαιοὶ καὶ πᾶσαν μὲν τὴν τῶν ὑδάτων φύσιν ὡς τρόφιμον καὶ αὐξητικὴν τῶν φύσεων ἱερὰν ἐνόμιζον εἶναι τῶν ζωογόνων θεῶν· μάλιστα δὲ τοὺς ἀενάους ποταμοὺς θείους ἐνόμιζον, τὴν ἀνέκλειπτον τῶν θεῶν οὐσίαν ἱκανῶς μιμουμένους, καὶ δυνάμεις ᾤοντο θείας ἔχειν ἐφεστώσας αὐτοῖς. εἰκότως οὖν διὰ πάντων ἡμᾶς παιδεύων εἰς εὐσέβειαν ἀξιοῖ μὴ διαβαίνειν εἰς ἀέναον ποταμὸν πρὶν εὔξώμεθα βλέποντες εἰς αὐτόν· εὔχεσθαι δ' ἀπονιψαμένους πρότερον. τὸν γὰρ ἄνιπτον διιόντα διὰ κακίαν τοῦτο ποιεῖν τὴν καταφρονοῦσαν ὧν δεῖ μὴ καταφρονεῖν· καὶ ἔστι καὶ τοῦτο σημεῖον θεοσεβοῦς ζωῆς, τὸ μηδ' ἐν τούτοις ἀμελεῖν τοῦ καθήκοντος.

76. 'Μηδ' ἀπὸ πεντόζοιο.' Πέντοζον μὲν καλεῖ τὴν χεῖρα, τοὺς δακτύλους ὄζοις εἰκάζων. 'χλωρόν' δὲ τοῦτο δὴ τὸ σαρκῶδες τῶν ὀνύχων ὡς ζῶν καὶ ὡς ἁπαλόν· 'αὖον' δὲ τὸ ἄκρον τοῦ ὄνυχος, ὃ δὴ καὶ ἄζωόν ἐστι καὶ ἀναίσθητον. παρακελεύεται τοίνυν μὴ ἐν εὐωχίαις θεῶν τέμνειν τοὺς ὄνυχας· τεμόν-

2 ἔστι καὶ] om. A et omitti potest 7 Pr. ad 737 add. Westerwickius 21 Pr. ad 742 add. Scheerius 23 δὴ *: δὲ 26 τεμόντας *: τέμνοντας

τας γὰρ καὶ καθηραμένους ἐκείναις δεῖ παραβάλλειν, ἀλλ' οὐκ ἐν αὐταῖς τοῦτο ποιεῖν· καὶ γὰρ τρόπον τινὰ νέκρωσίς ἐστι τῶν ἐν ἡμῖν μορίων τοῦτο, ἀφαιροῦντας αὐτὰ τοῦ σώματος, ὡς συμπεφυκότα τούτῳ καὶ συνυπάρχοντα ᾧ τρέφεται. χρὴ οὖν, εἰ μὴ ταῦτα προαποθήσεις τοῦ λοιποῦ σώματος πρότερον, τουτέστιν ἐκτμηθέντα ποιήσεις, ἐν ταῖς τῶν ἄσβεστον ἐχόντων ζωὴν θεῶν εὐωχίαις μὴ ἀποστερεῖν ταῦτα ζωῆς· ἀλλότριον γὰρ ἐκείνων τὸ τοιοῦτον.

77. 'Μηδέ ποτ' οἰνοχόην.' Πολλὰ τοιαῦτα καὶ τοῖς Πυθαγορείοις ἐλέγετο· ζυγὸν μὴ ὑπερβαίνειν καὶ χελιδόνα μὴ εἰσδέχεσθαι καὶ μαχαίρᾳ πῦρ μὴ σκαλεύειν, συμβολικῶς παραινοῦντας τῶν ὀργιζομένων μὴ ἐπεγείρειν διὰ λόγων παροξυντικῶν τὸ πάθος, καί φλυάρους μὴ εἰσάγειν εἰς τὸν οἶκον καὶ λάλους καὶ μὴ δεῖν τὸ δίκαιον ὑπερβαίνειν. τοιοῦτον οὖν καὶ τὸ ἐπιτιθέναι τῷ κρατῆρι τὴν οἰνοχόην συμβολικὸν παίδευμα· τουτέστι μὴ ἐπίπροσθεν ἄγειν τοῦ κοινοῦ τὸ ἴδιον. ὁ μὲν γὰρ κρατὴρ προύκειτο κοινὸς ἐν ταῖς τραπέζαις, ἐκ δὲ τῆς οἰνοχόης ἀρυόμενοι ἔπινον οἱ συνδειπνοῦντες. μήτ' οὖν τὸ μέρος νομίζειν τοῦ ὅλου ὑπέρτερον μήτε τὸ ἴδιον τοῦ κοινοῦ προτιμότερον· χαλεπὴν γὰρ εἶναι τὴν ἐπ' αὐτῷ μοῖραν ὡς ἑπομένην ἔχοντι ποινὴν ἀπὸ τοῦ παντός, ἐν ᾧ τὰ ὅλα τῶν μερῶν ἐθέλει κρατεῖν.

78. 'Μηδὲ δόμον ποιῶν.' Οἱ μὲν ὅτι δεῖ τὰς

1 *: κα θ ρ μένους A ib. ἐκείναις *: ἐκείνῳ ib. δεῖ Gaisfordus: δὴ 10 Pr. ad 744 add. Westerwickius 26 Pr. ad 746 add. Patzigius

οἰκίας πρὸ χειμῶνος συντελεῖν· ὁ γὰρ κρωγμὸς τῆς κορώνης χειμῶνος σύμβολον· οἱ δ' ὅτι μὴ ἀτελῆ δεῖ τὸν οἶκον ἐᾶν, μὴ ψόγον ἐπαγάγῃ παρ' ἄλλων, οὓς τῇ κορώνῃ ἀπείκασεν, ὡς πολλὰ ἂν φθεγξαμένους νεμεσῶντας ἐπὶ τῷ ἐλλιπεῖ. δεῖ δὲ καὶ ἐπὶ τὰ ἄλλα τὸ παράγγελμα διατείνειν καὶ μηδὲν τῶν ἡμετέρων ἔργων ἀτελὲς περιορᾶν φερόμενον ἀλλ' ἑκάστῳ τὸ προσῆκον ἐπάγειν τέλος.

79. 'Μηδ' ἀπὸ χυτροπόδων ἀνεπιρρέκτων.' Θυσίαν ταύτην ὁ Πλούταρχος πρόχειρον καὶ καθημερινὴν εἶπεν ὀρθῶς, ἀφ' ὧν μέλλομεν ἐσθίειν, ἱερὰ πάντα ποιοῦντας διὰ τοῦ ἀπάρξασθαι. καὶ γὰρ αἱ τῶν ἱερῶν τραπεζώσεις τοῦτο εἶχον· ἀπαρξάμενοι γὰρ ἀπ' αὐτῶν ἐδαίνυντο. χρῆναι δὲ καὶ ἐπὶ τῶν λουτρῶν τὸ αὐτὸ δρᾶν· ἐλούοντο δὲ περιχεόμενοι 'κατὰ κρατός τε καὶ ὤμων'· χρῆν οὖν καὶ τούτου πρότερον ἀφορίσαι τι τῆς ἡμετέρας χρήσεως ἱερὸν θεοῖς, καὶ οὕτω τὸ λοιπὸν εἰς τὴν ἀναγκαίαν χρείαν παραλαμβάνειν.

80. 'Μηδ' ἐπ' ἀκινήτοισι.' Μήποτε δὲ κάλλιον ὁ Πλούταρχος, ὅτι μὴ δεῖ τὰ νεογνὰ ἀκίνητα ἐᾶν καὶ ἀποτίθεσθαι ἐν ἀκινήτοις· ἀσθενέστερα γὰρ γίνεται· κινεῖν δ' αὐτὰ ὅτι μάλιστα, κἂν ἐπί τινων αὐτά τις καθιζάνῃ, κινουμένων καθιζάνειν καὶ σαλεύειν διὰ τούτων, οἷά τισιν εὐκίνητα κλινίδια μεμηχάνηται πρὸς τὴν τῶν παιδίων εὐνήν.

3 δεῖ *: δεῖν 5 *: ἐλλειπεῖ 9 Pr. ad 748 18 ἱερὸν Duebnerus: ἱερῶν A ib. *: οὕτως 19 περιλαμβάνειν: corr. W 20 Pr. ad 750 24 ἐπὶ κινουμένων W

81. 'Μηδὲ γυναικείῳ λουτρῷ χρόα φαιδρύνεσθαι.' Μὴ δεῖν συναπογυμνοῦσθαι ταῖς γυναιξὶ τοὺς ἄνδρας· πρὸς γὰρ τῷ ἀσχήμονι καὶ ἀπόρροιαί τινες ἐκ τῶν γυναικείων σωμάτων καὶ περιττωμάτων χωροῦσιν, ὧν ἀναπίμπλασθαι τοὺς ἄνδρας μολυσματῶδές ἐστι· καὶ τοῖς εἰς τὸν αὐτὸν ἀέρα εἰσιοῦσι καὶ τοῖς εἰς τὸ αὐτὸ ὕδωρ ἀνάγκη τούτων ἀπολαύειν. διὸ καὶ ἐπὶ χρόνον τινά φασι ποινὴν παραμένειν τοῖς τοῦθ' ὑπομείνασιν, ἐν ᾧ τὸν μολυσμὸν ἀνάγκη μένειν ἐπ' αὐτοῖς.

82. 'Μηδέ ποτ' ἐν προχοαῖς ποταμῶν ἅλαδε προρεόντων, Μηδ' ἐπὶ κρηνάων οὐρεῖν, μάλα δ' ἐξαλέασθαι, Μηδ' ἐναποψύχειν.' Ταῦτα διαγράφει Πλούταρχος, ὡς εὐτελῆ καὶ ἀνάξια παιδευτικῆς Μούσης μὴ οὐρεῖν ἐν προχοαῖς ποταμῶν ἢ ἐπὶ κρηνῶν, μηδ' ἀποπατεῖν, τοῦτο γὰρ τὸ ἀποψύχειν.

83. 'Ὧδ' ἔρδειν· δεινὴν δὲ βροτῶν ὑπαλεύεο φήμην — — θεός νύ τίς ἐστι καὶ αὐτή.' Τοῦτο τὸ τέλος ἐστὶ τῶν παραγγελμάτων, ἱκανὸν εἰς τὸ παιδεῦσαι ἡμᾶς τὸ ἑαυτῶν ἦθος, εὐλαβουμένους τὴν φήμην. οὐ γὰρ ὅσον ἀρετῆς οἱ ἄνθρωποι σφάλλονται, τοσοῦτον καὶ κρίσεως ἀρετῆς, φησὶν ὁ Πλάτων· τὴν οὖν χαλεπὴν φήμην φυλακτέον εἰς δύναμιν. ἡ γὰρ κακὴ φήμη κούφη μέν ἐστιν ὑπολαβεῖν δυσχερὴς δ' ὑπενεγκεῖν, κεντοῦσα τοὺς ὑπ' αὐτῆς

1 Pr. ad 753 ib. χρόα φαιδρύνεσθαι] addidi ex A 4 καὶ περιττώματα Duebnerus 11 Pr. ad 757 15 ἐπὶ] addidi ex A 17 Pr. ad 760 ib. δεινὴν δὲ — — καὶ αὐτή] addidi ex A 22 Πλάτων] locum non inveni 24 ὑπολαβεῖν * 25 δυσχερὴς δὲ add. W

ἐπονειδίστους γινομένους· ἔτι δὲ καὶ ἀρξαμένην ταύτην παῦσαι χαλεπόν· εἰώθασι γὰρ οἱ ἄνθρωποι πολλαπλασιάζειν ἃς ἂν παραλάβωσι φήμας καὶ ἐκ σμικρῶν μεγάλας ποιεῖν. καὶ τέλος προσέθηκεν, ὅτι κινδυνεύει καὶ ὡς ἐπὶ τὸ πλεῖστον ἀληθὴς εἶναι πᾶσα φήμη 'ἣν λαοὶ πολλοὶ φημίξωσι', καὶ διὰ τοῦτο ἔχειν τι καὶ αὐτὴν θεῖον· πολλάκις γοῦν ὁ μὲν ἄρξας αὐτῆς οὐκ ἔστιν, εὔστοχος δ' αὕτη δι' αὐτῶν ἀναφαίνεται τῶν ἀποβαινόντων, ὥστε εἰκότως δεῖ φυλάττεσθαι τὴν κακὴν φήμην. κατὰ τοῦτο οὖν χρήσιμον τὸ δεῖν καὶ δόξαν ὑφορᾶσθαι τὸν παιδευόμενον. οὐ γὰρ ἁπλῶς ἀληθὲς ὃ ἔλεγε Γοργίας· ἔλεγε δέ 'τὸ μὲν εἶναι ἀφανὲς μὴ τυχὸν τοῦ δοκεῖν, τὸ δὲ δοκεῖν ἀσθενὲς μὴ τυχὸν τοῦ εἶναι'. παρὰ γὰρ τοῖς πολλοῖς καὶ τὸ δοκεῖν ἰσχὺν ἔχει καὶ τὰ ἐκ τοῦ δοκεῖν ἀποβαίνοντα δυσχερῆ δείκνυται οὐκ ὄντα ὀλίγα. μᾶλλον οὖν, ὡς Ξενοκράτης ἔλεγε 'τοῦ μὲν οὖν φίλον Ἀλέξανδρον ἔχειν ἕνεκα μηδ' ἂν τὸν δάκτυλον κινῆσαι, τοῦ δὲ μὴ ἐχθρὸν πάντα ἂν πρᾶξαι'· οὕτω καὶ Ἡσίοδος τῆς μὲν παρὰ τοῖς πολλοῖς δόξης ἀξιοῖ ποιεῖσθαι λόγον μηδένα, τῆς δ' ἀδοξίας, ἵνα μὴ συμβῇ, πάντα ποιεῖσθαι λόγον.

84. 'Μηνὸς δ' ἱσταμένου.' Καλῶς ἐπέστησεν ὁ Πλούταρχος, ὅτι τὸ σπεῖραι καὶ τὸ φυτεῦσαι οὐχ ὑπὸ τῶν αὐτῶν ἔοικεν ὠφελεῖσθαι. τὸ μὲν γὰρ σπέρμα δεῖ καταβληθὲν κρυφθῆναι πρῶτον εἴσω τῆς γῆς καὶ σαπῆναι, καὶ οὕτως ἑαυτοῦ διαδοῦναι τὴν

10 κατὰ Duebnerus: καὶ   17 Ξενοκράτης] vid. Heinze p. 196   23 Pr. ad 780

δύναμιν εἰς τὴν περικρύψασαν αὐτὸ γῆν, ἵν' ἐξ ἑνὸς πυροῦ τυχὸν ἢ κριθῆς γένηται πλῆθος. διὸ καὶ ὑετοῦ δεῖσθαι καὶ πάχνης αὐτό φασι τὴν ἀρχὴν πιεζούντων ἔσω καὶ χεόντων τὰς ἐν αὐτῷ φυσικὰς δυνάμεις. τὸ δὲ φυτὸν ῥιζωθὲν βλαστῆσαι χρὴ καὶ ἀναδοῦναι τὸν ἐν τῇ ῥίζῃ κρυπτόμενον λόγον, οἷον διοχευθείσῃ διὰ φωτός· ὥστ' εἰκότως τὴν τρισκαιδεκάτην πρὸς μὲν τὸ σπείρειν ἀνεπιτήδειον εἶναι, πρὸς δὲ τὸ φυτεύειν ἐπιτηδείαν· τὸ γὰρ προκαλέσασθαι τὸν ῥιζικὸν λόγον καὶ εἰς ἐπίδοσιν ἄγειν καὶ βλάστην ἐσήμηνε διὰ τοῦ ὀνόματος, πρὸς ἃ συντελεῖ πλεῖον ὂν τὸ ἐκ τῆς σελήνης ἐν ταύτῃ φῶς.

85. '"Εκτη δ' ἡ μέσση.' Τὴν ἑκκαιδεκάτην μέσην ἕκτην εἰπὼν ὠφέλιμον εἶναι τοῖς φυτοῖς φησιν δι' ἣν εἴπομεν αἰτίαν· τὸ γὰρ φῶς θερμὸν ὂν τὸ σεληναῖον καὶ ὑγρὸν προκαλεῖται τὴν βλάστην αὐτῶν. τῶν δ' ἀνθρώπων πῶς ἄρρεσι μὲν σπέρμασι σύμφορον θήλεσι δ' ἀσύμφορον; αἴτιον δὲ τούτων ὅτι τὸ μέν ἐστι ξηρότερον τὸ δ' ὑγρότερον τῶν σπερμάτων, οἷς καὶ αὐτὸ τὸ ἄρρεν διαφέρει τοῦ θήλεος· καὶ διὰ ταῦτά φασι καὶ τὰς συλλήψεις τὰς μὲν βορείων πνευμάτων ὄντων γινομένας εἶναι ἀρρενογόνους τὰς δὲ νοτίων θηλυγόνους· καὶ μέντοι καὶ τὰς διαρθρώσεις τῶν θηλέων ἐμβρύων βραδυτέρας γίνεσθαι ἢ τῶν ἀρρένων διὰ τὸ ἐκεῖ τὴν ὑγρότητα μὴ ῥαδίως κρατεῖσθαι ὑπὸ τῆς δημι-

6 διοχευθείσῃ editur: διοιχηθείσῃ 13 Pr. ad 782 ego addidi 16 προσκαλεῖται: corr. Gaisford 18 αἴτιον δὲ] aut interrogatur aut in δὲ vitium est

ουργούσης τὴν θερμότητα φύσεως. φυσικῶς οὖν εἴρηται τὴν ἑκκαιδεκάτην ἀρρενογόνον μὲν ἄριστον εἶναι θήλεσι δ' ἀσύμφορον· ἔχει δέ τινα καὶ πρὸς γάμους ἐναντίωσιν, τῆς σελήνης πάμπολυ τοῦ ἡλίου διεστώσης. διὸ καὶ Ἀθηναῖοι τὰς πρὸς σύνοδον ἡμέρας ἐξελέγοντο πρὸς γάμους καὶ τὰ θεογάμια ἐτέλουν, τότε φυσικῶς εἶναι πρῶτον οἰόμενοι γάμον τῆς σελήνης οὔσης πρὸς ἡλίου σύνοδον.

86. 'Πεφύλαξο δὲ θυμῷ.' Τοὺς πρὸ τούτων τέσσαρας στίχους οὐδὲ μνήμης ὁ Πλούταρχος ἠξίωσεν, ὡς ἂν μὴ φερομένους· τούτους δ' ἐξηγούμενος ἀξιοῖ μὴ ἐγκαλεῖν τῷ Ἡσιόδῳ, ὡς ἂν γελοίως εἰπόντι μὴ χρῆναι λύπας ἑαυτῷ κινεῖν ἐν ταύταις, ὡς δέον ἐν ἄλλαις τισὶ τοῦτο ποιεῖν· οὐ γὰρ τοῦτο λέγειν, ἀλλ' ὡς ἐν ἱεραῖς ταύταις μάλιστα τὰς λυπηρὰς ἀποσκευάζεσθαι ἐνεργείας· ἃς εἰ καὶ ἄλλοτε δεῖ ὡς ἀναγκαίας αἱρεῖσθαι, ἐν ταύταις οὐ δέον. τὰς δὲ τετράδας ἄμφω εἶναι ἱεράς, τὴν μὲν ὡς μάλιστα τὸ σεληναῖον ἐκφαίνουσαν φῶς, τὴν δ' ὡς τοῦτον ἔχουσαν πρὸς τὴν πρώτην τετράδα λόγον, ὃν ἡ ἑβδόμη πρὸς τὴν νουμηνίαν· καὶ γὰρ ἡ τετάρτη καὶ εἰκοστὴ ἑβδόμην ἔχει τάξιν πρὸς τὴν ἐσχάτην.

87. 'Ἐν δὲ τετάρτῃ μηνὸς ἄγεσθ' εἰς οἶκον ἄκοιτιν.' Ὅτι μὲν ἀρχαία ἡ διὰ τῶν οἰωνῶν μαντεία καὶ ταῦτα δηλοῖ· καὶ ὅτι οἱ αὐτοὶ οἰωνοὶ πρὸς

9 Pr. ad 797 20 πρώτην W 22 εἰκοστὴν: corr. W
24 Pr. ad 800 ego addidi

ἄλλα μὲν δεξιοὶ πρὸς ἄλλα δ' ἐναντίοι σαφῶς ἐδήλωσεν εἰπών 'οἵ ἐπ' ἔργματι τούτῳ ἄριστοι'. τὴν δὲ τετάρτην εἶναι γαμικὴν εἰκότως ὡς πρώτην καὶ κατὰ σύνθεσιν ἐκ τῆς γονίμου γενομένην δυάδος ἧς τὸν γάμον ἱερὸν εἶναί φαμεν, καὶ ὡς τῶν ἁρμονικῶν λόγων περιεκτικὴν ὧν ἔμπροσθεν εἴπομεν, τοῦ διὰ τεσσάρων, τοῦ διὰ πασῶν, τοῦ δὶς διὰ πασῶν· καὶ ὡς μητέρα τῆς δεκάδος, ἥτις κοσμικός ἐστιν ἀριθμός· καὶ ὡς μεσότης μονάδος καὶ ἑβδομάδος κατὰ τὴν ἀριθμητικὴν μεσότητα· διὰ γὰρ ταῦτα πάντα γάμοις οἰκεία.

88. 'Τετράδι δ' ἄρχεσθαι.' Καὶ τοῦτο συμβαίνει τοῖς περὶ τῆς τετράδος ἀξιώμασιν· εἰ γὰρ στιγμῇ μὲν ἡ μονὰς ἀνάλογος γραμμῇ δ' ἡ δυὰς ἐπιπέδῳ δ' ἡ τριάς, δῆλον ὡς τῷ στερεῷ προσήκοι ἂν ἡ τετράς· εἰκότως οὖν ἐπιτηδεία πρὸς σύμπηξιν τῶν νεῶν. εἰ δὲ καὶ πρώτη τὸ ἰσάκις ἴσον ἔχει καὶ πρώτη πάντας τοὺς ἁρμονικοὺς περιέχει λόγους, καὶ εἴπομεν καὶ ταύτῃ πρὸς τὸ εἰρημένον ἔργον εὔκαιρα ἰδίαν δίδωσιν ὥραν. οὐδὲν γὰρ οὕτως ἁρμονίας δεῖται τῶν ἔργων, ὡς ναῦς μέλλουσα καὶ ἀέρος κινήσει μαχεῖσθαι καὶ θαλάσσῃ πολλῇ, καὶ μόνην ἔχουσα τὴν ἀπὸ τῆς ἁρμονίας βοήθειαν τοῦ σῴζεσθαι, τάχα καὶ Ὁμήρου διὰ τοῦτο μόνον καλέσαντος Ἁρμονίδην τὸν ναυπηγόν· εἰ δὲ τὰς ναῦς

3 fort. suppl. εἶπεν εἰκότως aut simile quid 9 μεσότης] fort. μεσότητα aut μέσην τῆς 12 Pr. ad 809 ego addidi 19 καὶ εἴπομεν] ὡς εἴπομεν? 20 εὐκαιρίαν δίδωσιν Gaisfordus omisso ὥραν quod A om.

ὡς κούφας ἀραιὰς ἐκάλεσε (δεῖ γὰρ αὐτὰς εἶναι κούφας ἐπιπλεῖν μελλούσας), δῆλός ἐστι καὶ αὐτὸς τὴν μὲν πύκνωσιν βαρύτητος αἰτίαν τὴν δὲ μάνωσιν κουφότητος ὑπολαβών.

89. 'Δεκαδώρῳ ἁμάξῃ'· ἧς ἡ διάμετρος τῶν τροχῶν δεκάδωρος. δῶρον δέ, ὡς μέν τινες, ἡ παλαιστή· ὡς δ' ἕτεροι, ὅταν τοὺς τέσσαρας δακτύλους συστρέψας ἐγείρῃς τὸν ἀντίχειρα, ὡς Πλούταρχος.

90. Id etiam, inquit, multo mirandum est magis, quod apud Plutarchum in quarto in Hesiodum commentario legi: 'Cepe tum revirescit et congerminat decedente luna, contra autem inarescit adulescente. Eam causam esse dicunt sacerdotes Aegyptii, cur Pelusiotae cepe non edint; quia solum olerum omnium contra lunae augmenta atque damna vices minuendi et augendi habeat contrarias.'

5 ad v. 426 ex Hesychio 10 ex Gellio XX, 8 15 edunt: corr. Hertz 16 augmenta idem: aucta

XII.

ΟΜΗΡΙΚΩΝ ΜΕΛΕΤΩΝ.

---

1. ‘Οὐ ψυχαγωγόν.’ Ψυχαγωγοί τινες γόητες ἐν Θεσσαλίᾳ οὕτω καλούμενοι, οἵτινες καθαρμοῖς τισι καὶ γοητείαις τὰ εἴδωλα ἐπάγουσί τε καὶ ἐξάγουσιν· οὓς καὶ Λάκωνες μετεπέμψαντο, ἡνίκα τὸ Παυσανίου εἴδωλον ἐξετάραξε τοὺς προσιόντας τῷ ναῷ τῆς Χαλκιοίκου· ὡς ἱστορεῖ Πλούταρχος ἐν ταῖς Ὁμηρικαῖς Μελέταις.

2. ‘Ἀνεμοτρεφὲς κῦμα’, Ἰλιάδος Ο, τὸ ὑπὸ τοῦ ἀνέμου ηὐξημένον, ὑψηλόν· ὅταν δὲ τὸ Ἀγαμέμνονος δόρυ ἀνεμοτρεφές φησιν, ὡς ἐν τῇ Λ, ἀντὶ τοῦ ὑπὸ ἀνέμου γεγυμνασμένον, ἰσχυρόν. τὰ γὰρ ὑπεύδια καὶ κατασκιαζόμενα τῶν δένδρων εὐτενῆ μὲν καὶ λεῖον τὸν ὅρπηκα ποιεῖ, ἀσθενῆ δὲ καὶ μαλακὸν καὶ ἀγύμναστον ἀναδίδωσιν· οἷς δὲ προσπίπτει τραχὺς ἀὴρ καὶ ἀνεμώδης, ταῦτα ταῖς τῶν πνευμάτων τριβόμενα πληγαῖς εὔτονον καὶ δύσθρυπτον ἔχει τὴν στερρότητα, ὥς φησι Πλούταρχος ἐν Μελέταις Ὁμηρικαῖς.

2 Schol. Eur. Alc. 1128. Lemma addidi 9 Etym. M. et Schol. Il. *O* 625 10 ὅταν] ὅτι Etym. M. fort. ὅτε 13 εὐτενῆ W: εὐγενῆ 18 ἐν μελέτῃ Ὁμήρου Etym. M.

7*

3. Ἐν οἷς ἐγὼ μὲν ἐκπλήττομαι τῆς μεγαλοψυχίας τὸν Χρύσιππον· δέον γὰρ ὡς ἄνθρωπον ἀνεγνωκότα τοσούτους ποιητὰς καὶ γινώσκοντα σαφῶς ἅπασι τοῖς δόγμασιν αὐτοῦ μαρτυροῦντας ἄλλοτε κατ' ἄλλο τῶν ἐπῶν, ὥσπερ καὶ Πλούταρχος ἐπέδειξεν ἐν τοῖς τῶν Ὁμηρικῶν μελετῶν, ἐκλέγειν μὲν ἐξ αὐτῶν ὅσα μαρτυρεῖ τῷ σπουδαζομένῳ πρὸς αὐτοῦ δόγματι παραλείπειν δὲ τὰ μαχόμενα καὶ πᾶν ἐνίοτε κατασκευάζοντα τοὐναντίον, ὁ δ' ὁμοίως ἑξῆς ἁπάντων μέμνηται.

4. *Plutarchus* quoque, homo in disciplinis gravi auctoritate, in primo librorum quos de Homero composuit, Aristotelem philosophum scripsit eadem ipsa de Pythagoricis scripsisse, quod non abstinuerint edundis animalibus, nisi pauca carne quadam. Verba ipsa *Plutarchi*, quoniam res inopinata est, subscripsi: Ἀριστοτέλης δὲ μήτρας καὶ καρδίας καὶ ἀκαλήφης καὶ τοιούτων τινῶν ἄλλων ἀπέχεσθαί φησι τοὺς Πυθαγορικούς, χρῆσθαι δὲ τοῖς ἄλλοις.

5. *Plutarchus* secundo librorum, quos de Homero composuit, imperfecte atque praepostere atque inscite syllogismo esse usum Epicurum dicit verbaque ipsa Epicuri ponit: Ὁ θάνατος οὐδὲν πρὸς ἡμᾶς· τὸ γὰρ διαλυθὲν ἀναισθητεῖ, τὸ δὲ ἀναισθητοῦν οὐδὲν πρὸς ἡμᾶς. 'Nam praetermisit' inquit 'quod in prima parte sumere debuit, τὸν θάνατον

1 ex Galen. Vol. V p. 115e Ch. 6 malim ἀπέδειξεν ib. ἐν τοῖς] fort. ἐν τοῖς περὶ ib. ἐκλέγει — — παραλείπει: corr. W 11 ex Gellio IV 11 20 ex eodem II 8

εἶναι ψυχῆς καὶ σώματος διάλυσιν· tum deinde eodem ipso, quod omiserat, quasi posito concessoque ad confirmandum aliud utitur. Progredi autem hic' inquit 'syllogismus, nisi illo prius posito, non potest.'

6. In eodem libro idem *Plutarchus* eundem Epicurum reprehendit, quod verbo usus sit parum proprio et alienae significationis. Ita enim scripsit Epicurus: *Ὅρος τοῦ μεγέθους τῶν ἡδονῶν ἡ παντὸς τοῦ ἀλγοῦντος ὑπεξαίρεσις.* 'Non' inquit '*παντὸς τοῦ ἀλγοῦντος* sed *παντὸς τοῦ ἀλγεινοῦ* dicere oportuit. Detractio enim significanda est doloris non' inquit 'dolentis.'

5 ex Gellio II 9

XIII.

ΑΙΤΙΑΙ ΤΩΝ ΑΡΑΤΟΥ ΔΙΟΣΗΜΙΩΝ.

---

1. ‘Ἠελίῳ καὶ μᾶλλον ἐοικότα σήματα κεῖται, Ἀμφότερον, δύνοντι καὶ ἐκ περάτης ἀνιόντι.’ Διὰ τί τοῦ ἡλίου τὰ σημεῖα βεβαιότερα τῆς σελήνης φησί; καὶ λέγει, ἐπειδὴ πολλὴν ἔχων ἰσχὺν πρὸς τὸ διαλύειν ταῖς ἀκτῖσι τὰ ὑποπίπτοντα παχέα, νικώμενος ὑπ᾽ αὐτῶν μείζονα τὸν χειμῶνα προαγγέλλει· ἢ ὅτι αἱ τοῦ ἡλίου πρὸς τὸν ἀέρα διαφοραὶ κυριώτεραι τῶν τῆς σελήνης εἰσί· δυναστεύων γὰρ ἡμέρας σαφέστερα δείκνυσι τὰ τεκμήρια; ἢ ὅτι λαμπρότερός ἐστι, καὶ εἰ μὴ μεγάλη καὶ ἰσχυρὰ τοῦ ἀέρος εἴη μεταβολή, οὐκ ἂν κρατηθείη· τὰς γὰρ μικρὰς καὶ ἐλαφρὰς ἀναστέλλει; οὕτω Πλούταρχος. διὰ τί δ᾽ ἀνατέλλοντος μόνον καὶ δύνοντος, καὶ οὐ καὶ μεσουρανοῦντος; ἢ ὅτι τότε φαίνεται διὰ τοῦ ἀέρος τοῦ ὑπεργείου, τοῦ δεχομένου πάχη καὶ μεταβολὰς διὰ τὰς ἀναθυμιάσεις ἃς ἡ γῆ ἀναδίδωσι, τοῦ ἡλίου ταῦτα κινοῦντος· ἐξαρθεὶς γὰρ καὶ ὑψωθεὶς τὸ οἰκεῖον αὐτοῦ χρῶμα εἰλικρινὲς ἐμφαίνει;

2. ‘Ἀλλ᾽ οὐχ ὁππότε κοῖλος ἐειδόμενος περι-

1 *: ΔΙΟΣΗΜΕΙΩΝ 2 ad Dios. 87 = 819 21 ad v. 828

τέλλη.' Αἱ ἐν τῷ ἡλίῳ κοιλότητες οὔκ εἰσιν αὐτοῦ, φαντασίαι δ' εἰσὶ τῆς ὄψεως κατ' ἐπιπρόσθησιν ζοφεροῦ ἀέρος. οὐ γὰρ τὸ μέσον ὁρᾶται ἀλλ' ἡ κύκλῳ ἀψίς· λαμπρὰ δ' οὖσα δοκεῖ περιφέγγειν εἰς τὸ ἐκλιπές, ὡς ἔμφασιν κοιλότητος παρέχειν. ὃν γὰρ τρόπον οἱ ζωγράφοι ἀντρώδεις τόπους γράφοντες φωτὶ τραχύνουσι τὴν ὄψιν, ἅτε φύσει τοῦ μὲν λαμπροῦ προβάλλοντος ἔξω καὶ διωθοῦντος τὴν φαντασίαν τοῦ δὲ μέλανος ὑποσκιάζειν καὶ βαθύνεσθαι δοκοῦντος· οὕτω καὶ περὶ τὸν ἥλιον τὸ φαινόμενον τῇ ὄψει κατὰ ἀντίφραξιν τοῦ ἀέρος ἐκκοπὴν τοῦ μέσου λαμπροῦ διὰ τὴν σκιὰν ποιεῖ ὑποφαίνεσθαι. ἢ ὅτι τὰ ἔμπροσθεν αὐτοῦ ἱστάμενα νέφη, μελαινόμενα διὰ τὴν πολλὴν πύκνωσιν, τὴν κοιλότητα ἀποτελεῖ· πέφυκε γὰρ πάντα τὰ διὰ τῶν μελάνων ὁρώμενα κοιλότητος φαντασίαν παρέχειν· καὶ γὰρ καὶ οἱ ζωγράφοι, ὅσα μὲν βούλονται προεχῆ δεικνύναι, τῷ λευκῷ ἀπογράφουσιν, ὅσα δὲ κοῖλα καὶ ἐν βάθει, τῷ μέλανι. ἐὰν οὖν, φησί, τοιοῦτόν τι γένηται, ἢ τὰς ἀκτῖνας μὴ κατ' εὐθεῖαν φερομένας ἔχῃ ἀλλ' ἐσχισμένας, καὶ τὰς μὲν τῇδε τετραμμένας τὰς δὲ τῇδε (ὅπερ συμβαίνει ὑπὸ τῆς τοῦ ἀέρος παχύτητος οὐκ ἐωμένων αὐτῶν κατ' εὐθεῖαν φέρεσθαι), ἢ ἄνεμον ἴσθι γενησόμενον ἢ ὑετόν. ἀπὸ κοινοῦ οὖν τὸ εὔδιος, ἵν' ᾖ, ἀλλ'

4 περιφεύγειν: corr. W 8 προσβάλλοντος: corr. idem 9 ὑποσκιάζειν] W requirit verbum, quod se removere significet; sed recte se habere vid. mea quidem sententia 17 προσεχῆ: corr. Duebnerus

οὐκ ἔσται εὔδιος, ὅταν ἀνατέλλων κεκοιλωμένον ἔχῃ τὸ μέσον τοῦ κύκλου δηλονότι ὥσπερ κακωθέντος τοῦ φωτός· ὃ δὴ συμβαίνει πάλιν ἐκ τῆς τοῦ ἀέρος δυσκρασίας. ὥσπερ γὰρ ἐπὶ τῶν ὀφθαλμῶν, ὅταν συμβαίνῃ κοιλαίνεσθαι αὐτούς, δηλονότι ἐξασθενήσαντος τοῦ σώματος, ἢ ὥσπερ ὅταν βλέφαρον κατάγοντες ἢ περιθλίψαντες τὴν ὄψιν τῷ λύχνῳ προσβάλλωμεν, οὐ φαίνεται συνεχὲς τὸ φῶς ἀλλὰ πλάγιαι καὶ σποράδες αἱ αὐγαί· οὕτως ὅταν ἀχλὺς ἢ νέφωσις ἀνώμαλος πρὸ τοῦ ἡλίου στᾶσα περιθλίψῃ καὶ σείσῃ τὸν τῆς ὄψεως κῶνον εἰς λοξὰς ἀκτῖνας καὶ ῥομβοειδεῖς, ὃ πάσχομεν αὐτῇ τῇ αἰσθήσει, τοῦτο περὶ τὸν ἥλιον εἶναι δοκοῦμεν. οὕτω **Πλούταρχος**.

3. '"Η πῦρ αὔηται σποδιῇ.' Τὰ καυστὰ βραδέως ἐξάπτεται, παχυμεροῦς τοὺς πόρους ἐμφράττοντος τοῦ ἀέρος· διόπερ οἱ τὰς δᾆδας ἅπτοντες προστρίβουσιν ἐν τῇ τέφρᾳ, ἵνα ἀποκρουσθῇ εἴ τι ἔνικμον ᾖ, καὶ τὸ πῦρ τῆς ὕλης μᾶλλον ἅψηται. Οὕτω **Πλούταρχος**.

4. 'Πρῖνοι δ' αὖ καρποῖο καταχθέες, οὐδὲ μέλαιναι Σχῖνοι ἀπείρητοι.' Ἄρχεται λοιπὸν ἀπὸ δένδρων τεκμήρια ἡμῖν διδόναι περὶ χειμώνων καὶ καιρῶν, ἐπιτήδεια πρὸς γεωργίαν. δεῖ οὖν λαβεῖν ἀπὸ πρίνου καὶ σχίνου σημεῖα· ὁ μὲν γὰρ τῆς πρίνου καρπὸς σύμμετρος ὢν τοιοῦτον χειμῶνα δηλοῖ· ὁ δὲ πλείων τοῦ συνήθους πλείονα αὐχμόν.—Ἄλλως.

15 ad v. 1035 16 παχυμερῶς cod. Paris. 2726 21 ad v. 1044 23 καὶ W

μεταβέβηκεν ἑξῆς ἐπὶ τὰ τῆς γεωργίας σημεῖα καὶ νῦν διδάσκειν πειρᾶται ἡμᾶς, καί φησιν ὅτι πρῖνοι καὶ σχῖνοι μετρίαν τὴν καρποφορίαν ὅταν ἔχωσιν, ** αὐχμηρὸν τὸ τέλος σημαίνουσιν. αἱ μὲν οὖν πρῖνοι μὴ ὑπὲρ τὸ δέον εὐποροῦντες μακρὸν ἐσόμενον τὸν χειμῶνα σημαίνουσιν· ἐὰν δὲ πολυφορῶσι, περὶ τὰ ἔσχατα μέρη τοῦ θέρους βλάβην τοῦ σιτικοῦ καρποῦ γενησομένην ὑπὸ αὐχμοῦ. ἡ δὲ τοῦ σχίνου καρποφορία τρισσὴ τυγχάνει· τρὶς γὰρ τοῦ ἐνιαυτοῦ ἀνθεῖ καὶ τρὶς τελεσφορεῖ, καὶ ἑκάστη καρποφορία ἴδιον σημεῖον ποιεῖ. ἐὰν γὰρ ὁ πρῶτος καρπὸς κατὰ πρέπον γένηται, πρώιμον δεῖ θέρος προσδοκᾶν· ἐὰν δ' ὁ δεύτερος, τὸν μέσον καιρὸν τῆς θερείας κρείσσονα σημαίνει· ὁ δὲ τρίτος τὸν ἔσχατον. ἡ δὲ σύνταξις οὕτως· καταχθέες καρποῖο, τουτέστι βαρούμεναι τῷ καρπῷ οὐκ ἀπείρητοί εἰσι χειμῶνος· ὅσα γὰρ τὴν σχῖνον ἐκ τοῦ ἀέρος ὠφελεῖ, ταῦτα καὶ τὸν σῖτον· ὁμοίως καὶ τὰ βλάπτοντα. δείγματα οὖν τῶν πρώτων σπόρων ὁ πρῶτος ἐν τῇ σχίνῳ ἐστί, καὶ τῶν μέσων ὁ μέσος, καὶ ὁ τρίτος τῶν τελευταίων. οὕτω Πλούταρχος.

5. 'Πρῖνοι μὲν θαμινῆς ἀκύλου κατὰ μέτρον ἔχουσαι, Χειμῶνός κε λέγοιεν ἐπὶ πλέον ἰσχύσοντος.' Ἡ πρῖνος τὸ δένδρον τῶν πάνυ καταξήρων ἐστί· καὶ μαρτυρεῖ καὶ Ἀριστοφάνης λέγων

4 lac. inseruit Duebnerus ib. scr. vid. οἱ μὲν οὖν πρῖνοι aut quidem εὐφοροῦσαι (εὐφοροῦντες W) 8 τοῦ] τῆς Duebnerus 12 κατὰ πρέπον editi: κατὰ τρόπον 22 ad v. 1047 25 Ἀριστοφάνης] Ran. 859

'σὺ δ' εὐθὺς ὥσπερ πρῖνος ἐμπρησθεὶς βοᾷς'.

τῶν ξύλων γὰρ τὰ κατάξηρα ἐμπρησθέντα καὶ καυθέντα τῇ ξηρότητι ἀντηχεῖ τῷ πυρί. αὕτη τοίνυν ἡ πρῖνος, ξηρά τις οὖσα τὴν φύσιν, τοῖς ὑγραίνουσι τέρπεται· καὶ ὅταν χειμῶνος ὄντος σφόδρα ὑγρὸν γένηται τὸ περιέχον, τῇ ὑγρότητι ἡσθεῖσα καρποφορεῖ καὶ δηλοῖ τὸν ἐσόμενον μέγαν χειμῶνα, ὑφ' οὗ τῆς ὑγρασίας μεταλαβοῦσα ἐκαρποφόρησε. θαμινῆς δὲ τῆς συνεχῶς φυομένης· τρίτον γὰρ τοῦ χειμῶνος φύεται. ἡ δ' ἄκυλος ὁ καρπός ἐστι τῆς πρίνου· καὶ Ὅμηρος 'πὰρ δ' ἄκυλον βάλανόν τε'. κατὰ μέτρον δὲ ἔχουσαι ἀντὶ τοῦ συμμέτρως ἔχουσαι τῶν καρπῶν. φησὶν οὖν καὶ Θεόφραστος, ὅτι ἡ πρῖνος καὶ ἡ σχῖνος αὐχμηραὶ τῇ κράσει καὶ ξηρότεραι τῶν ἄλλων πεφύκασι. πολὺν οὖν καρπὸν οὐ φέρει, ἐὰν μὴ εἰς βάθος ὑγρανθῇ. εἰκότως οὖν τῇ τούτων ἀφορίᾳ καταμαντεύονται περὶ τῶν σπερμάτων οἱ γεωργοί, μιᾶς αἰτίας οὔσης δι' ἧς ἀμφοτέρων ἡ πολυκαρπία ἐπέρχεται· εἰ δ' ὑπερβάλλει τοῦ καρποῦ τὸ πλῆθος, οὐκ ἀγαθὸν σημεῖον· ἄμετρον γὰρ ἐπομβρίαν καὶ πλεονασμὸν ὑγρότητος ἡ περὶ τὸν ἀέρα ἄνεσις καὶ θηλύτης δηλοῖ. οὕτω Πλούταρχος.

6. 'Ὅντινα γὰρ κάλλιστα λοχαίη σχῖνος ἄρηται, Κείνῳ γ' ἐξ ἄλλων ἄροσις πολυλήιος εἴη.' Ἐν ἐκείνῳ τῷ καρπῷ ἡ ἄροσις πολὺ κρείττων ἔσται.

1 εὐθὺς ὥσπερ πρῖνος Aristophanes: ὥσπερ πρ. εὐθὺς 3 ἀντέχει: corr. Duebnerus 8 ὑφ' οὗ] suspectum 11 Ὅμηρος] κ 242 24 ad v. 1057

οὐ γὰρ μόνον ἐν τοῖς ζῴοις συμπάθεια γίνεται, ἀλλὰ καὶ ἐν τοῖς φυτοῖς. ὅσ' ἂν οὖν κεκραμένην τῇ ὑγρότητι ἢ ψυχρότητι παραπλησίως ἔχῃ τὴν ἕξιν, καὶ τρέφεται ἀπὸ τῶν ὁμοίων καὶ τοῖς αὐτοῖς εὐθαλεῖ καὶ μαραίνεται. διὸ πολλὰ μετ' ἀλλήλων συνακμάζει καὶ καρποφορεῖ, τὰ μὲν θέρει τὰ δὲ χειμῶνι τὰ δὲ καὶ ἔαρι. τῶν μὲν οὖν αἱ κράσεις διάφοροι, τῶν δ' ὅμοιαι καὶ συγγενεῖς σφόδρα· τῶν οὖν μίαν κρᾶσιν ἐχόντων εἰσὶ πρῖνος, σχῖνος, σκίλλα, πυρός. οὕτω Πλούταρχος.

7. *'Θήλειαι δὲ σύες, θήλεια δὲ μῆλα καὶ αἶγες Ὁππότ' ἀναστρωφῶσιν ὀχῆς, τὰ δέ γ' ἄρρενα πάντα Δεξάμεναι πάλιν αὖτις ἀναβλήδην ὀχέωνται, Αὕτως κε σφήκεσσι μέγαν χειμῶνα λέγοιεν.' Ἡ ὑγρότης γόνιμον καὶ κινητικὸν σπερματικῆς δυνάμεως· διαχυθὲν γὰρ τὸ σῶμα καὶ τὸ πνεῦμα τῇ ἀνέσει εὔρουν γίνεται, καὶ ὑπόθερμον εἰς ὁρμὰς ἀγωγοὺς ἐπὶ τὸ τῆς γεννήσεως ἔργον. διὸ καὶ οἱ παλαιοὶ τὸν Διόνυσον τῇ Δημήτρᾳ συγκαθιέρωσαν, αἰνιττόμενοι τὸ γόνιμον τῆς ὑγρότητος. ὥσπερ οὖν τὰ φυτὰ ἐξασθενήσαντα διανθεῖ τῇ εὐκρασίᾳ, ἐπελθούσης τῆς ὑγρᾶς καὶ ἐπιρρεούσης τροφῆς, οὕτω καὶ τὰ ζῷα ἐν ὑγρῷ τῷ ἀέρι καὶ μαλακῷ μάλιστα πρὸς συνουσίαν κινεῖται. οὕτως Ἀπολλινάριος. — Ἄλλως. σύες θήλειαι καὶ πρόβατα καὶ αἶγες, ὅταν ὑπομείναντα τὴν τῶν ἀρρένων ὄχευσιν ἐπιστρέψαντα ἐπιβαίνῃ*

2 *ὅσ' ἂν* Duebnerus: *ὅταν* 3 *ἢ ψυχρότητι* idem: *ἡ ψυχρότης* 11 ad v. 1068 18 *γεννήσεως* editi: *γενέσεως* 19 *Δήμητρι?*

τοῖς ἄρρεσι, μέγαν χειμῶνα καὶ οὐκ ἐλάσσονα τοῦ ἀπὸ τῶν σφηκῶν σημαίνουσιν· ὅταν δὲ μὴ προλαμβάνῃ τὰ προειρημένα τὴν μῖξιν, ἀλλὰ βράδιον τοῦ εἰθισμένου ὀχεύῃ, εὐθυμίαν τοῖς πένησι παρέχονται, ὅτι μὴ ἔχοντες εὐπορεῖν ἐσθημάτων προσδοκῶσιν εὐδιεινότερον ἔσεσθαι τὸν χειμῶνα. ἢ ταῦτα τὰ ζῷα ἐπιθυμητικῶς ἔχουσι συνουσίας ἐν χειμῶνι· τότε γὰρ ἔξωθεν τοῦ ὑγροῦ ὄντος, τὸ θερμὸν ἔνδοθέν ἐστι, καὶ φλέγον αὐτὰ ἐγείρει πρὸς συνουσίαν. διὸ καὶ ἑξῆς φησιν ὅτι, ἐὰν βραδέως καὶ μὴ συνεχῶς συνουσιάζωσι, δηλοῦσιν οὐ ψυχρὸν τὸν χειμῶνα ἀλλ' εὔκρατον· ὅθεν καὶ τὸν πένητα χαίρειν ποιοῦσιν. ἢ ἐν τοῖς αὐχμηροῖς τε καὶ ἀνόμβροις ἔτεσι τὰ ζῷα πρὸς συνουσίαν ἀπρόθυμα, διὰ τὴν τῶν σωμάτων ὑγρότητα ὀλίγην οὖσαν, βραδύτερον τοῦτο δρᾷ· διό φησιν, ὀψὲ δρῶντα τὴν συνουσίαν, εὐθυμίαν παρέχονται τοῖς γεωργοῖς· ἡ γὰρ πλείων ἐπιθυμία ἐξ ὑγρότητος πλεοναζούσης γίνεται. χαίρει οὖν ὁ ἄνολβος ἀνήρ, ἤγουν ὁ πένης καὶ ἀνείμων, ὅτι οὐ πάνυ αὐτῷ θερμαινομένῳ ὑπὸ ἀμφίων εὔδιον τὸν ἐνιαυτὸν γενήσεσθαι ὑποφαίνουσι. τὸ δὲ βιβαιόμεναι ἀντὶ τοῦ βιβαζόμεναι πρὸς συνουσίαν.

8. 'Οὐδὲ μὲν ὀρνίθων ἀγέλαις ἠπειρόθεν ἀνήρ, Ἐκ νήσων ὅτε πολλαὶ ἐπιπλήσσωσιν ἀρούραις Ἐρχομένου θέρεος, χαίρει.' Ξηρότεραι γὰρ αἱ νῆσοι τῶν ἠπείρων τυγχάνουσαι, ὥς φησι Πλούταρχος, θᾶττον καὶ ῥᾷον τοῦ αὐχμηροῦ καταστήματος ἀντιλαμ-

22 βιβαζόμεναι W: βιαζόμεναι 23 ad v. 1094

βάνονται. διὸ καὶ τὰ ὄρνεα φεύγει καὶ ταῖς ἠπείροις προσπελάζει· καὶ ἄχθεται μὲν ὁ γεωργὸς τῇ τῶν ὀρνίθων ἐπιδημίᾳ, τὸν αὐχμὸν ὑποπτεύων· χαίρει δὲ ταῖς αὐταῖς ὄρνισιν ὁ αἰπόλος, ὅταν ἐν κόσμῳ καὶ τεταγμένως φέρωνται, ὡς πλείονος γάλακτος γενησομένου διὰ τὸ ἔνθερμον εἶναι τὸν ἀέρα.

XIV.

ΕΚ ΤΟΥ ΕΙΣ ΤΑ ΝΙΚΑΝΔΡΟΥ ΘΗΡΙΑΚΑ.

---

1. ''Εν δὲ χεροπληθῆ καρπὸν νεοθηλέα δαύκου Λειαίνειν τριπτῆρι.' Δύο γένη τῆς βοτάνης· ἡ μὲν γὰρ Κρητικὴ ἡ δ' Ἀσιατική. ὁ δὲ Πλούταρχος πλείονα μέν φησιν αὐτῆς γένη εἶναι, τὸ δὲ κοινὸν τῆς δυνάμεως ἰδίωμα δριμὺ καὶ πυρῶδες, καὶ ὡς ἡ γεῦσις αἰσθάνεται καὶ ἡ ὄσφρησις, καὶ πειρωμένοις δῆλον εἶναι· καὶ γὰρ ἔμμηνα κινεῖ σφόδρα καὶ διαλύει στρόφους ὑπὸ τῆς θερμότητος, καὶ τῶν περὶ τὸν θώρακα καὶ σπλάγχνα παθῶν καθαρτικὴν καὶ λεπτυντικὴν ἔχει δύναμιν.

2. '... ᾗ ἐν Ἀπόλλων Μαντείας Κοροπαῖος ἐθήκατο.' Οἱ δὲ ὑπομνηματίσαντες αὐτὸν Θέων καὶ Πλούταρχος καὶ Δημήτριος ὁ Χλωρός φασιν· Ὀροπαῖος καὶ Κοροπαῖος Ἀπόλλων, ἀγνοεῖ δὲ ὅτι Ἀμφιαράου ἱερόν, οὐκ Ἀπόλλωνός ἐστι.

3 Schol. ad v. 94 13 ad v. 613 ex Steph. Byz. v. Κορόπη 15 Χλωρός W: φαληρεύς 16 ὅτι idem: τὸ 17 οὐκ idem

XV.

ΕΚ ΤΟΥ ΕΙ Η ΤΩΝ ΜΕΛΛΟΝΤΩΝ ΠΡΟΓΝΩΣΙΣ ΩΦΕΛΙΜΟΣ.

---

1. Ἀλλὰ μὴν ἡ φρόνησις οὐ σωμάτων ἀλλὰ πραγμάτων ὄψις ἐστί, πρὶν ἐν αὐτοῖς γενέσθαι τὸν ἄνθρωπον, ὅπως ἄριστα χρήσεται τοῖς ἀπαντῶσι καὶ προστυγχάνουσι, παρέχουσα διασκοπεῖν τὸ μέλλον. τὸ μὲν οὖν σῶμα πρόσω μόνον ὠμμάτωται τοῖς δ' ὄπισθεν τυφλόν ἐστιν ἀτεχνῶς, ἡ δὲ διάνοια καὶ τὰ παρῳχημένα βλέπειν τῇ μνήμῃ πέφυκεν· ὁ γὰρ ἐγκαθήμενος ἀεὶ καὶ οἰκουρῶν γραμματεὺς ἐν ἡμῖν, ὥς φησιν ὁ Πλάτων, οὗτός ἐστι καὶ προγεγονὼς ἐνταῦθα, τῆς ψυχῆς εἴτε μέρος εἴτε ὄργανον, ᾧ τῶν πραγμάτων ἀντιλαμβάνεται φερομένων καὶ φυλάττει καὶ ἵστησι καὶ κύκλον ποιεῖ, τὸ παρῳχημένον ἐπιστρέφουσα καὶ συνάπτουσα τῷ παρόντι

3 ex Stob. Flor. 3, 49 = Stob. Anthol. (ed. Hense) III 41 11 ἐν ἡμῖν Cobetus: ἐν μίνω cf. Plat. Phileb. p. 39 a ὁ τοιοῦτος παρ' ἡμῖν (paulo ante ἐν ἡμῖν) γραμματεύς 11 καὶ προγεγονὼς Duebnerus: καὶ προγέγονας Trincav. καὶ προγεγονὸς Madvigius, sed ἐνταῦθα quomodo intellegendum esset neque is dixit neque Hensius; τῶν ἐνταῦθα commodo coniecerat W 13 ᾧ Madvigius ib. φερόμενον libri 14 κύκλον ποιεῖ] κυκλοποιεῖ Madvigius, quod verbum satis ignotum praeter necessitatem verbo vere graeco praetulit Hensius

καὶ παραρρεῖν εἰς τὸ ἄπειρον οὐκ ἐῶσα καὶ ἀνύπαρκτον καὶ ἄγνωστον.

2. *Τὸ γὰρ εἱμαρμένον ἄτρεπτον καὶ ἀπαράβατον, ‘χὤπερ μόνον ὀφρύσι νεύσῃ, καρτερὰ τούτῳ κέκλωστ’ ἀνάγκα’ καὶ πεπρωμένη. διὰ τοῦτο τὴν εἱμαρμένην καὶ Ἀδράστειαν καλοῦσιν, ὅτι πέρας ταῖς αἰτίαις ἠναγκασμένον ἐπιτίθησιν, ἀνέκφευκτος οὖσα καὶ ἀναπόδραστος.*

3. *Ὁ δὲ Νέστωρ οὐκ ἀβέλτερος, ὕπνου φθονῶν τοῖς τὰς ναῦς φυλάσσουσι καὶ διακελευόμενος*

‘οὕτω νῦν φίλα τέκνα φυλάσσετε, μηδέ τιν’ ὕπνος αἱρείτω, μὴ χάρμα γενώμεθα δυσμενέεσσιν’;

οὐ γενησόμεθα, φησί τις, οὐδ’ ἂν καθεύδωμεν, εἰ πεπρωμένον ἐστὶ μὴ ἁλῶναι τὸν ναύσταθμον. τίς οὖν οὐκ ἂν εἴποι πρὸς τοὺς ταῦτα ληροῦντας, ὅτι καθείμαρται μὲν ἴσως ἅπαντα ταῦτα, συγκαθείμαρται δ’ ἑκάστῳ τὸ διὰ τούτων καὶ τὸ ἐν τούτοις καὶ τὸ οὕτω καὶ τὸ μὴ ἄλλως συντελεῖσθαι δίχα τούτων; οὐ γὰρ ἔστι φυλακὴ καθευδόντων οὐδὲ νίκη φευγόντων οὐδὲ θερίσαι μὴ σπειράντων τὴν ἀγαθὴν γῆν καὶ καθαράν, οὐδὲ γεννῆσαι μὴ συγγενόμενον γυναικὶ ἡλικίαν ἐχούσῃ καὶ σώματος φύσιν γόνιμον, οὐδ’ ἄγρας τυχεῖν ἐν ἀθήροις χωρίοις.

3 ex Stob. Anthol. I p. 81 (ed. Wachsm.) 4 vid. Bergk. 3 p. 745 ib. *νεύσῃ* Meinekius: *νεύσει* ib. idem: *κέκλωτ’* 9 ex Stob. Anthol. II p. 156 11 Hom. *K* 192 14 *ναύσταθμον* Canterus: *δύσταθμον* 15 *οὖν* Heerenus 17 *τὸ οὕτω* Usenerus: *οὕτω* 21 *συγγενομένων* Heerenus

XVI.

ΕΚ ΤΟΥ ΠΕΡΙ ΜΑΝΤΕΙΑΣ. Β.

Τῶν τεχνῶν, ὡς ἔοικε, τὰς μὲν ἡ χρεία συνέστησεν ἐξ ἀρχῆς καὶ μέχρι νῦν διαφυλάσσει·

‛χρειὼ πάντ᾽ ἐδίδαξε, τί δ᾽ οὐ χρειώ κεν ἀνεύροι᾽

τῶν ἀναγκαίων; ὑφαντικὴν οἰκοδομικὴν ἰατρικὴν καὶ ὅσαι περὶ γεωργίαν ἀναστρέφονται· τὰς δ᾽ ἡδονή τις προσηγάγετο καὶ κατέσχε, τὴν τῶν μυρεψῶν καὶ τῶν ὀψοποιῶν καὶ κομμωτικὴν πᾶσαν καὶ ἀνθοβαφίαν. ἔστι δ᾽ ὧν τὴν πιθανότητα καὶ τὴν ἀκρίβειαν καὶ τὸ καθάριον ἀγαπῶντες ἐκμανθάνουσι καὶ περιέπουσιν, ὡς ἀριθμητικὴν καὶ γεωμετρίαν καὶ κανονικὴν πᾶσαν καὶ ἀστρολογίαν, ἅς φησιν ὁ Πλάτων, καίπερ ἀμελουμένας, βίᾳ ὑπὸ χάριτος αὔξεσθαι.

2 ex Stob. 60, 10. In titulo B litteram del. Duebnerus 8 *καὶ τῶν*] malim *καὶ τὴν τῶν* 13 *Πλάτων*] Rep. p. 528c

---

XVII.

ΕΚ ΤΟΥ ΠΕΡΙ ΦΙΛΙΑΣ.

Ὅθεν οὐ δεῖ παντάπασι ταπεινοῦν τὴν φύσιν, ὡς μηδὲν ἰσχυρὸν μηδὲ μόνιμον μηδ' ὑπὲρ τὴν τύχην ἔχουσαν· ἀλλὰ τοὐναντίον, εἰδότας ὅτι μικρόν ἐστι μέρος τοῦ ἀνθρώπου σαθρόν τε καὶ ἐπίκηρον, ὃ δέχεται τὴν τύχην, τῆς δὲ βελτίονος μερίδος αὐτοὶ κρατοῦμεν, ἐν ᾗ τὰ μέγιστα τῶν ἀγαθῶν ἱδρυθέντα, δόξαι τε χρησταὶ καὶ μαθήματα καὶ λόγοι τελευτῶντες εἰς ἀρετήν, ἀναφαίρετον ἔχουσι τὴν οὐσίαν καὶ ἀδιάφθορον, ἀνεκπλήκτους πρὸς τὸ μέλλον εἶναι καὶ θαρραλέους, καὶ πρὸς τὴν τύχην λέγοντας ἃ Σωκράτης, δοκῶν πρὸς τοὺς κατηγόρους λέγειν, πρὸς τοὺς δικαστὰς ἔλεγεν, ὡς ἀποκτεῖναι μὲν Ἄνυτος καὶ Μέλητος δύνανται, βλάψαι δ' οὐ δύνανται. καὶ γὰρ ἡ τύχη δύναται νόσῳ περιβαλεῖν, ἀφελέσθαι χρήματα, διαβαλεῖν πρὸς δῆμον ἢ τύραννον· κακὸν δὲ καὶ δειλὸν καὶ ταπεινόφρονα καὶ ἀγεννῆ καὶ φθονερὸν οὐ δύναται ποιῆσαι τὸν ἀγαθὸν καὶ ἀνδρώδη καὶ μεγαλόψυχον καὶ γενναῖον καὶ ἐλευθέριον, οὐδὲ παρελέσθαι τὴν διάθεσιν τῶν καλῶν.

2 Fragm. XVII ex Stob. Flor. 2, 161 (Wachsm.) sumptum eliminandum erat. Totidem verbis legitur de Tranquill. an. c. 17 (*Ὅθεν οὐ δεῖ — τὴν διάθεσιν τῶν καλῶν*). Praeter lemma *Ἐκ τοῦ Πλουτάρχου περὶ φιλίας* nihil contineri quod ad amicitiae argumentum pertineret recte iudicavit Patzigius, cui plane assentior etiam *φιλίας* ex *εὐθυμίας* natum esse librariorum neglegentia 19 *καὶ γενναῖον καὶ ἐλευθέριον* add. Wachsmuthius

XVIII.

ΕΚ ΤΗΣ ΠΕΡΙ ΦΙΛΙΑΣ ΕΠΙΣΤΟΛΗΣ.

---

1. *Κακίας αὐτῶν πλάσσονταί τινες ῥημάτων εὐπρεπείᾳ, τὸ μὲν φιλοσώματον ἁπλοῦν τὸ δὲ φιλάργυρον προμηθὲς ἀποκαλούμενοι.*

2. *Πολύβουλον εἶναι καὶ πολύτροπον, ἔνθα δεῖ καὶ τέχνης κατ᾽ ἀλλοφύλων πολεμίων, χρήσιμον καὶ ἀναγκαῖον· ἐπίβουλον δ᾽ ἦθος καὶ κακομηχανώτατον διὰ παντὸς ἔχειν καὶ κατὰ πάντων οὐ τῇ τῶν ἀγχινόων, ὥς τινες οἴονται, τῇ δὲ τοῦ πονηροτάτου μερίδι προστίθημι.*

3. *Μάρτυς δ᾽ ἄριστος ὁ μηδὲν μὲν εὖ παθὼν ἀπὸ δὲ τῆς εἰς ἄλλους εὐνοίας κρίνων.*

4. *Ἡμερότητι τοίνυν καὶ εὐεργεσίᾳ μᾶλλον ἢ φόβῳ πρὸς εὔνοιαν ὑπακτέον.*

5. *Ἠπίους οὖν εἶναι δεῖ μετὰ τοῦ ἔμφρονος εἰς τὸ κοινῇ λυσιτελές.*

2 ex Stob. 2, 35 ib. *πλάσσονται*] *περιπλάσσονται* Iacobsius. 3 *φιλοσώματον*] deesse aliquid velut *φιλοσώματον* ⟨*καὶ φιλήδονον φιλόκαλον, τὸ δ᾽ ἄγροικον*⟩ *ἁπλοῦν* suspicatur probabiliter Hensius 5 ex Stob. 2, 36 7 *κακομήχανον* Duebnerus recte ut vid. 11 *μάρτυς*] *δικαστὴς* idem; vid. Stob. 46, 62 13 ex eodem 48, 42 15 ib. 43

6. Ὁ Ἀγριππῖνος ἡγεμονεύων ἐπειρᾶτο τοὺς καταδικαζομένους ὑπ' αὐτοῦ πείθειν, ὅτι προσήκει αὐτοῖς καταδικασθῆναι. 'οὐ γὰρ ὡς πολέμιος αὐτοῖς' ἔφη 'οὐδ' ὡς λῃστὴς καταφέρω τὴν ψῆφον αὐτῶν ἀλλ' ὡς ἐπιμελητὴς καὶ κηδεμών, ὥσπερ καὶ ἰατρὸς τὸν τεμνόμενον παραμυθεῖται καὶ πείθει παρέχειν ἑαυτόν.'

7. Κότυς ὁ τῶν Θρᾳκῶν βασιλεὺς πικρὸς ἦν τῶν ὑπηκόων κολαστής. τῶν οὖν φίλων τις πρὸς αὐτὸν εἶπε 'μανία τοῦτό ἐστι καὶ οὐ βασιλεία'· ὁ δέ 'ἀλλ' ἡ ἐμή' ἔφη 'αὕτη μανία τοὺς ἀρχομένους σώφρονας ποιεῖ'.

8. Ἔτι δὲ κολάσεως ἀπαραίτητος φόβος αἴτιός ἐστιν ἀπονοίας· ὁ γὰρ ὄλεθρον αὑτοῦ προλαβὼν ὁμόσε χωρεῖ κινδύνοις.

9. Ἀρχίδαμος ὁ τῶν Λακεδαιμονίων βασιλεὺς θεασάμενος τὸν ἴδιον παῖδα ἄγαν προπετῶς μαχόμενον τοῖς Ἀθηναίοις εἶπεν 'ἢ τῇ δυνάμει πρόσθες ἢ τοῦ θράσους ἄφελε'.

10. Γάμος γὰρ ὅπου μὲν φιλίας διττῆς κρᾶσις βελτίων, ἑτέρως δὲ σφαλερός.

11. Πλούτῳ μὲν δὴ χρηστέον ὡς ὕλῃ τινός, οὐκ ἐπὶ παντὸς ὁμοίως.

12. Ἀρετὴν οὖν τοῖς πᾶσι μᾶλλον εὐκτέον ἢ

1 ex Stob. 48, 44 8 ib. 45 13 ib. 53, 11 16 ib. 12 20 ib. 85, 8 ib. ὅπου Piccolos: ἀπὸ ib. διττῆς Duebnerus: διὰ τῆς ib. κρᾶσις Piccolos: κράσεως 22 ex Stob. 94, 30 τινός] add. ἀγαθοῦ vel simile Duebnerus 24 ex Stob. 94, 31

πλοῦτον ἀνοήτοις σφαλερόν· ὑπὸ γὰρ χρημάτων αὔξεται κακία· καὶ ὅσῳ τις ἂν ἄφρων ᾖ, τοσούτῳ πλέον ἐξυβρίζει, τὸ λυσσῶδες αὐτοῦ τῶν ἡδονῶν ἐκπληροῦν ἔχων.

13. Ἐν πενίᾳ μέν τις διετέλεσεν εὐδαιμονῶν ὡς ἥκιστα δ' ἐν πλούτῳ καὶ ἀρχαῖς.

14. Τοσοῦτον ὑπεραίρει πενίας ἀγαθόν, ὥστ' αἰσχροῦ πλούτου νόμιμος ἀνὴρ ἀλλάξαιτ' ἂν πενίαν· εἴ γε μὴ τῶν ποτ' Ἀθηναίων ὁ πλουσιώτατος ἀμείνων ἦν Ἀριστείδου καὶ Σωκράτους ἐν πενίᾳ τῆς ἀρετῆς· ὁ δὲ πλοῦτος ἐκείνου αὐτοῦ καὶ αὐτὸς ἐξίτηλός τε καὶ ἀνώνυμος. φαύλῳ γὰρ ἅμα τῷ θανάτῳ πάντα συνοίχεται, τὸ δὲ καλὸν αἰώνιον.

15. Ἀλλὰ δὴ Σωκράτης, Ἀρχελάου μεταπεμπομένου αὐτὸν ὡς ποιήσοντος πλούσιον, ἐκέλευσεν ἀπαγγεῖλαι αὐτῷ, διότι 'Ἀθήνησι τέσσαρές εἰσι χοίνικες τῶν ἀλφίτων ὀβολοῦ ὤνιοι, καὶ κρῆναι ὕδατος ῥέουσιν· εἰ γάρ τοι μὴ ἱκανὰ τὰ ὄντα ἐμοί, ἀλλ' ἐγὼ τούτοις ἱκανός, καὶ οὕτω κἀκεῖνα ἐμοί'. ἢ οὐχ ὁρᾷς, ὅτι οὐκ εὐφωνότερον οὐδὲ ἥδιον ὁ Πῶλος τὸν τύραννον Οἰδίποδα ὑπεκρίνετο ἢ τὸν ἐπὶ Κολωνῷ ἀλήτην καὶ πτωχόν; εἶτα χείρων Πώλου ὁ γενναῖος ἀνὴρ φανεῖται, ὡς μὴ πᾶν τὸ περι-

3 malim αὐτοῦ 5 ex Stob. 97, 20 6 ὡς] deleam ib. δὲ πλουτῶν: corr. Meinekius 7 τοσοῦτον κτέ.] 'novum fragmentum est' idem 9 ὁ πλουσιώτατος] Calliam Hipponici filium designari monet Valckenarius 10 Σωκράτους idem: Σωκράτους Θεμιστοκλῆς ὁ Νεοκλέους 11 αὐτοῦ] seclusit Duebnerus 14 ex Stob. 97, 28 20 οὐδὲ ἥδιον Gaisfordus: οὐδὲν δι' ὃν

τεθὲν ἐκ τοῦ δαιμονίου πρόσωπον ὑποκρίνασθαι καλῶς; οὐδέ γε τὸν Ὀδυσσέα μιμήσεται, ὅστις καὶ ἐν τοῖς ῥάκεσιν οὐδὲν μεῖον διέπρεπεν ἢ ἐν τῇ οὔλῃ χλαίνῃ τῇ πορφυρᾷ;

16. *Ἡ παιδεία, κἂν μηδὲν ἕτερον ἀγαθὸν ἔχῃ, τό γε συμφοιτᾶν αὐτὴν νυκτὸς καὶ ἡμέρας ἔξω κακίας, οἷς ἂν ᾖ τις αἰδώς· καὶ πολλοὶ σφᾶς αὐτοὺς καὶ ἄλλους* **

17. *Ὡς μέντοι λαμπρόν ἐστιν εὖ ποιεῖν, οὕτως ἀμειπτέον, ἵνα μὴ μόνον ἀχαριστίας ὄφλῃ τις δίκην, ἀλλὰ καὶ βλάβους κοινοῦ τῶν εὖ πεισομένων εἰσαῦθις ἑτέρων ἀνακοπῇ πρὸς εὐεργεσίαν τῶν εὐεργετησάντων.*

4 cf. p. 989 e 5 vid. Stob. II p. 215 (Wachsm.) ib. *ἔχῃ* Meinekius: *ἔχοι* 6 *τό γε κτέ.*] *ἔχει τό γε συμφοιτᾶν αὐτῇ* G. Papavassiliu ib. *ἔξω*] *ἐξωθεῖ* Patzigius, *ἐκσῴζει* Usenerus 7 *καὶ πολλοὶ*] *καὶ πρὸς* Patzigius, ut cum praecedentibus iungatur; sed fort. post *καὶ ἄλλους* exciderit *ἐκσῴζουσι*, sequitur enim *ἐκ τῶν Ἀρίστωνος* 8 lac. add. Duebnerus 10 *ἀμειπτέον*] add. *τοὺς εὖ ποιήσαντας* Duebnerus, lac. signa Wachsmuthius Usenero obtemperans; sed nihil opus, *ἀμείβεσθαι* sicut *ἀμύνεσθαι* par pari referre interdum dicuntur absolute, vid. Thesaurus; ceteroquin *τοὺς εὖ ποιοῦντας* intellegitur facile

XIX.

ΕΚ ΤΟΥ ΠΕΡΙ ΗΣΥΧΙΑΣ.

---

*Σοφὸν ἔοικε χρῆμα τὸ τῆς ἡσυχίας πρός τ' ἄλλα καὶ εἰς ἐπιστήμην καὶ φρονήσεως μελέτην· λέγω δ' οὐ τὴν καπηλικὴν καὶ ἀγοραίαν, ἀλλὰ τὴν μεγάλην, ἥτις ἐξομοιοῖ θεῷ τὸν αὐτὴν ἀναλαβόντα. αἱ μὲν γὰρ ἐν ταῖς πόλεσι καὶ τοῖς τῶν ἀνθρώπων ὄχλοις γιγνόμεναι μελέται γυμνάζουσι τὴν λεγομένην δριμύτητα, πανουργίαν οὖσαν· ὥστε τοὺς ἐν αὐταῖς ἄκρους οἷον ὑπὸ μαγείρων τῶν ἐν ταῖς πόλεσι χρειῶν διαπεποικιλμένους πόσα μὲν οὐχὶ ** πόσα δ' οὐχὶ καὶ διακονήματα δεινὰ ἐργάζεσθαι. ἡ δ' ἐρημία, σοφίας οὖσα γυμνάσιον, ἠθοποιὸς ἀγαθὴ καὶ πλάττει καὶ μεγεθύνει τῶν ἀνδρῶν τὰς ψυχάς. οὐδὲν γὰρ αὐταῖς ἐμπόδιόν ἐστι τῆς αὐξήσεως, οὐδὲ πρὸς πολλὰ καὶ μικρὰ νόμιμα προσπταίουσαι κάμπτονται εὐθύ, καθάπερ αἱ ταῖς πόλεσιν ἐναπειλημμέναι ψυχαί· ἀλλ' ἐν ἀέρι καθαρῷ καὶ τὰ πολλὰ ἔξω διαιτώμεναι τῶν ἀνθρώπων ἀνίασιν ὀρθαὶ καὶ πτεροφυοῦσιν, ἀρδόμεναι τῷ διαυγεστάτῳ τε καὶ λειοτάτῳ*

2 ex Stob. Flor. 58, 14 10 *πόσα μὲν οὐχὶ* ** W. Malim *πόσα [μὲν οὐκ αὐτάρκεις εἶναι παρέχεσθαι πόσα] δ' οὐχὶ — δεινοὺς ἐργάζεσθαι*; cf. Mor. p. 854a. Thuc. 2, 41 13 *μεγεθύνει* Nauckius: *μετευθύνει* 17 corr. W: *διαιτώμενοι* 18 corr. Meinekius: *ἀνιᾶσιν*

ῥεύματι τῆς ἡσυχίας, ἐν ᾧ τά τε μαθήματα τοῦ νοῦ θεοειδέστερα καὶ καθαρώτερον ὁρᾶν. διὰ τοῦτό τοι καὶ τῶν θεῶν τὰ ἱερά, ὅσα ἐκ τοῦ πάλαι ἀρχαίου νενόμισται, τοῖς ἐρημοτάτοις χωρίοις οἱ πρῶτοι, μάλιστα δὲ Μουσῶν τε καὶ Πανὸς καὶ Νυμφῶν καὶ Ἀπόλλωνος καὶ ὅσοι μουσικῆς ἡγεμόνες θεοί, διακρίναντες, ὡς οἶμαι, τὰς παιδείας κατὰ τῶν ἐν ταῖς πόλεσι δεινῶν τε καὶ μιαρῶν τινῶν.

2 θεωδέστερα Trincavelliana: corr. W ib. ὁρᾶν] τὸ ὁρᾶν Duebnerus. Malim τὸ ὁρᾶν aut τὸ ἐνορᾶν 3 πάλαι ἀρχαίου] παναρχαίου Iacobsius, πάλαι Piccolos 4 οἱ πρῶτοι] οἱ πρῶτοι ἐνίδρυσαν W. Fort. οἱ πρῶτοι καθιερώκασι 7 τὰς παιδείας κατὰ] τὰ παιδείας καλὰ Meinekius, τὰς παιδείας καὶ τὰ Duebnerus 8 τινῶν] τεχνῶν Duebnerus, malim πόνων

XX.

ΕΚ ΤΟΥ ΚΑΤΑ ΤΗΣ ΗΔΟΝΗΣ.

1. Ὅτι τὰ σώματα ἀνίησιν ἡ ἡδονή, καθ' ἡμέραν ἐκμαλάττουσα ταῖς τρυφαῖς, ὧν ἡ συνέχεια παραιρεῖται τὸν τόνον, ἀναχαλῶσα τὴν ἰσχὺν αὐτῶν· ἐξ ὧν ῥᾳστώνη μὲν νόσων ῥᾳστώνη δὲ καμάτων, προμελετώμενον δ' ἐν νεότητι γῆρας.

2. Θηρίον ἐστὶ δουλαγωγὸν ἡ ἡδονή, ἀλλ' οὐκ ἄγριον· εἴθε γὰρ ἦν· φανερῶς γὰρ ἂν πολεμοῦσα ταχέως ἑάλω· νῦν δὲ καὶ ταύτῃ μισητότερον, ὅτι κλέπτει τὴν ἔχθραν ὑποδυομένη σχῆμα εὐνοίας. ὥστε διχῶς ἀποτρόπαιον καὶ ὧν βλάπει καὶ ὧν ψεύδεται.

3. Τὰς μὲν οὖν δικαίας ἡδονὰς οὐκέτ' ἂν ἡδονὰς οὔτε καλέσαιμεν οὔτ' ἴσμεν, ἀλλὰ θεραπείας. ὅσαι δὲ παρὰ ταύτας πᾶσαι ὕβρεις περιτταί εἰσι, πεπηρωμέναι, βιαζόμεναι καὶ ταῖς ποικιλίαις κολακεύουσαι, λανθάνουσι βλάπτουσαι· ὃ δὲ εἰς τὰ ἡμέτερα νόμος οὐ καὶ τῶν ἀλόγων ζῴων· μετὰ γὰρ τὸ ἀκέσασθαι τὰς ἐπιθυμίας οὐδενὸς ὄρεξις, ἀλλὰ κόρος τῶν ἐπειγόντων ἀβιάστοις ἡδοναῖς.

2 ex Stob. 6, 49 (Hense) 6 *νεότητι* Gesnerus: *μεσότητι* 7 ex Stob. 6, 50 ib. *ἡ* Hensius 8 *γὰρ ἂν* Herwerdenus: *γὰρ* aut *ἂν* 11 corr. Buecheler: *διχῶ* 12 ex Stob. 6, 51 17 *οὐ* *: *ὁ* ib. *μετὰ γὰρ* *: *μετὰ* libri. *ὧν μετὰ* Iacobsii durum est

4. *Μή τις προδότας ἐπαινεῖ; τοιοῦτόν ἐστιν ἡ ἡδονή, προδίδωσι τὰ τῆς ἀρετῆς. μή τις βασανιστάς; τοιοῦτόν ἐστι τὸ ἥδεσθαι, βασανίζει τὰ τῆς σωφροσύνης. μή τις φιλαργυρίαν; ἀπλήρωτόν ἐστιν ἑκάτερον. τί τηλικούτῳ χαίρομεν θηρίῳ, ὃ κολακεῦον ἡμᾶς ἀναλίσκει;*

5. *Τί δ' οὐ πάντων ὁρώντων ἀρρηστεύεις, ἀλλὰ καὶ σαυτὸν αἰδούμενος φεύγεις, νυκτὶ καὶ σκότῳ τοῖς ἀμαρτύροις πιστεύων τὴν ὕβριν; οὐδεὶς γὰρ τῶν καλῶν ἔργων σκότος προβάλλει, τὸ φῶς αὐτοῖς μαρτυρεῖν αἰσχυνόμενος· ἀλλ' ὅλον ἅμα τὸν κόσμον ἥλιον γενέσθαι πρὸς ἃ κατορθοῖ βούλοιτ' ἄν. ἅπασα δὲ κακία δρᾶσθαι γυμνὴ φυλάττεται, σκέπην προβαλλομένη τὰ πάθη. ἀποκόψαντες οὖν αὐτὰ γυμνὰς βλέπωμεν τὰς ἡδονάς· μεθύουσιν εἰς ἀναισθησίαν, λαγνεύουσιν εἰς αἰῶνα, καθεύδουσιν εἰς ἔργα, οὐκ ἐπιστρέφονται πόλεων, οὐ φροντίζουσι γονέων, οὐκ αἰσχύνονται νόμους.*

7 *ἀρρηστεύεις*] vel *ἀριστεύεις* libri: *ἀκρατεύεις* Gesnerus, sed scr. videtur *ἀρρητεύεις* (ab *ἄρρητος*) = *ἀρρητοποιεῖς* 16 *αἰῶνα*] *ἀτονίαν* Meinekius, *μωρίαν* Iacobsius, *ἄνοιαν* Hauptius, *ἕω* Usenerus. Buecheleri observatio haec est 'variata oratione lepidae fiunt argutiae: libidinantur ad vitam, dormiunt ad opera' 17 *ἔργα*] *ἀργίαν* Duebnerus, *ἑσπέραν* Usenerus ib. *πόλεως* mavult Duebnerus

XXI.

ΕΚ ΤΟΥ ΚΑΤΑ ΠΛΟΥΤΟΥ.

---

1. *Φύσει μὲν γὰρ δυσχαλίνωτον ὄρεξις, προσλαβοῦσα δὲ καὶ πλούτου χορηγίαν ἀχαλίνωτον.*

2. *Ἀλλ' ἡ ἀπληστία καὶ ἄπιστός ἐστιν ἐν αὐτοῖς μανία, τοιούτῳ μὲν ἐνθουσιασμῷ χρῆσθαι περὶ τὴν κτῆσιν, ὡς, εἰ κτήσαιντο, μηκέτι καμουμένους· τοσαύτῃ δ' ἀμελείᾳ περὶ τὰ ληφθέντα, ὡς μὴ γενόμενα. δυσερωτιῶσι δὲ τῶν απόντων, ὑπερορῶντες ὧν ἔχουσιν· οὐδὲν γὰρ οὕτως ἀγαπῶσιν ὡς ἃ ἐλπίζουσιν. οὐκ οἶδα πότερον αὐτοῖς ἄμεινόν ἐστιν, ἔχειν ἢ προσδοκᾶν· ἔχοντες γὰρ οὐ χρῶνται, προσδοκῶντες δ' οὐ κάμνουσι. τί οὖν ἐπαινοῦμεν τοιοῦτον ἀγαθόν, οὗ πέρας ἔστιν οὐδέν, ἀλλὰ τὸ ληφθὲν ἑτέρων ἀρχή;*

3. *Οὐδέποτε λιμὸς ἐγέννησε μοιχείαν, οὐδέποτε ἀπορία χρημάτων ἀσωτίαν. βραχεῖά τίς ἐστι σωφρο-*

2 ex Stob. Flor. 93, 32   4 ib. 33   6 corr. Duebnerus: *καμουμέναις*. De sententia fragm. cf. Thuc. 1, 70, 7   7 corr. Gesnerus: *ἀμέλεια*   9 *ὡς ἃ* Gaisfordus: *ὡς δὲ*   10 *οὐκ*] *διὸ οὐκ* Meinekius. *οὐκ οὖν*?   12 *δ' οὐ* *: *δὲ*   15 ex Stob. 95, 16

σύνη τὸ πενητεύειν, ὀλίγη τις εὐνομία τὸ ἀπορεῖσθαι.

4. Ἀρκεσίλαος τὴν πενίαν λυπρὰν μὲν ἔλεγεν εἶναι ὥσπερ καὶ τὴν Ἰθάκην, ἀγαθὴν δὲ κουροτρόφον, ἐθίζουσαν συνεῖναι λιτότητι καὶ καρτερίᾳ, καὶ καθόλου γυμνάσιον ἀρετῆς ἔμπρακτον.

1 ἀνομία τὸ εὐπορεῖσθαι Nauckius recte ut vid. 4 cf. Homer ι 27

XXII.

ΕΚ ΤΟΥ ΟΤΙ ΚΑΙ ΓΥΝΑΙΚΑ ΠΑΙΔΕΥΤΕΟΝ.

---

1. *Ἀμαθίαν, ὥς φησιν Ἡράκλειτος, καὶ ἄλλως κρύπτειν ἔργον ἐστὶν ἐν οἴνῳ δὲ χαλεπώτερον· καὶ Πλάτων δέ φησιν ἐν οἴνῳ τὰ ἤθη φανερὰ γίγνεσθαι, ὥσπερ καὶ Ὅμηρος*

'οὐδὲ τραπέζῃ
γνώτην ἀλλήλων'.

2. *Σοφοκλῆς ἐμέμφετο Αἰσχύλῳ, ὅτι μεθύων ἔγραφε· 'καὶ γὰρ εἰ τὰ δέοντα ποιεῖ' φησίν 'ἀλλ' οὐκ εἰδώς γε'.*

3. *Πυθαγόρας ἐρωτηθεὶς πῶς ἂν οἰνόφλυξ τοῦ μεθύειν παύσαιτο· 'εἰ συνεχῶς' ἔφη 'θεωροίη τὰ ὑπ' αὐτοῦ πρασσόμενα'.*

4. *Τῷ Διονύσῳ νάρθηκα καὶ λήθην συγκαθιεροῦσιν, ὡς μὴ δέον μνημονεύειν τῶν ἐν οἴνῳ πλημμεληθέντων ἀλλὰ νουθεσίας παιδικῆς δεομένων.*

3 ex Stob. 18, 31 (Hense) ib. *Ἡράκλειτος*] v. Bywater. p. 42 4 *χαλεπώτατον* Nauck. vix recte, nam *ἔργον* = *χαλεπόν* 5 *Πλάτων*] cf. Legg. p. 650 sq. ib. *τὰ ἤθη*] *τὰ πάθη* p. 644 f 6 *Ὅμηρος*] φ 35 9 ex Stob. 18, 32 (Hense) 12 ib. 33 15 ib. 28. Fragmenti fons est p. 612d, unde corrigendum erat *μισέω μνάμονα*

ᾧ συνᾴδει καὶ τὸ ʽμισῶ μνήμονα συμπόταν᾿. ὁ δ᾿ Εὐριπίδης τῶν ἀτόπων τὴν λήθην σοφὴν εἴρηκε.

5. Μὴ παιδὶ μάχαιραν, ἡ παροιμία φησίν· ἐγὼ δὲ φαίην ἄν· Μὴ παιδὶ πλοῦτον μηδὲ ἀνδρὶ ἀπαιδεύτῳ δυναστείαν.

6. Ἀρχύτας ἀναγνοὺς τὸν Ἐρατοσθένους Ἑρμῆν, τοῦτον ἐπήνεγκε τὸν στίχον

ʽχρειὼ πάντ᾿ ἐδίδαξε· τί δ᾿ οὐ χρειώ κεν ἀνεύροι;᾿

καὶ τοῦτο

ʽὀρθοῦ· καὶ γὰρ μᾶλλον ἐπωδίνουσι μέριμναι᾿.

7. Τροφώνιος καὶ Ἀγαμήδης ποιήσαντες ἐν Δελφοῖς ναὸν ᾔτουν παρὰ τοῦ Ἀπόλλωνος τὸν μισθόν· ὁ δ᾿ αὐτοῖς ἔφη δώσειν τῇ ἑβδόμῃ ἡμέρᾳ· καὶ τῇ ἑβδόμῃ ἀπέθανον. ἔτι δὲ Κλέοβις καὶ Βίτων, Κυδίππης τῆς μητρὸς αὐτῶν εὐξαμένης τῇ Ἥρᾳ δοῦναι τοῖς παισὶν ὅπερ ἂν εἴη κάλλιστον, ὅτι ἑαυτοὺς ὑποζεύξαντες τὴν μητέρα εἰς τὸ ἱερὸν ἀνήγαγον, τὸν βίον παραχρῆμα κατέστρεψαν· εἰς οὓς καί τις τοιόνδε ἐπίγραμμα πεποίηκεν·

ʽοἵδε Βίτων Κλέοβίς τ᾿ ἐπὶ σώμασιν οἰκείοισιν
ζεῦγλαν ζευξάμενοι μητέρα ἣν ἀγέτην
Ἥρας εἰς ἱερόν· λαοὶ δέ μιν ἐξήλωσαν
εὐτεκνίας παίδων. ἡ δὲ χαρεῖσα θεᾷ

2 Εὐριπίδης] Or. 213 9 τοῦτον? 10 ὀρθοῦ· καὶ γὰρ] ὀρθοῦ γὰρ καὶ cod. Vind., unde ὄρθρου γὰρ καὶ Meinekius 23 εὐτεκνίας] εὐσεβίας Meinekius, εὐγενίας Nauckius. Vix recte; est enim genus dicendi cf. Eur. Andr. 612 παίδων τ᾿ ἄπαιδας γραῦς ἔθηκας. Bacch. 1306 ἄτεκνος ἀρσένων παίδων. Xen. Cyr. 4, 6, 3 ἄπαις δ᾿ εἰμὶ ἀρρένων παίδων, ut multa

εὔξατο παῖδε τυχεῖν τοῦ ἀρίστου δαίμονος αἴσης,
οὕνεκ' ἐτίμησαν μητέρα τὴν σφετέρην.
αὐτοῦ δ' εὐνηθέντε λίπον βίον ἐν νεότητι,
ὡς τόδ' ἄριστον ἐὸν καὶ μακαριστότατον.

τὸ αὐτὸ καὶ Ἡρόδοτος ἐν τῷ πρώτῳ λόγῳ τῆς Ἱστορίας.

alia omittam. Obversabatur animo Herod. 1, 31: *Ἀργεῖοι μὲν γὰρ — ἐμακάριζον τῶν νεηνιέων τὴν ῥώμην, αἱ δὲ Ἀργεῖαι τὴν μητέρα αὐτῶν οἵων τέκνων ἐκύρησε.*

XXIII.

ΕΚ ΤΟΥ ΠΕΡΙ ΔΙΑΒΟΛΗΣ.

1. *Οἱ νεώνητοι δοῦλοι οὐ πυνθάνονται, εἰ δεισιδαίμων ἢ φθονερὸς ὁ δεσπότης, ἀλλ' εἰ ὀργίλος.*

2. *Τὸν φθόνον ἔνιοι τῷ καπνῷ εἰκάζουσι· πολὺς γὰρ ἐν τοῖς ἀρχομένοις ὤν, ὅταν ἐκλάμψωσιν, ἀφανίζεται. ἥκιστα γοῦν τοῖς πρεσβυτέροις φθονοῦσιν.*

3. *Ἱππίας δύο λέγει εἶναι φθόνους· τὸν μὲν δίκαιον, ὅταν τις τοῖς κακοῖς φθονῇ τιμωμένοις· τὸν δ' ἄδικον, ὅταν τοῖς ἀγαθοῖς. καὶ διπλᾶ τῶν ἄλλων οἱ φθονεροὶ κακοῦνται· οὐ γὰρ μόνον τοῖς ἰδίοις κακοῖς ἄχθονται, ὥσπερ ἐκεῖνοι, ἀλλὰ καὶ τοῖς ἀλλοτρίοις ἀγαθοῖς.*

4. *Ἱππίας φησὶν ὅτι δεινόν ἐστιν ἡ διαβολία, οὕτως ὀνομάζων· ὅτι οὐδὲ τιμωρία τις γέγραπται κατ' αὐτῶν ἐν τοῖς νόμοις, ὥσπερ τῶν κλεπτῶν· καίτοι ἄριστον κτῆμα ὂν τὴν φιλίαν κλέπτουσιν, ὥστε ἡ ὕβρις κακοῦργος οὖσα δικαιοτέρα ἐστὶ τῆς διαβολῆς διὰ τὸ μὴ ἀφανὴς εἶναι.*

2 ex Stob. 20, 59 (Hense) 4 ib. 38, 31 ib. *εἰκάζουσι*] malim *παρεικάζουσι* ex p. 787c 5 *ἐκλάμψωσιν* Wex p. l. pro *ἐκλαμφθῶσιν* 8 ex Stob. l. l. 32 14 ex Stob. 42, 10 17 *καίτοι τὸ ἄριστον κτημάτων τὴν φιλίαν* Piccolos

XXIV.

ΕΚ ΤΟΥ ΚΑΤ' ΙΣΧΥΟΣ.

Τί δέ σοι τοιοῦτον ἀγαθὸν εὐτυχεῖται μᾶλλον, ὡς ἕνεκα τούτου μητρυιὰν μὲν τῶν ἀνθρώπων μητέρα δὲ τῶν ἀλόγων ζῴων γεγενῆσθαι τὴν φύσιν, μεγέθους καὶ ὀξύτητος καὶ ὀξυωπίας χάριν; ἡ δ' ἀνθρώπων ἴδιος ἰσχὺς ὁ ψυχῆς ἐστι λογισμός, ᾧ καὶ ἵππους ἐχαλίνωσε καὶ βόας ἀρότροις ὑπέζευξε καὶ ἐλέφαντας ὑπὸ δρυμὸν εἷλε ποδάγραις καὶ τὰ ἐναέρια κατέσπασε καλάμοις καὶ τὰ βύθια δεδυκότα δικτύοις ἀνήγαγε'· τοῦτ' ἔστιν ἰσχύς. ἡ δ' ἔτι μείζων, ὅταν γῆς περιόδους καὶ οὐρανοῦ μεγέθη καὶ ἀστέρων κύκλους διώκουσα μὴ κάμῃ· ταῦτ' ἦν Ἡρακλέους ἄξια. τίς γὰρ οὐκ ἂν βούλοιτο μᾶλλον Ὀδυσσεὺς εἶναι ἢ Κύκλωψ;

2 ex Stob. 53, 14   8 *ἐν ἀέρι* cod. A

XXV.

ΕΚ ΤΟΥ ΠΕΡΙ ΕΡΩΤΟΣ.

---

1. *Τῶν Μενάνδρου δραμάτων ὁμαλῶς ἁπάντων ἓν συνεκτικόν ἐστιν, ὁ ἔρως, οἷον πνεῦμα κοινὸν διαπεφυκώς. ὄντ' οὖν μάλιστα θιασώτην τοῦ θεοῦ καὶ ὀργιαστὴν τὸν ἄνδρα συμπεριλαμβάνωμεν εἰς τὴν ζήτησιν, ἐπεὶ καὶ λελάληκε περὶ τοῦ πάθους φιλοσοφώτερον. ἄξιον γὰρ εἶναι θαύματος φήσας τὸ περὶ τοὺς ἐρῶντας, ὥσπερ ἔστιν, ἅμα λαλεῖ, εἶτ' ἀπορεῖ καὶ ζητεῖ πρὸς ἑαυτόν,*

'τίνι δεδούλωταί ποτε;
ὄψει; φλύαρος· τῆς γὰρ αὐτῆς πάντες ἂν
ἤρων· κρίσιν γὰρ τὸ βλέπειν ἴσην ἔχει.
ἀλλ' ἡδονή τις τοὺς ἐρῶντας ἐπάγεται

2 ex Stob. 63, 34 4 *διαπεφυκώς*] *διακεχυκώς* Meinekius. Scr. vid. *διαπεφοιτηκώς* cf. p. 1108 d: *ταῦτα ἐγκέκραται τοῖς Ἐπικούρου λόγοις καὶ διαπεφοίτηκεν αὐτοῦ τῆς φιλοσοφίας.* Vit. Nic. c. 18: *μεγάλη γὰρ ἡ δόξα διεφοίτα τοῦ κρατεῖν πάντα τοὺς Ἀθηναίους.* Strab. 15, 713: *ὅ τε διοικῶν αὐτὸν* (sc. *τὸν κόσμον*) *καὶ ποιῶν θεὸς δι' ὅλου διαπεφοίτηκεν αὐτοῦ* ib. *ὄντ' οὖν* *: *ὃν οὖν* 5 corr. Duebnerus: *συμπεριλαμβάνομεν* 7 *φήσας* Iacobsius: *φῆσαι* 8 *ὥσπερ ἔστιν, ἅμα λαλεῖ*] *ὥσπερ ἔστιν ἄλλον ἄλλα φιλεῖν* Iacobsius. quomodo id se habeat dicit vertit Meinekius: eam tamen potestatem non *ὥσπερ* sed *ὅπως* habet. Fort. *ὥσπερ ἔστι 'μανίαι τ' ἀλαλαί τ''* cf. p. 623 b sq. et paulo post p. 132, 16. 134, 17 10 cf. Kock. 3 p. 163

συνουσίας; πῶς οὖν ἕτερος ταύτην ἔχων
οὐδὲν πέπονθεν, ἀλλ' ἀπῆλθε καταγελῶν,
ἕτερος δ' ἀπόλωλε; καιρός ἐστιν ἡ νόσος
ψυχῆς· ὁ πληγεὶς δ' εἴσω δὴ τιτρώσκεται.'

ταῦτα τίν' ἐστὶ σκεψώμεθα· καὶ γὰρ ἔχει τι κρουστικὸν καὶ κινητικὸν αἴτιον, εἰ μήτε τὴν ὄψιν μήτε τὴν συνουσίαν αἰτίαν εἶναι πιθανόν ἐστι· ἀρχαὶ γὰρ αὗταί τινες ἴσως, ἡ δ' ἰσχὺς καὶ ῥίζωσις τοῦ πάθους ἐν ἑτέροις. ἡ δ' ἀπόδειξις ἐλαφρὰ καὶ οὐδ' ἀληθής· οὐ γὰρ ἔχει κρίσιν ἴσην τὸ βλέπειν, ὥσπερ οὐδὲ τὸ γεύεσθαι. καὶ γὰρ ὄψις ὄψεως καὶ ἀκοῆς ἀκοὴ φύσει τε μᾶλλον διήρθρωται καὶ τέχνῃ συγγεγύμνασται πρὸς τὴν τοῦ καλοῦ διάγνωσιν, ἐν μὲν ἁρμονίαις καὶ μέλεσιν αἱ τῶν μουσικῶν ἐν δὲ μορφαῖς καὶ ἰδέαις αἱ τῶν ζωγράφων· ὥσπερ εἰπεῖν ποτε Νικόμαχον λέγουσι πρὸς ἄνθρωπον ἰδιώτην φήσαντα μὴ καλὴν αὐτῷ φανῆναι τὴν Ζεύξιδος Ἑλένην· 'λάβε γάρ' ἔφη 'τοὺς ἐμοὺς ὀφθαλμούς, καὶ θεός σοι φανήσεται'. πολὺ δὲ καὶ μυρεψοὶ περὶ τὰ ὀσφραντὰ καὶ νὴ Δί' ὀψοποιοὶ περὶ τὰ γευστὰ διατριβῇ καὶ συνηθείᾳ διαφέρουσαν ἡμῶν κρίσιν ἔχουσι. πάλιν δὲ τὸ συνουσίᾳ τὸν ἔρωτα μὴ κρατεῖσθαι, διὰ τὸ τῇ αὐτῇ συγγενόμενον ἄλλον μὲν δουλοῦσθαι ἄλλον δ' ἀπαλλαγῆναι καὶ καταφρονῆ-

3 δ' Dobraeus 4 εἴσω δὴ] cf. quae ad p. 763b adnotavi 6 εἰ μήτε τὴν ὄψιν inseruit Halmius 10 ἴσην Gesnerus 15 ζωγράφων Gesnerus: ζώων φρένες 22 ἐρῶντα Meinekius 23 μὲν δουλοῦσθαι ἄλλον δ' add. W ex Gesneri versione

σαι, τοιοῦτόν ἐστιν, οἷον εἰ λέγοι τις μηδὲ χυμῶν ἡδονῇ δεδουλῶσθαι Φιλόξενον τὸν ὀψοφάγον, ὅτι τῶν αὐτῶν Ἀντισθένης γευσάμενος οὐδὲν ἔπαθε τοιοῦτον· μηδ' ὑπὸ οἴνου μεθύειν Ἀλκιβιάδην, ὅτι Σωκράτης πίνων τὸν ἴσον οἶνον ἔνηφεν. ἀλλὰ ταῦτα μὲν ἐάσωμεν, τὰ δ' ἐφεξῆς, ἐν οἷς ἤδη τὴν αὑτοῦ δόξαν ἀποφαίνεται, σκοπῶμεν. 'καιρός ἐστιν ἡ νόσος ψυχῆς.' εὖ καὶ ὀρθῶς. δεῖ γὰρ ἅμα τοῦ πάσχοντος εἰς ταὐτὸ καὶ τοῦ ποιοῦντος ἀπάντησιν γενέσθαι, πρὸς ἄλληλά πως ἐχόντων· ὡς ἄκυρον εἰς τὴν τοῦ τέλους ἀπεργασίαν ἡ δραστικὴ δύναμις, ἂν μὴ παθητικὴ διάθεσις ᾖ. τοῦτο δ' εὐστοχίας ἐστὶ καιροῦ τῷ παθεῖν ἑτοίμῳ συνάπτοντος ἐν ἀκμῇ τὸ ποιεῖν πεφυκός.

2. Οἱ μὲν γὰρ νόσον τὸν ἔρωτα οἱ δ' ἐπιθυμίαν οἱ δὲ μανίαν οἱ δὲ θεῖόν τι κίνημα τῆς ψυχῆς καὶ δαιμόνιον, οἱ δ' ἄντικρυς θεὸν ἀναγορεύουσιν. ὅθεν ὀρθῶς ἐνίοις ἔδοξε τὸ μὲν ἀρχόμενον ἐπιθυμίαν εἶναι τὸ δ' ὑπερβάλλον μανίαν τὸ δ' ἀντίστροφον φιλίαν τὸ δὲ ταπεινότερον ἀρρωστίαν τὸ δ' εὐημεροῦν ἐνθουσιασμόν. διὸ καὶ πυρφόρον αὐτὸν οἵ τε ποιηταὶ λέγουσιν οἵ τε πλάσται καὶ γραφεῖς δημιουργοῦσιν, ὅτι καὶ τοῦ πυρὸς τὸ μὲν λαμπρὸν ἥδιστόν ἐστιν τὸ δὲ καυστικὸν ἀλγεινότατον.

3. Ὥσπερ γὰρ τοὺς φίλους ὑγιαίνοντας μέν, ἂν

12 εὐστοχία Cobetus 13 ἑτοίμῳ W: ἔμοιγέ πως (ἐμοί πως vulgo). ἁμωσγέπως Gaisfordus 15 ex Stob. 64, 30 ib. νόσον Cobetus: νοῦν 26 ex Stob. 64, 31

πλημμελῶσιν, ἐξελέγχειν καὶ νουθετεῖν κράτιστόν ἐστιν, ἐν δὲ ταῖς παρακοπαῖς καὶ τοῖς φρενετισμοῖς εἰώθαμεν μὴ διαμάχεσθαι μηδ' ἀντιτείνειν ἀλλὰ καὶ συμπεριφέρεσθαι καὶ συνεπινεύειν· οὕτω τοὺς δι' ὀργὴν ἢ πλεονεξίαν ἁμαρτάνοντας ἀνακόπτειν τῇ παρρησίᾳ δεῖ καὶ κωλύειν, τοῖς δ' ἐρῶσιν ὥσπερ νοσοῦσι συγγνώμην ἔχειν. διὸ κράτιστον μὲν ἐξ ἀρχῆς τοιούτου πάθους σπέρμα μὴ παραδέχεσθαι μηδ' ἀρχήν· ἂν δ' ἐγγένηται, ἴθι ἐπὶ ἀποτροπαίων βωμοὺς θεῶν κατὰ τὸν Πλάτωνα, ἴθι ἐπὶ τὰς τῶν σοφῶν ἀνδρῶν συνουσίας, ἐξέλασον σαυτοῦ τὸ θηρίον πρὶν ὄνυχας φῦσαι καὶ ὀδόντας· εἰ δὲ μή, μαχέσῃ τελείῳ κακῷ, τὸ παιδίον τοῦτο καὶ νήπιον ἐναγκαλιζόμενος. τίνες δ' εἰσὶν οἱ τοῦ ἔρωτος ὄνυχες καὶ ὀδόντες; ὑποψία, ζηλοτυπία. ἀλλ' ἔχει τι πιθανὸν καὶ ἀνθηρόν. ἀμέλει καὶ ἡ Σφὶγξ εἶχεν ἐπαγωγὸν τὸ ποίκιλμα τοῦ πτεροῦ, καὶ

'εἰ μὲν πρὸς αὐγὰς ἡλίου, χρυσωπὸν ἦν
νώτισμα θηρός· εἰ δὲ πρὸς νέφη βάλοι,
κυανωπὸν ὥς τις Ἶρις ἀντηύγει σέλας'.

οὕτω δὴ καὶ ὁ ἔρως ἔχει τι χάριεν καὶ οὐκ ἄμουσον ἀλλ' αἱμύλον καὶ ἐπιτερπές· ἁρπάζει δὲ καὶ βίους καὶ οἴκους καὶ γάμους καὶ ἡγεμονίας, οὐκ αἰνίγματα προβάλλων ἀλλ' αὐτὸς αἴνιγμα δυσεύρετον ὢν καὶ δύσλυτον· εἰ βούλοιτό τις προτείνειν τί μισεῖ καὶ φιλεῖ, τί φεύγει καὶ διώκει, τί ἀπειλεῖ

6 κωλύειν] κολούειν? 10 Πλάτωνα] de Legg. p. 854b 18 vid. Nauck. p. 945 23 ἡγεμονίας W: ἡγεμόνας

καὶ ἱκετεύει, τί ὀργίζεται καὶ ἐλεεῖ, τί βούλεται παύσασθαι καὶ οὐ βούλεται, τί χαίρει τῷ αὐτῷ μάλιστα καὶ ἀνιᾶται, τοῦτο λῦσαι καὶ θεραπεῦσαι. τῆς μὲν γὰρ Σφιγγὸς τὸ αἴνιγμα τὰ πλεῖστα καὶ πεπλασμένα ἔχει· οὔτε γὰρ τρίπους ὁ γέρων ἀληθῶς, εἴ τι προσείληφε τοῖς ποσὶ βοηθεῖν· οὔτε τετράπους ὁ νήπιος, ἐπεὶ ταῖς χερσὶν ὑπερείδει τὴν τῶν βάσεων ὑγρότητα καὶ ἀσθένειαν. τὰ δὲ τῶν ἐρώντων πάθη ἀληθῆ· στέργουσιν, ἐχθραίνουσι· τὸν αὐτὸν ποθοῦσιν ἀπόντα, τρέμουσι παρόντος· κολακεύουσι, λοιδοροῦσι, προαποθνήσκουσι, φονεύουσιν, εὔχονται μὴ φιλεῖν, καὶ παύσασθαι φιλοῦντες οὐ θέλουσι· σωφρονίζουσι καὶ πειρῶσι, παιδεύουσι καὶ διαφθείρουσιν, ἄρχειν θέλουσι καὶ δουλεύειν ὑπομένουσι. τοῦτ' αἴτιον γέγονε μάλιστα τοῦ μανίαν ὑποληφθῆναι τὸ πάθος·

'ἥρων· τὸ μαίνεσθαι δ' ἄρ' ἦν ἔρως βροτοῖς'

ἐρωτικὸς ἀνὴρ Εὐριπίδης φησίν.

4. Ὁ ἔρως οὔτε τὴν γένεσιν ἐξαίφνης λαμβάνει καὶ ἀθρόαν ὡς ὁ θυμός, οὔτε παρέρχεται ταχέως καίπερ εἶναι πτηνὸς λεγόμενος· ἀλλ' ἐξάπτεται μαλακῶς καὶ σχεδὸν οἷον ἐντήκων ἑαυτόν· ἁψάμενός

1 *τί* alt. inseruit Wakefieldius 2 *τί*] corr. vid. *τίνι* 3 *θεραπεῦσαι*] excidisse vid. *χαλεπώτατον ἔσται* vel simile quid 4 *πλεῖστα*] exciderit adiectivum in *-τα* desinens 9 *πάθη πάντ' ἀληθῆ* Piccolos 11 *ὑπεραποθνήσκων* Herwerdenus, sed cf. p. 344e: *ἀγαθῶν βασιλέων ἑταῖροι προαποθνήσκουσιν ἑκουσίως καὶ προκινδυνεύουσι.* Causa igitur ex hiatu est repetenda 13 corr. W: *πηρῶσι* 19 ex Stob. 64, 32

τε τῆς ψυχῆς παραμένει πολὺν χρόνον, οὐδ' ἐν γηρῶσιν ἐνίοις ἀναπαυόμενος ἀλλ' ἐν πολιαῖς ἀκμάζων ἔτι πρόσφατος καὶ νεαρός· ἂν δὲ καὶ λήξῃ καὶ διαλυθῇ, χρόνῳ μαρανθεὶς ἢ λόγῳ τινὶ κατασβεσθείς, οὔπω παντάπασιν ἐξαπήλλακται τῆς ψυχῆς ἀλλ' ἐναπολείπει πυρίκαυτον ὕλην καὶ σημεῖα θερμά, καθάπερ οἱ κεραυνοὶ τυφόμενοι. λύπης μὲν γὰρ οὐδὲν ἀπαλλαγείσης ἴχνος ἐν τῇ ψυχῇ παραμένει συνοικοῦν οὐδ' ὀργῆς τραχείας πεσούσης, συστέλλεται δὲ καὶ φλεγμονὴ ἐπιθυμίας παρεχούσης τραχὺ κίνημα· τὰ δ' ἐρωτικὰ δήγματα, κἂν ἀποστῇ τὸ θηρίον, οὐκ ἐξανίησι τὸν ἰόν, ἀλλ' ἐνοιδεῖ τὰ ἐντὸς σπαράγματα, καὶ ἀγνοεῖται τί ἦν, πῶς συνέστη, πόθεν εἰς τὴν ψυχὴν ἐνέπεσεν.

5. Καὶ τοὺς καλοὺς ὁρᾶν μὲν ἐπιτερπέστατον, ἅψασθαι δὲ καὶ λαβεῖν οὐκ ἀκίνδυνον· μᾶλλον δέ, ὥς φησιν ὁ Ξενοφῶν, τὸ μὲν πῦρ τοὺς ἁψαμένους κάει μόνον, οἱ δὲ καλοὶ καὶ τοὺς μακρὰν ἑστῶτας ὑφάπτουσιν· ἡ γὰρ ὄψις λαβὴ τοῦ πάθους ἐστί.

1 cf. Soph. Antig. 784 9 συστέλλεται Piccolos: στέλλεται 10 φλεγμονή τις idem 15 ex Stob. 66, 7. Fragmentum optime coniungi cum fr. 64, 30 (Stob.) = p. 132, 15 contendit Patzigius 17 Ξενοφῶν] Cyrop. 5, 1, 16. cf. p. 681a sq.

XXVI.

ΥΠΕΡ ΚΑΛΛΟΥΣ.

---

1. *Τί γάρ; οὐ σύνθετος φύσις ἀνθρώπων ἐκ σώματος καὶ ψυχῆς; ἢ θάτερον ἀρκοῦν ἡμῖν; καὶ πῶς οἷόν τε; τὸ μὲν γὰρ οὐκ ἂν εἴη μὴ χρώμενον ψυχῇ, ψυχή δ' οὐκ ἂν εἴη μὴ ἔχουσα τὸ συνερεῖδον. τί οὖν; ὥσπερ ἐξ ἴσου κοσμεῖται ἑκάτερα τοῖς συγγενέσιν, ἡ μὲν δικαιοσύνῃ καὶ σωφροσύνῃ καὶ φρονήσει, τὸ δ' ἰσχύι καὶ κάλλει καὶ ὑγιείᾳ. καὶ πῶς οὖν οὐ θαυμαστὸν λέγειν τὰ τῆς ψυχῆς καλά, τὰ τοῦ σώματος ὑπερορῶντα;*

2. *Ἡ γοῦν τοῦ σώματος εὐμορφία ψυχῆς ἐστιν ἔργον σώματι χαριζομένης δόξαν εὐμορφίας. πεσέτω γοῦν θανάτῳ τὸ σῶμα, καὶ τῆς ψυχῆς μετῳκισμένης, οὐ στάσις, οὐ χρῶμα, οὐκ ὀφθαλμός, οὐ φωνή, οὐδὲν ἔτι καταλείπεται τῶν ἐρασμίων, προδεδομένον ὑπὸ τῶν ἀρχαίων οἰκητόρων· ὥστε καὶ τὴν ψυχὴν συνυβρίζεις λανθάνων, ἧς ἐστιν ἀνθρώπου κάλλος.*

2 ex Stob. 65, 12   6 *ὥσπερ ἐξ ἴσου κτέ.*] locus male et intellectus et interpunctus. Verbis *ὥσπερ ἐξ ἴσου — ὑγιείᾳ* respondetur; verbis autem *καὶ πῶς οὐ θαυμαστὸν — ὑπερορῶντα* conclusio continetur. *ὥσπερ ἐξ ἴσου* idem est atque *οἷον ἐξ ἴσου*: 'tamquam aequaliter ornatur utrumque'.   8 *καὶ πῶς*] *πῶς* W   9 *οὖν* ego inserui   11 ex Stob. 65, 13

3. *Ἀλλὰ μήν, ὥσπερ ἔφην, οὐδὲν τῶν ἄλλων καλλῶν κινδύνων γένεσίς ἐστιν, ἀλλὰ μόνου τοῦ σώματος. τὰ μὲν γὰρ τῆς ψυχῆς κάλλη καὶ σωτηρίας ἐλπίδες εἰσί, φρόνησις, εὐσέβεια, δικαιοπραγία· καὶ τὸ παιδείας εὐπρόσωπον κάλλος οἴκου καὶ πόλεως καὶ ἐθνῶν ἀθόρυβος εἰρήνη διατελεῖ γιγνομένη· ἡ δὲ γυναικῶν εὐμορφία ἀφορμὴ τοῖς πάθεσι καὶ ταῖς ἐπιθυμίαις.*

1 ib. 66, 4 ib. *οὐδενὸς* Gaisfordus haud recte 2 *καλλῶν* * ib. *ἀλλὰ*] malim *ἀλλ' ἢ* 6 *γιγνομένη* *: *γενομένη*

XXVII.

ΕΚ ΤΟΥ ΠΕΡΙ ΟΡΓΗΣ.

Ὅσα δ' ὀργῇ χρώμενοι πράττουσιν ἄνθρωποι, ταῦτ' ἀνάγκη τυφλὰ εἶναι καὶ ἀνόητα καὶ τοῦ παντὸς ἁμαρτάνειν. οὐ γὰρ οἷόν τ' ὀργῇ χρώμενον λογισμῷ χρῆσθαι, τὸ δ' ἄνευ λογισμοῦ ποιούμενον πᾶν ἄτεχνόν τε καὶ διεστραμμένον. λόγον οὖν ἡγεμόνα χρὴ ποιησάμενον οὕτως ἐπιχειρεῖν τοῖς κατὰ τὸν βίον ἔργοις, τὰς ἑκάστοτε προσπιπτούσας ὀργὰς διωθούμενον καὶ διανεύοντα, ὥσπερ οἱ κυβερνῆται τὰ κύματα προσφερόμενα. ἔστι γοῦν οὐκ ἔλαττον τὸ δέος, ὀργῆς ἀντιπρῴρου κυλινδουμένης, αὐτόν τε καὶ σύμπαντα οἶκον ἄρδην ἀπολέσαι καὶ ἀνατρέψαι μὴ διαπλεύσαντα δεξιῶς. οὐ μὴν ἀλλ' ἐπιμελείας εἰς αὐτὰ δεῖ καὶ μελέτης· ᾗ καὶ μάλιστα ἁλίσκονται κατ' ἄκρας οἱ παραδεξάμενοι τὸν θυμὸν ὡς σύμμαχον ἀρετῆς, ἀπολαύοντες ὅσον αὐτοῦ χρήσι-

2 ex Stob. 20, 70 (Hense) 9 corr. W: *διορθούμενον* ib. *διανεύοντα*] *ἐκνεύοντα* Herwerdenus. *διανέοντα* Buecheleri inventum ingeniosum ut aptum et accommodatum ad *κύματα*, ita voci *ὀργάς* incommodum et alienum. Sententia requirit verbum declinandi et evitandi, cf. p. 94e. 372 f. p. 549e (*διώσασθαι μηδ' ἀποφυγεῖν*). Vit. Ant. c. 70. Polyb. 1, 23, 8: *ἐξέκλινον καὶ διένευον τὰς τῶν ὀργάνων ἐπιβολάς* 12 corr. W: *ἀναστρέψαι* 11 *αὐτόν*: corr. Meinekius 16 *ἀπολαύοντες*] *ἀπολαύειν κελεύοντες* Buecheler; sed neque

μόν ἐστιν ἔν τε πολέμῳ καὶ νὴ Δί' ἐν πολιτείαις, τὸ πολὺ δ' αὐτοῦ καὶ τὸ ἐπιπολάζον ἐκκρίνειν καὶ ἐκβάλλειν τῆς ψυχῆς, ὅπερ ὀργή τε καὶ πικρία καὶ ὀξυθυμία λέγεται, νοσήματα ἥκιστα ταῖς ἀνδρείαις ψυχαῖς πρέποντα. τίς οὖν ἐν ἡλικίᾳ τούτων γίγνεται μελέτη; ἐμοὶ μὲν δοκεῖ μάλιστ' ἂν ὧδε γίγνεσθαι, πόρρωθεν ἡμῶν προμελετώντων καὶ προαπολυόντων πλεῖστον οἷον ἐν οἰκέταις τε καὶ πρὸς γυναῖκας τὰς γαμετάς. ὁ γὰρ οἴκοι πρᾷος, καὶ δημοσίᾳ πρᾷος πολὺ μᾶλλον ἔσται, τοιοῦτος ἔνδοθεν καὶ ὑπὸ τῶν οἴκοι πεποιημένος αὐτῷ τῆς αὐτοῦ ψυχῆς εἶναι ἀγαθός.

hoc neque *ἐκκρίνειν κελεύοντες* Wyttenbachii satisfacit, potius requiritur *τὸ πολὺ δ' αὐτοῦ καὶ τὸ ἐπιπολάζ[ΟΝ θεραπεύοντες δέ]ΟΝ ἐκκρίνειν καὶ ἐκβάλλειν* cett. 2 corr. W: *ἐπιπόλαιον* 3 *καὶ ὀξυθυμία* idem: *δι' ὀξυθυμίαν* 4 Hensius: *νομίσματα*. In eandem coniecturam ego quoque incidi 7 *προαπολυόντων* * (= *προαποβαλλόντων*): *προαπλούντων* 11 *αὐτῷ*] *αὐτὸς* Duebnerus 12 *εἶναι ἀγαθός*] corrupta. *παιδαγωγός* W, *ἡνίοχος* Buechelerus. Fort. *τοιοῦτον — πεποιημένος αὐτῷ τῆς αὐτοῦ ψυχῆς εἶναι τὸ ἦθος. Τῆς ψυχῆς τὸ ἦθος* dixerunt et Plato et alii

XXVIII.
ΠΕΡΙ ΤΟΥ ΓΕΓΟΝΕΝΑΙ ΚΑΤΑ ΠΛΑΤΩΝΑ ΤΟΝ ΚΟΣΜΟΝ.

Ὅ γε μὴν οὗτοί τε κοινῇ καὶ οἱ πλεῖστοι τῶν χρωμένων Πλάτωνι φοβούμενοι καὶ παραμυθούμενοι πάντα μηχανῶνται καὶ παραβιάζονται καὶ στρέφουσιν ὥς τι δεινὸν καὶ ἄρρητον οἰόμενοι δεῖν περικαλύπτειν καὶ ἀρνεῖσθαι, τήν τε τοῦ κόσμου τήν τε τῆς ψυχῆς αὐτοῦ γένεσιν καὶ σύστασιν, οὐκ ἐξ ἀιδίου συνεστώτων οὐδὲ τὸν ἄπειρον χρόνον οὕτως ἐχόντων, ἰδίᾳ λόγου τέτευχε.

XXIX.
ΠΕΡΙ ΔΙΚΑΙΟΣΥΝΗΣ ΠΡΟΣ ΧΡΥΣΙΠΠΟΝ.

1. *Ὅτι μὲν οὖν ἄτοπός ἐστι τοὺς φιλοσόφους τὸν ἐναντίον λόγον οἰόμενος δεῖν τιθέναι, μὴ μετὰ συνηγορίας ἀλλ' ὁμοίως τοῖς δικολόγοις κακοῦντας,*

3 ex p. 1013e Mor. = Vol. VI p. 158, 7 ed. meae
13 ex p. 1036a Mor. = p. 222, 9

ὥσπερ οὐ πρὸς τὴν ἀλήθειαν ἀλλὰ περὶ νίκης ἀγωνιζομένους, εἴρηται πρὸς αὐτὸν δι' ἑτέρων.

2. *Ἃ μὲν οὖν ῥητέον ὑπὲρ Πλάτωνος, ἐν ἄλλοις γέγραπται πρὸς αὐτόν.*

XXX.
ΠΕΡΙ ΗΜΕΡΩΝ.

1. *Περὶ δ' ἡμερῶν ἀποφράδων, εἴτε χρὴ τίθεσθαί τινας εἴτε μή, ὀρθῶς Ἡράκλειτος ἐπέπληξεν Ἡσιόδῳ τὰς μὲν ἀγαθὰς ποιουμένῳ τὰς δὲ φαύλας, ὡς ἀγνοοῦντι φύσιν ἡμέρας ἁπάσης μίαν οὖσαν, ἑτέρωθι διηπόρηται.*

2. *Ἀθηναῖοι τὴν περὶ Νάξον ἐνίκων ναυμαχίαν, ἧς Χαβρίας ἐστρατήγει, τοῦ Βοηδρομιῶνος περὶ τὴν πανσέληνον, ἐν δὲ Σαλαμῖνι περὶ τὰς εἰκάδας, ὡς ἡμῖν ἐν τῷ Περὶ ἡμερῶν ἀποδέδεικται.*

3 ex p. 1040d = p. 234, 9 6 ex Vit. Camilli c. 19
7 Ἡράκλειτος] vid. Bywater. p. 46 11 ibid.

XXXI.

ΠΕΡΙ ΚΥΝΗΓΕΤΙΚΗΣ.

ΑΥΤΟΒΟΥΛΟΣ. Δέδια δή, ὦ φίλοι, μὴ καὶ τὸ τῆς κυνηγεσίας ἐγκώμιον ἐχθὲς ἀνεγνωσμένον ἐπάρῃ τοῦ μετρίου πέρα τοὺς φιλοθήρους ἡμῖν νεανίσκους, ὥστε τἆλλα πάρεργα καὶ τὸ μηδὲν ἡγεῖσθαι, πρὸς τοῦτο παντάπασι ῥυέντας· ὅπου δοκῶ μοι καὶ αὐτὸς ἐκ νέας αὖθις ἀρχῆς παρ᾽ ἡλικίαν ἐμπαθέστερος γεγονέναι καὶ ποθεῖν, ὥσπερ ἡ Εὐριπίδου Φαίδρα, 'κυσὶ θωΰξαι βαλιαῖς ἐλάφοις ἐγχριμπτόμενος'· οὕτως ἔθιγέ μου πυκνὰ καὶ πιθανὰ τῶν ἐπιχειρημάτων ἐπάγων ὁ λόγος.

ΣΩΚΛΑΡΟΣ. Ἀληθῆ λέγεις, ὦ Αὐτόβουλε· καὶ γὰρ ἐκεῖνος ἔδοξέ μοι τὸ ῥητορικὸν ἐγεῖραι διὰ χρόνου, χαριζόμενος καὶ συνεαρίζων τοῖς μειρακίοις· μάλιστα δ᾽ ἥσθην τοὺς μονομάχους αὐτοῦ παραθέντος, ὡς οὐχ ἥκιστα τὴν θηρευτικὴν ἄξιον ἐπαινεῖν, ὅτι τοῦ πεφυκότος ἐν ἡμῖν ἢ μεμαθηκότος χαίρειν μάχαις ἀνδρῶν πρὸς ἀλλήλους διὰ σιδήρου τὸ πολὺ δεῦρο τρέψασα καθαρὰν παρέχει θέαν, ἅμα τέχνης καὶ τόλμης νοῦν ἐχούσης πρὸς ἀνόητον

2 ex p. 359 Mor. = Vol. VI p. 11, 7 sq.

ἰσχὺν καὶ βίαν ἀντιταττομένης, καὶ ἐπαινούσης τὸ Εὐριπίδειον

'ἦ βραχύ τοι σθένος ἀνέρος· ἀλλὰ
ποικιλίᾳ πραπίδων
δεινὰ μὲν φῦλα πόντου
χθονίων τ' ἀερίων τε
δάμναται βουλεύματα'.

XXXII.

ΜΥΘΩΝ Η ΜΥΘΙΚΩΝ ΔΙΗΓΗΜΑΤΩΝ.

Πλουτάρχου δὲ εἰ τὰ μυθικὰ διηγήματα τῶν σῶν εἴσω χειρῶν ἀφῖκτο, οὔποτ' ἂν ἐλελήθει σε τίνι διαφέρει πλάσαι τε ἐξ ἀρχῆς μῦθον καὶ τὸν κείμενον ἐφαρμόσαι πράγμασιν οἰκείοις.

9 ex Iulian. Or. 7 p. 227a (= p. 294, 12 ed. Hertlein)

XXXIII.
ΕΚ ΤΩΝ ΒΙΩΝ.

Α'. ΗΡΑΚΛΕΟΥΣ ΒΙΟΣ.

1. *Ὅτι δ' Ἡρακλῆς πρῶτος ἀπέδωκε νεκροὺς τοῖς πολεμίοις, ἐν τοῖς περὶ Ἡρακλέους γέγραπται.*

2. *Plutarchus* in libro quem de Herculis quali inter homines fuerit animi corporisque ingenio et virtutibus conscripsit, scite subtiliterque ratiocinatum Pythagoram philosophum dicit in reperienda modulandaque status longitudinisque eius praestantia. Nam cum fere constaret curriculum stadii, quod est Pisae ad Iovis Olympii, Herculem pedibus suis metatum, idque fecisse longum pedes sescentos, cetera quoque stadia in terra Graecia ab aliis postea instituta pedum quidem esse numero sescentum, sed tamen aliquantulum breviora, facile intellexit modum spatiumque plantae Herculis, ratione proportionis habita, tanto fuisse quam aliorum procerius, quanto Olympicum stadium longius esset quam cetera. Comprehensa autem mensura Herculani pedis, quanta longinquitas corporis ei mensurae conveniret, secundum naturalem membrorum om-

3 ex Vit. Thes. c. 29 5 ex Gellio I, 1 6 'quantum — fuit' Hertz. 11 'apud Iovem Olympium' idem 15 'tamen esse' idem

nium inter se competentiam, modificatus est: atque ita id collegit quod erat consequens, tanto fuisse Herculem corpore excelsiorem quam alios, quanto Olympicum stadium ceteris pari numero factis anteiret.

3. Chaeroneus *Plutarchus* nostrarum esse partium comprobatur, qui 'in Oetaeis verticibus Herculem post morborum comitialium ruinas dissolutum in cinerem' prodidit.

Β'. ΔΑΪΦΑΝΤΟΥ ΒΙΟΣ.

Τὸ δὲ τῶν Φωκίδων ἐνδόξου μὲν οὐ τετύχηκε συγγραφέως, οὐδενὸς δὲ τῶν γυναικείων ἔλαττον εἰς ἀρετήν ἐστι, μαρτυρούμενον ἱεροῖς τε μεγάλοις, ἃ δρῶσι Φωκεῖς ἔτι νῦν περὶ Ὑάμπολιν, καὶ δόγμασι παλαιοῖς, ὧν τὸ μὲν καθ' ἕκαστον τῆς πράξεως ἐν τῷ Δαϊφάντου βίῳ γέγραπται.

Γ'. ΑΡΙΣΤΟΜΕΝΟΥΣ ΒΙΟΣ.

Ἐκ ταύτης τῆς Ἀνδανίας Ἀριστομένης ἐγένετο ἐπιφανέστατος στρατηγός. τοῦτον οἱ Λακεδαιμόνιοι πολλάκις αὐτοὺς νικήσαντα θαυμάσαντες, ὡς μόλις ἐκράτησαν ἐν τοῖς Μεσσηνιακοῖς, ἀνατεμόντες ἐσκόπουν εἰ παρὰ τοὺς λοιποὺς ἔστι τι· καὶ εὗρον σπλάγχνον ἐξηλλαγμένον καὶ τὴν καρδίαν δασεῖαν, ὡς Ἡρόδοτος καὶ Πλούταρχος καὶ Ῥιανός.

6 ex Arnobio C. G. IV p. 144 11 ex p. 244b 18 ex Steph. Byzantio s. v. 21 *ἐν τοῖς Μεσσηνιακοῖς*] transponi voluit post *στρατηγός* Meinekius

Δ'. ΛΕΩΝΙΔΟΥ ΒΙΟΣ.

Ὅσα δ' ἄλλα πρὸς τούτῳ τολμήματα καὶ ῥήματα τῶν Σπαρτιατῶν παραλέλοιπεν, ἐν τῷ Λεωνίδου βίῳ γραφήσεται· μικρὰ δ' οὐ χεῖρόν ἐστι καὶ νῦν διελθεῖν. ἀγῶνα μὲν γὰρ ἐπιτάφιον αὐτῶν ἠγωνίσαντο πρὸ τῆς ἐξόδου, καὶ τοῦτον ἐθεῶντο πατέρες αὐτῶν καὶ μητέρες· αὐτὸς δ' ὁ Λεωνίδας πρὸς μὲν τὸν εἰπόντα παντελῶς ὀλίγους ἐξάγειν αὐτὸν ἐπὶ τὴν μάχην 'πολλοὺς μέν' ἔφη 'τεθνηξομένους'. πρὸς δὲ τὴν γυναῖκα πυνθανομένην ἐξιόντος εἴ τι λέγοι, μεταστραφεὶς εἶπεν 'ἀγαθοῖς γαμεῖσθαι καὶ ἀγαθὰ τίκτειν'. ἐν δὲ Θερμοπύλαις μετὰ τὴν κύκλωσιν δύο τῶν ἀπὸ γένους ὑπεξελέσθαι βουλόμενος ἐπιστολὴν ἐδίδου τῷ ἑτέρῳ καὶ ἔπεμπεν· ὁ δ' οὐκ ἐδέξατο φήσας μετ' ὀργῆς 'μαχατάς τοι, οὐκ ἀγγελιαφόρος, εἱπόμαν'· τὸν δ' ἕτερον ἐκέλευεν εἰπεῖν τι πρὸς τὰ τέλη τῶν Σπαρτιατῶν· ὁ δ' ἀπεκρίνατο τῷ πράγματι, καὶ τὴν ἀσπίδα λαβὼν εἰς τάξιν κατέστη.

Ε'. ΕΠΑΜΕΙΝΩΝΔΟΥ ΒΙΟΣ.

Πολλῶν δὲ σημείων μοχθηρῶν γενομένων, ὡς ἐν τῷ περὶ Ἐπαμεινώνδου γέγραπται, καὶ Προθόου τοῦ Λάκωνος ἐναντιουμένου πρὸς τὴν στρατείαν, οὐκ ἀνῆκεν ὁ Ἀγησίλαος ἀλλ' ἐξέπραξε τὸν πόλεμον, ἐλπίζων αὐτοῖς μέν, αὐτονόμου τῆς Ἑλλάδος ὅλης

2 ex p. 866 b 21 ex Vit. Ages. c. 28

ὑπαρχούσης ἐκσπόνδων δὲ τῶν Θηβαίων γενομένων, καιρὸν εἶναι δίκην λαβεῖν παρ' αὐτῶν.

Ϛ'. ΣΚΙΠΙΩΝΟΣ ΒΙΟΣ.

Ἀννίβας δὲ συμπάντων ἀπέφηνε τῶν στρατηγῶν πρῶτον μὲν ἐμπειρίᾳ καὶ δεινότητι Πύρρον Σκιπίωνα δὲ δεύτερον ἑαυτὸν δὲ τρίτον, ὡς ἐν τοῖς περὶ Σκιπίωνος γέγραπται.

Ζ'. ΣΚΙΠΙΩΝΟΣ ΑΦΡΙΚΑΝΟΥ.

1. *Οὐ δεῖ δὲ θαυμάζειν, εἰ Νασικᾶν μεμίσηκεν οὕτως ὁ δῆμος· ὅπου καὶ Σκιπίων ὁ Ἀφρικανός, οὗ δοκοῦσι Ῥωμαῖοι μηδένα δικαιότερον μηδὲ μᾶλλον ἀγαπῆσαι, παρὰ μικρὸν ἦλθεν ἐκπεσεῖν καὶ στέρεσθαι τῆς πρὸς τὸν δῆμον εὐνοίας· ὅτι πρῶτον μὲν ἐν Νομαντίᾳ τὴν τελευτὴν τοῦ Τιβερίου πυθόμενος ἀνεφώνησεν ἐκ τῶν Ὁμηρικῶν*

'ὡς ἀπόλοιτο καὶ ἄλλος ὅ τις τοιαῦτά γε ῥέζοι'·

ἔπειτα τῶν περὶ Γάιον καὶ Φούλβιον αὐτοῦ δι' ἐκκλησίας πυνθανομένων, τί φρονοίη περὶ τῆς Τιβερίου τελευτῆς, οὐκ ἀρεσκομένην τοῖς ὑπ' ἐκείνου πεπολιτευμένοις ἀπόκρισιν ἔδωκεν. ἐκ τούτου γὰρ ὁ μὲν δῆμος ἀντέκρουσεν αὐτῷ λέγοντι, μηδέπω τουτὶ ποιήσας πρότερον, αὐτὸς δὲ τὸν δῆμον εἰπεῖν κακῶς προήχθη. περὶ μὲν οὖν τούτων ἐν τῷ Σκιπίωνος βίῳ τὰ καθ' ἕκαστα γέγραπται.

4 ex Vit. Pyrrh. c. 8 9 ex Vit. Ti. Gracchi c. 21 16 Hom. α 47

2. *Καὶ ὅτε Σκιπίων ὁ Ἀφρικανὸς ἐξ οὐδενὸς αἰτίου προφανοῦς ἐτελεύτησε, καὶ σημεῖά τινα τῷ νεκρῷ πληγῶν καὶ βίας ἐπιδραμεῖν ἔδοξεν, ὡς ἐν τοῖς περὶ ἐκείνου γέγραπται, τὸ μὲν πλεῖστον ἐπὶ τὸν Φούλβιον ἦλθε τῆς διαβολῆς, ἐχθρὸν ὄντα καὶ τὴν ἡμέραν ἐκείνην ἐπὶ τοῦ βήματος τῷ Σκιπίωνι λελοιδορημένον, ἥψατο δὲ καὶ τοῦ Γαΐου ὑπόνοια. καὶ δεινὸν οὕτως ἔργον ἐπ' ἀνδρὶ τῷ πρώτῳ καὶ μεγίστῳ Ῥωμαίων τολμηθὲν οὐκ ἔτυχε δίκης οὐδ' εἰς ἔλεγχον προῆλθεν· ἐνέστησαν γὰρ οἱ πολλοὶ καὶ κατέλυσαν τὴν κρίσιν ὑπὲρ τοῦ Γαΐου φοβηθέντες, μὴ περιπετὴς τῇ αἰτίᾳ τοῦ φόνου ζητουμένου γένηται.*

Η'. ΜΕΤΕΛΛΟΥ ΒΙΟΣ.

Ἀλλὰ γὰρ ὅσης μὲν ἀπέλαυσεν εὐνοίας παρὰ τὴν φυγὴν καὶ τιμῆς Μέτελλος, ὃν δὲ τρόπον ἐν Ῥόδῳ φιλοσοφῶν διητήθη, βέλτιον ἐν τοῖς περὶ ἐκείνου γραφομένοις εἰρήσεται.

Θ'. ΤΙΒΕΡΙΟΥ ΒΙΟΣ.

Ἀλλὰ καὶ Τιβερίῳ ὄνος, ὡς Πλούταρχος *ὁ Χαιρωνεύς φησιν, ἔτι μειρακίῳ ὄντι καὶ ἐν Ῥόδῳ ἐπὶ λόγοις ῥητορικοῖς διατρίβοντι τὴν βασιλείαν διὰ τοῦ αὐτοῦ παθήματος προεμήνυσεν.*

1 ex Vit. C. Gracchi c. 10 15 ex Vit Mar. c. 29 20 ex Damasc. Vit. Isidori § 64 ed. Westermann

Ι΄. ΚΡΑΤΗΤΟΣ ΒΙΟΣ.

Ἐντυχὼν δὲ τῷ Χαιρωνεῖ Πλουτάρχῳ τὸν Κράτητος ἀναγράψαντι βίον, οὐδὲν ἐκ παρέργου μανθάνειν δεήσῃ τὸν ἄνδρα· οὗτος ἡγεμὼν ἐγένετο Ζήνωνι τῶν καλῶν δογμάτων· ἐπὶ τούτου φασὶ τοὺς Ἕλληνας ἐπιγράφειν τοῖς ἑαυτῶν οἴκοις ἐπὶ τῶν προπυλαίων ʻεἴσοδος Κράτητι ἀγαθῷ δαίμονιʼ.

2 ex Iulian. Or. 7 p. 200b (= p. 259, 5 ed. Hertlein) ib. *Χαιρωνεῖ* Cobetus: *χαιρωνείῳ* 3 *οὐδὲν* Hertlinus: *οὐθὲν* 4 *μανθάνειν* Cobetus: *τοῦ μανθάνειν* ib. verba *οὗτος ἡγεμὼν — — ἀγαθῷ δαίμονι* subditicia esse vidit Horkelius 7 inscriptionem add. W

XXXIV.

ΛΕΙΨΑΝΑ ΣΥΓΓΡΑΜΜΑΤΩΝ ΑΔΗΛΩΝ.

---

1. *Περὶ τῆς καθ' Ὅμηρον ἐχεμυθίας διὰ τούτων σαφῶς δείκνυται· λέγει γάρ*

'Θερσῖτ' ἀκριτόμυθε, λιγύς περ ἐὼν ἀγορητὴς
ἴσχεο, μηδ' ἔθελ' οἶος ἐριζέμεναι βασιλῆι'.

καὶ τοῦ Τηλεμάχου εἰπόντος

'ἦ μάλα τις θεῶν ἔνδον, οἳ οὐρανὸν εὐρὺν ἔχουσιν'

ἐπιλαμβανόμενος ὁ πατὴρ ἔφη

'σίγα καὶ κατὰ σὸν νόον ἴσχανε μηδ' ἐρέεινε·
αὕτη τοι δίκη ἐστὶ θεῶν οἳ Ὄλυμπον ἔχουσι'.

τοῦτο ἐκσίγησιν οἱ Πυθαγορικοὶ καλοῦντες οὐδὲν ἀπεκρίνοντο τοῖς περὶ θεῶν ὅ τι τύχοιεν ἰταμῶς καὶ εὐχερῶς ἐρωτῶσι.

2. *Νέοις δὲ ζηλωτέον τοὺς γέροντας, κατὰ Σιμωνίδην*

'ἄθηλος ἵππῳ πῶλος ὣς ἅμα τρέχειν'·

2 ex Stob. Flor. 33, 17 (= 33, 16 ed. Hense) 5 *βασιλῆι*] *βασιλεῦσιν* Homerus *Β* 247 7 id. *τ* 40 ib. *θεὸς* Homerus 9 id. 42 11 *ἐκσίγησιν* optime Gomperzius: *ἐξήγησιν* 12 *ὅ τι* W: *ὅτε* 14 ex Stobaei Flor. 115, 18 ib. *Σιμωνίδην*] v. Bergk. 2 p. 445

καθάπερ φησὶν ὁ Πλάτων ἐπὶ τοῦ μιγνυμένου πρὸς ὕδωρ ἀκράτου μαινόμενον θεὸν ἑτέρῳ θεῷ νήφοντι σωφρονίζεσθαι.

3. Καὶ μὴν οὐδέν ἐστιν οὕτω τῆς Πυθαγορικῆς φιλοσοφίας ἴδιον, ὡς τὸ συμβολικόν, οἷον ἐν τελετῇ μεμιγμένον φωνῇ καὶ σιωπῇ διδασκαλίας γένος· ὥστε μὴ λέγειν

'ἀείσω ξυνετοῖσι, θύρας δ' ἐπίθεσθε βεβήλοις',

ἀλλ' αὐτόθεν ἔχειν φῶς καὶ χαρακτῆρα τοῖς συνήθεσι τὸ φραζόμενον, τυφλὸν δὲ καὶ ἄσημον εἶναι τοῖς ἀπείροις. ὡς γὰρ ὁ ἄναξ ὁ ἐν Δελφοῖς οὔτε λέγει οὔτε κρύπτει ἀλλὰ σημαίνει κατὰ τὸν Ἡράκλειτον, οὕτω τῶν Πυθαγορικῶν συμβόλων καὶ τὸ φράζεσθαι δοκοῦν κρυπτόμενόν ἐστι καὶ τὸ κρύπτεσθαι νοούμενον.

4. Ἀλλὰ μάλιστα διψῶν ἀπέθανε τῆς γυναικός, ἐρῶν ἐρώσης ἀπολειπόμενος. οὐδὲν εἰπεῖν οὔτε ποιῆσαι πρὸς αὐτὴν ἰταμὸν ἐτόλμησαν, ἀλλ' οὕτως ἐνεκαρτέρησαν ἀμφότεροι τῷ πρέποντι, ὥσπερ ἀποδείξασθαι θέλοντες ὅτι πλεῖστον αἰδοῦς ἔρωτι δικαίῳ μέτεστιν. ὅθεν ἔμοιγε πλεῖστον αὐτῇ φαίνεται χρόνον ἀνὴρ συμβεβιωκέναι· πάντα γὰρ διόλου τὸν

1 καθάπερ] καί, ὅπερ Piccolos ib. Πλάτων] in Legg. p. 773 d 4 ex Stob. Flor. 5, 72 (= I, 199 p. 150 Hense) 8 cf. Stob. Flor. 41, 9. Vulgo Orpheo tribuitur 12 Ἡράκλειτον] v. Bywater. p. 5 16 ex Stob. 69, 22. Hoc fragmentum ex Amatorio integro olim depromptum mihi vid. 17 ἀπολιπόμενος: corr. Meinekius ib. οὐδὲν] ὃς οὐδὲν οὔτε idem. Fort. ὅθεν οὐδὲν et deinde οὐδὲ pro οὔτε 18 αὐτὴν] αὐτοὺς Gesnerus ib. ἐτόλμησεν Meinekius

δεκαετῆ χρόνον ὁμαλῶς συνεβίωσεν. αἱ δ' ἄλλαι συνοικοῦσιν οὐ συμβιοῦσιν, ὅταν λυπῶσι τοὺς ἄνδρας ἢ ζηλοτυπῶσιν ἢ διαφέρωνται περὶ χρημάτων ἢ κακῶς λέγωσι ἢ φεύγωσι θρυπτόμεναι τὰς φιλοφροσύνας καὶ συνδιαιτήσεις· ὥστ' ἂν τοῦτον ἐξαιρῇς τὸν χρόνον ἐν ᾧ ταῦτα πράττουσιν, ἀπολείπεται βραχὺς ἐκεῖνος ὁ τῆς συμβιώσεως.

5. *Εἰ μὲν οὖν ὀρθῶς ἐπὶ Πλάτωνος εἶπε Διογένης 'τί δὲ ὄφελος ἡμῖν ἀνδρὸς ὃς πολὺν ἤδη χρόνον φιλοσοφῶν οὐδένα λελύπηκεν;' ἕτεροι κρινοῦσιν· ἴσως γὰρ ὡς τὸ μέλι δεῖ καὶ τὸν λόγον τοῦ φιλοσόφου τὸ γλυκὺ δηκτικὸν ἔχειν τῶν ἡλκωμένων.*

6. *Καίτοι περί γε τῶν γερόντων ὁ Σοφοκλῆς εἴρηκε χαριέντως*

'σμικρὰ παλαιὰ σώματ' εὐνάζει ῥοπή'·

καταγωγῇ γὰρ ἔοικεν ὁ γεροντικὸς θάνατος, ἐκβολὴ δὲ καὶ ναυάγιόν ἐστιν ὁ τῶν νέων· ἐκπίπτει γὰρ ἡ ψυχὴ βίᾳ συντριβομένου τοῦ σώματος.

7. *Ὅπου τὸν ἀπὸ τῆς Στοᾶς φιλόσοφον Ἀντίπατρον ἀποθνήσκοντα λέγουσιν ἐν εὐτυχήματος μέρει διακεῖσθαι καὶ τὴν ἐκ Κιλικίας αὐτῷ γενομένην εἰς Ἀθήνας εὔπλοιαν.*

1 *ἄλλαι* W: *ἄλλαις* 2 *τοὺς* Gesnerus: *τοὺς μὲν* 5 *καὶ* W: *ἢ* ib. *ἐξαίρῃς*: correxi 7 *ἐκείνοις* Meinekius 8 ex Stob. 13, 43 praefixo lemmate *Θεμιστίου*. Plutarcho vindicavit W, non recte iudice Hensio; cf. W animadv. in p. 59d 9 *δὲ* *: *δαὶ* 11 *μέλι* W: *μὲν* 13 ex Stob. 115, 28 15 Soph. OR 961 19 inserui ex Stobaei Flor. 120, 25 21 *διακεῖσθαι*] fort. *διηγεῖσθαι*

8. Ὀνείρῳ ἔοικεν ὁ τῶν ἀπαιδεύτων βίος, κενὰς ἔχων φαντασίας.

9. Οὔτ' ἐν ἰχθύσι φωνὴν οὔτ' ἐν ἀπαιδεύτοις ἀρετὴν δεῖ ζητεῖν.

10. Δυσάρεστοι ὄντες οἱ ἀπαίδευτοι καθάπερ ἐξ οἰκιῶν τῶν προαιρέσεων καθ' ἡμέραν μετοικίζονται.

11. Οἱ μὲν ξένοι ἐν ταῖς ὁδοῖς οἱ δ' ἀπαίδευτοι ἐν τοῖς πράγμασι πλανῶνται.

12. Μήτε λίαν πολυτελῶς μήτε ἄγαν εὐτελῶς πειρῶ τὰ περὶ τὴν ἐσθῆτα καὶ δίαιταν καὶ τὴν ἑτέραν διαγωγὴν τὸ σῶμα διοικεῖν· τὸ μὲν γὰρ φθονεῖσθαι ἢ γελᾶσθαι ποιεῖ τὸ δὲ μισεῖσθαι ἢ ἐλεεῖσθαι.

13. Ὁδοῦ καὶ ἀληθείας χαλεπὸν ἀποπλανηθῆναι.

14. Τῆς ἀγνοουμένης ἀρετῆς, ὥσπερ τοῦ κατορωρυγμένου χρυσίου, ἡ λαμπρότης οὐ βλέπεται.

15. Τὸ μὲν ἴσον ζυγῷ τὸ δ' ἀληθὲς τῷ ἐκ φιλοσοφίας λόγῳ κρίνεται.

16. Ἡ μὲν τροφὴ τοῖς γυμναζομένοις ἡ δ' ἀρετὴ τοῖς πεπαιδευμένοις ἡδεῖα φαίνεται.

17. Φρόνησις εὐτυχίαν ὡς τὰ πολλὰ χαρίζεται, τύχη δὲ φρόνησιν οὐ ποιεῖ.

1 Haec et sequentes sententiae ex Maximo maxime et Antonii Melissa depromptae sunt; quae sunt aliunde, diligenter observavi 8 *διαπλανῶνται* Maximus 14 *καὶ ἀληθείας χαλεπὸν*] *καὶ παιδείας κακὸν* Wachsmuthius 15 *κατωρορυγμένου*: correxi ex codice Laurentiano (15, 7 saec. XI) et Flor. Monacensi (p. 269 Meineke), in quo *φαίνεται* pro *βλέπεται*

18. *Ἐπισκοτεῖ τῷ μὲν ἡλίῳ πολλάκις τὰ νέφη τῷ δὲ λογισμῷ τὰ πάθη.*

19. *Ἐκ μὲν τοῦ ποδὸς τὴν ἄκανθαν ἐκ δὲ τῆς ἀλόγου ψυχῆς τὴν ἄγνοιαν ὑπεξελέσθαι δεῖ.*

20. *Ταὐτόν ἐστιν ὁδηγὸν τυφλὸν λαβεῖν καὶ σύμβουλον ἀνόητον.*

21. *Οὐχ οὕτω τοῖς ὀρφανοῖς παισίν, ὡς τοῖς ἀνοήτοις ἀνδράσιν ἐπιτρόπων ἐστὶ χρεία.*

22. *Οἱ ἀπὸ τῶν αἰσχρῶν κερδῶν εἰς τὰς καλὰς ἀναλίσκοντες λειτουργίας ὅμοιόν τι ποιοῦσι τοῖς ἀπὸ ἱεροσυλίας θεοσεβοῦσιν.*

23. *Ἔοικεν ὁ τῶν φιλαργύρων βίος νεκροῦ δείπνῳ· πάντα γὰρ ἔχων τὸν εὐφρανθησόμενον οὐκ ἔχει.*

24. *Οὔτε παρὰ νεκροῦ ὁμιλίαν οὔτε παρὰ φιλαργύρου χάριν δεῖ ἐπιζητεῖν.*

25. *Οὔτε πίπτοντός ἐστιν ὀρθοῦν οὔτε διδάσκειν ἀγνοοῦντος οὔτε ἀκοσμοῦντος κοσμεῖν ἢ τάττειν ἀτακτοῦντος ἢ ἄρχειν μὴ ἀρχομένου.*

26. *Ἔοικεν ἡ κολακεία γραπτῇ πανοπλίᾳ· διὸ τέρψιν μὲν ἔχει, χρείαν δ' οὐδεμίαν παρέχει.*

27. *Τὰ μὲν ξύλα τὸ πῦρ αὐξάνοντα ὑπ' αὐτοῦ τοῦ πυρὸς καταναλίσκεται, ὁ δὲ πλοῦτος τρέφων τοὺς κόλακας ὑπ' αὐτῶν τούτων διαφθείρεται.*

17 inseruit Duebnerus ex Arsenii Violeto p. 420 22 *τὸ μὲν πῦρ ὑπὸ τῶν ξύλων αὔξεται καὶ ταῦτα ὑπ' αὐτοῦ ἀναλίσκονται* (cur?), *ὁ δὲ πλοῦτος κόλακας τρέφων ὑπ' αὐτῶν διαφθείρεται* Wachsmuthius (in 'Studien z. d. gr. Florilegien' p. 195)

28. Ὥσπερ οἱ κόρακες παρεδρεύοντες ἐξορύσσουσι τοὺς τῶν νεκρῶν ὀφθαλμούς, οὕτως οἱ κόλακες τοῖς ἐπαίνοις τοὺς λογισμοὺς διαφθείρουσι τῶν ἀνθρώπων.

29. Λαγῷ μὲν κύνα φίλῳ δὲ κόλακα φύσει πολέμιον ἡγητέον.

30. Χαίρειν χρὴ τοῖς ἐλέγχουσιν, οὐ τοῖς κολακεύουσιν· οἱ μὲν γὰρ ἡμᾶς λυποῦντες διεγείρουσιν, οἱ δὲ χαριζόμενοι ἐκλύουσι καὶ σκελίζουσι.

31. Οὔτε τῆς γαμετῆς τὴν ἑταίραν οὔτε τῆς φιλίας τὴν κολακείαν δεῖ προτιμᾶν.

32. Οὔτε ἐκ τοῦ κόσμου τὸν ἥλιον οὔτε ἐκ τῆς ὁμιλίας ἀρτέον τὴν παρρησίαν.

33. Θηρεύουσι τοῖς μὲν κυσὶ τοὺς λαγωοὺς οἱ κυνηγοὶ τοῖς δ' ἐπαίνοις τοὺς ἀνοήτους οἱ κόλακες.

34. Τὸν μὲν λιβανωτὸν τοῖς θεοῖς τὸν δ' ἔπαινον τοῖς ἀγαθοῖς ἀπονέμειν δεῖ.

35. Γλῶσσα βλάσφημος διανοίας κακῆς ἔλεγχος.

36. Ὁ τῶν ἀσώτων βίος ὥσπερ καθ' ἡμέραν ἀποθνήσκων ἐκφέρεται.

37. Ἡ χάρις, ὥσπερ ἡ σελήνη, ὅταν τελεία γένηται, τότε καλὴ φαίνεται.

38. Ἀχάριστον εὐεργετεῖν καὶ νεκρὸν μυρίζειν ἐν ἴσῳ κεῖται.

39. Φθείρεται ὁ μὲν κόσμος πυρὶ καὶ ὕδατι ὁ δὲ τῶν ἀκολάστων πλοῦτος ἔρωτι καὶ μέθῃ.

9 ὑποσκελίζουσι ed. Graeca Melissae 15 κόλακες Stob. Flor. 14, 22: πολλοί

40. Ὕβρις καὶ οἶνος ἀποκαλύπτειν εἰώθασι φίλοις τὰ ἤθη τῶν φίλων.

41. Οἱ θυμοὶ καθάπερ κύνες τυφλὰ τίκτουσιν ἐγκλήματα.

42. Οἱ μὲν τραχεῖς ἵπποι τοῖς χαλινοῖς οἱ δ' ὀξύθυμοι ἄνδρες τοῖς λογισμοῖς μετάγονται.

43. Τὸ μὲν εὔκρατον ὕδωρ τὰς φλεγμονὰς ὁ δ' ἐπιεικὴς λόγος τὰς ὀργὰς διαλύει.

44. Ὥσπερ ὄργανον ἄνεσιν καὶ ἐπίτασιν λαμβάνον ἡδὺ γίνεται, οὕτω καὶ βίος.

45. Ὅπερ ἂν σιωπᾶσθαι βούλῃ, μηδενὶ εἴπῃς· ἢ πῶς παρά τινος ἀπαιτήσεις τὸ πιστὸν τῆς σιωπῆς, ὃ μὴ παρέσχες σεαυτῷ;

46. Τοῖς μὲν διὰ τοῦ ἡλίου πορευομένοις ἕπεται κατ' ἀνάγκην σκιά, τοῖς δὲ διὰ τῆς δόξης βαδίζουσιν ἀκολουθεῖ φθόνος.

47. Τὸ τῆς δόξης κάλλος ὥσπερ ὑπὸ νόσου τοῦ φθόνου ταχὺ μαραίνεται.

48. Ὥσπερ ὑπὸ τοῦ ἰοῦ τὸν σίδηρον, οὕτω τοὺς φθονεροὺς ὑπὸ τοῦ ἰδίου ἤθους κατεσθίεσθαι.

49. Εἰς κάτοπτρον κύψας θεώρει· καὶ εἰ μὲν καλὸς φαίνῃ, ἄξια τούτου πρᾶττε· εἰ δ' αἰσχρός, τὸ τῆς ὄψεως ἐλλιπὲς ὡράιζε καλοκἀγαθίᾳ.

50. Τὰ μὲν φυτὰ ἀπὸ τῆς ῥίζης ἡ δὲ δόξα ἀπὸ τῆς πρώτης ὑπολήψεως αὔξεται.

3 οἱ τῷ θυμῷ νικώμενοι καθάπερ κύνες τυφλὰ τίκτουσι τὰ κυήματα Wachsmuthius multo rectius 6 ὀξύθυμοι ἄνδρες] ὀξεῖς θυμοὶ etiam Maximus 18 μαραίνεται Stob. Flor. 38, 34: μεταφέρεται cod. Laur. καταφθείρεται Maximus 25 ὑπολήψεως W: λήψεως

51. Ἵππου μὲν ἀρετὴν ἐν πολέμῳ φίλου δὲ πίστιν ἐν ἀτυχίᾳ κρίνομεν.

52. Σκεύη μὲν τὰ καινὰ κρείττονα φιλία δ' ἡ παλαιοτέρα.

53. Φεύγειν δεῖ τὴν φιλίαν ὧν ἀμφίβολος ἡ διάθεσις.

54. Ἐν πολέμῳ μὲν πρὸς ἀσφάλειαν σίδηρος χρυσοῦ κρείσσων ἐν δὲ τῷ ζῆν ὁ λόγος τοῦ πλούτου.

55. Οὔτε ἵππῳ χωρὶς χαλινοῦ οὔτε πλούτῳ χωρὶς λογισμοῦ δυνατὸν ἀσφαλῶς χρήσασθαι.

56. Οὔτε συμπόσιον ἄνευ ὁμιλίας οὔτε πλοῦτος χωρὶς ἀρετῆς ἡδονὴν ἔχει.

57. Αἱ μὲν ποδήρεις ἐσθῆτες τὰ σώματα αἱ δ' ὑπέρμετροι περιουσίαι τὰς ψυχὰς ἐμποδίζουσιν.

58. Οὔτε ἵππος εὐγενὴς κρίνοιτ' ἂν πολυτελῆ σκευὴν ἔχων ἀλλ' ὁ τῇ φύσει λαμπρός, οὔτε ἀνὴρ σπουδαῖος ὁ πολύτιμον οὐσίαν κεκτημένος ἀλλ' ὁ τὴν ψυχὴν γενναῖος.

59. Ὁδὸν μὲν τὴν λειοτάτην ἐκλέγεσθαι δεῖ βίον δὲ τὸν ἀλυπότατον.

60. Ὑπενδύεσθαι δεῖ τῷ μὲν θώρακι χιτῶνα τῇ δὲ λύπῃ νοῦν.

61. Οὔτε τὸν ἀρρωστοῦντα ἡ χρυσόπους ὠφελεῖ κλίνη οὔτε τὸν ἀνόητον ἡ ἐπίσημος εὐτυχία.

62. Τοῖς μὲν νοσοῦσιν ἰατροὺς τοῖς δ' ἀτυχοῦσι φίλους δεῖ συμπαρεῖναι.

5 δεῖ cod. Laurentianus: δὲ ib. ὧν τινων idem 6 διάθεσις] συνείδησις idem 19 δεῖ] habet etiam idem cod. 21 ὑπενδύεσθαι Wachsmuthius: ἐπενδύεσθαι

63. *Αἱ ἐπιφανεῖς τύχαι καθάπερ οἱ σφοδροὶ τῶν ἀνέμων μεγάλα ποιοῦσι ναυάγια.*

64. *Ὥσπερ οἱ ἐν εὐδίᾳ πλέοντες καὶ τὰ πρὸς τὸν χειμῶνα ἔχουσιν ἕτοιμα, οὕτως οἱ ἐν εὐτυχίᾳ φρονοῦντες εὖ καὶ τὰ πρὸς τὴν ἀτυχίαν ἠτοιμάκασι βοηθήματα.*

65. *Ἔοικεν ἡ τύχη φαύλῳ ἀγωνοθέτῃ· πολλάκις γὰρ τοὺς μὴ νικήσαντας στεφανοῖ.*

66. *Ἀτυχίαν κρύπτε, ἵνα μὴ τοὺς ἐχθρούς σου εὐφράνῃς.*

67. *Ἐν μὲν ταῖς μέθαις παροινοῦσιν ἐν δὲ ταῖς εὐτυχίαις παρανοοῦσιν οἱ πλεῖστοι.*

68. *Ἀρρωστοῦντι φορτίον ἐπιθεῖναι ἢ ἀπαιδεύτῳ ψυχῇ εὐτυχίαν ταὐτόν ἐστιν.*

69. *Νοσοῦντος δίαιτα καὶ ἄφρονος εὐτυχία πολὺ ἔχει τὸ δυσάρεστον.*

70. *Ἡ τύχη καθάπερ τοξότης ποτὲ μὲν ἐπιτυγχάνει βάλλουσα ἐφ' ἡμᾶς ὥσπερ ἐπί τινα σκοπὸν ποτὲ δ' ἐπὶ τὰ σύνεγγυς παρακείμενα ἡμῖν.*

71. *Οὔτε ναῦν ἐξ ἑνὸς ἀγκυρίου οὔτε βίον ἐκ μιᾶς ἐλπίδος ὁρμιστέον.*

72. *Στάσιμοί εἰσιν αἱ τῶν πεπαιδευμένων ἐλπίδες, ὡς ἐν λιμένι τῷ λογισμῷ ὁρμοῦσαι.*

73. *Αἱ μὲν τῆς ἀρετῆς ἐλπίδες ἴδιαί εἰσι τῆς ψυχῆς αἱ δὲ τῆς κακίας νόθοι.*

74. *Ταὐτόν ἐστιν ἐξ ἀσθενοῦς ἀγκυρίου σκάφος ὁρμίζειν καὶ ἐκ φαύλης γνώμης ἐλπίδα.*

10 *εὐφράνῃς* *: *εὐφράνῃ* 15 *πολὺ ἔχει* inseruit Duebnerus ex Stob. Flor. 4, 120 27 *ὁρμίζειν* idem 2, 47: *ὁρμεῖν*

75. *Αἱ πονηραὶ ἐλπίδες ὥσπερ οἱ κακοὶ ὁδηγοὶ ἐπὶ τὰ ἁμαρτήματα ἄγουσιν.*

76. *Οὔτε γυνὴ χωρὶς ἀνδρὸς οὔτε ἐλπὶς ἀγαθὴ χωρὶς πόνου γεννᾷ τι χρήσιμον.*

77. *Ἡδύ ἐστιν ὥσπερ φίλῳ σπουδαίῳ, οὕτω καὶ λόγῳ καλῷ συγγηράσκειν.*

78. *Παρεκελεύετο τοῖς νέοις τρία ταῦτα ἔχειν· ἐπὶ μὲν τῆς γνώμης σωφροσύνην, ἐπὶ δὲ τῆς γλώσσης σιγήν, ἐπὶ δὲ τοῦ προσώπου αἰδῶ.*

79. *Γλώσσῃ θρασείᾳ μὴ χρῆσθαι· πολλάκις γὰρ τὸ θράσος καὶ αὐτὴν διώλεσε τὴν κεφαλήν.*

80. *Ὁ μὲν χειμὼν σκέπης τὸ δὲ γῆρας ἀλυπίας δεῖται.*

81. *Γέρων ἀνόητος ὥσπερ τρίβων παλαιὸς εἰς οὐδέν ἐστιν εὔθετος.*

82. *Οὔτε πῦρ ἱματίῳ περιστεῖλαι δυνατὸν οὔτε ἁμάρτημα χρόνῳ.*

83. *Ὁ ὑπὲρ μικρῶν ἁμαρτημάτων ἀνυπερβλήτως ὀργιζόμενος οὐκ ἐᾷ διαγνῶναι τὸν ἁμαρτάνοντα, πότε ἔλαττον καὶ πότε μεῖζον ἠδίκησεν.*

84. *Ἀνδριάντα μὲν τὸ σχῆμα ἄνδρα δ' ἡ πρᾶξις κοσμεῖ.*

85. *Ἀνθρώπου τινὸς αὐτὸν ἀδικήσαντος καὶ περιφεύγοντος καὶ ἀπαντᾶν αἰσχυνομένου, συντυχὼν ἅπαξ 'οὐ σὲ χρή' ἔφη 'ἐμὲ φεύγειν, ἀλλ' ἐμὲ σὲ φαῦλον ὄντα'.*

6 *συγκαταγηρᾶσαι* Wachsmuth.; malim *συγκαταγηράσκειν* 10 addidi ex cod. Vatic. 741 13 *πρεσβύτης ἀν. ὥσπερ τρ. σαπρὸς εἰς οὐδεμίαν ἀρετὴν εὔθετος* 20 Hoc et inseqq. (84—130) ego addidi sive ex codice Laurentiano sive ex Antonii Melissa et Maximo; ubi non, adnotavi 24 *ἔφη* *

86. *Ἔθιζε σεαυτὸν τῇ λιτῇ διαίτῃ, ἵνα τῆς πολυτελοῦς μηδέποτε προσδεηθῇς.*

87. *Ἐκ χρυσοῦ ποτηρίου πίνειν φάρμακον καὶ παρὰ φίλου ἀγνώμονος συμβουλίαν λαμβάνειν ταὐτόν ἐστιν.*

88. *Ἑτοιμάζονταί τινες διὰ βίου τὰ πρὸς τὸν βίον ὡς βιωσόμενοι μετὰ τὸν βίον.*

89. *Εὖ σοι τὸ μέλλον ἕξει, ἂν τὸ παρὸν εὖ τιθῇς.*

90. *Ἡ τρυφὴ καθάπερ στρατοπέδου τῆς τῶν ἀπαιδεύτων ψυχῆς τὸ ἄριστον ἀφαιρεῖται.*

91. *Ἡ φρόνησις οὐ σωμάτων ἀλλὰ πραγμάτων ὄψις ἐστί, πρὶν ἐν αὐτοῖς γενέσθαι τὸν ἄνθρωπον, ὅπως ἄριστα χρήσεται τοῖς ἀπαντῶσι καὶ προστυγχάνουσι παρέχουσα διασκοπεῖν τὸ μέλλον. τὸ μὲν οὖν σῶμα πρόσω μόνον ὠμμάτωται, τοῖς δ᾽ ὄπισθεν τυφλόν ἐστιν· ἡ δὲ διάνοια καὶ τὰ παρῳχημένα βλέπειν τῇ μνήμῃ πέφυκεν.*

92. *Κακόσιτός ἐστι πρὸς τὸν συμφέροντα λόγον ἡ τῶν ἀνοήτων ψυχή, οὐ παραδεχομένη τὸν σῴζοντα νοῦν ὥσπερ φάρμακον.*

93. *Καταφρόνει τῶν περὶ τὸν πλοῦτον σπουδαζόντων χρῆσθαι δὲ τοῖς ὑπάρχουσι μὴ δυναμένων· παραπλήσιον γὰρ οἱ τοιοῦτοι πάσχουσιν ὥσπερ ἂν εἴ τις ἵππον κτήσαιτο καλὸν κακῶς ἱππεύειν ἐπιστάμενος.*

1 add. Patzigius, vid. Wachsmuth. ad n. 212 8 παρὸν *: πονηρὸν cod. Laur. 19 ex Maximo add. Patzigius 22 idem ex eodem

94. *Κράτης ἀπείκαζε τοὺς ἀνοήτους τῶν ἀνθρώπων τοῖς τρυπάνοις· ἄνευ γὰρ δεσμοῦ καὶ ἀνάγκης μηδὲν ἐθέλειν τῶν δεόντων ποιεῖν.*

95. *Κρεῖττον ἀποθανεῖν ἢ δι' ἀκρασίαν ψυχὴν ἀμαυρῶσαι.*

96. *Μεγαλόφρονας νόμιζε μὴ τοὺς μείζονα περιβαλλομένους ὧν οἷοί τ' εἰσὶ κατασχεῖν, ἀλλὰ τοὺς μετρίων μὲν ἐφιεμένους ἐργάζεσθαι δὲ δυναμένους οἷς ἂν ἐπιχειρῶσιν.*

97. *Μὴ παιδὶ μάχαιραν ἡ παροιμία φησίν· ἐγὼ δ' ἂν φαίην μὴ παιδὶ πλοῦτον μηδ' ἀνδρὶ ἀπαιδεύτῳ δυναστείαν.*

98. *Ξενοκράτης διαιρῶν ἕκαστον μέρος τῆς ἡμέρας εἰς πρᾶξίν τινα καὶ τῇ σιωπῇ μέρος ἀπένεμε.*

99. *Ὁ βίος καθάπερ νόμισμα διαβληθεὶς ἐν ἀρχαῖς εἰς πάντα τὸν χρόνον ἀδόκιμος γίνεται.*

100. *Οἱ ἀδελφοὺς παριέντες καὶ ἄλλους φίλους ζητοῦντες παραπλήσιοί εἰσι τοῖς τὴν ἑαυτῶν γῆν ἐῶσι τὴν δ' ἀλλοτρίαν γεωργοῦσι.*

101. *Οἱ ἐλαφροὶ τῶν ἀνθρώπων ὥσπερ τὰ κενὰ τῶν ἀγγείων εὐβάστακτοι τοῖς ὠτίοις εἰσίν.*

102. *Οἱ μὲν ἐκ τῆς γῆς καρποὶ κατ' ἐνιαυτὸν οἱ δ' ἐκ τῆς φιλίας κατὰ πάντα καιρὸν φύονται.*

103. *Οἱ νόμοι τοῖς ἀραχνείοις ἐοίκασι νήμασι·*

1 ex Maximo add. Patzigius 4 cf. Wachsmuth. ad n. 22 6 ex Maximo add. Patzigius 11 *δ' ἂν* *: *δὲ* 13 ex Stob. Flor. 33, 11 22 cf. Wachsm. ad n. 163 24 vid. Wachsm. ib. *ἀραχνείοις ἐοίκασι νήμασι* Usenerus: *ἀραχνίοις ἐοίκασιν ἡμᾶς*

καὶ γὰρ ἐκεῖ ἐὰν ἐμπέσῃ κώνωψ ἢ μυῖα, συνέχεται, εἰ δὲ σφὴξ ἢ μέλιττα, διαρρήξασα ἀποτρέχει. οὕτω καὶ εἰς τοὺς νόμους ἐὰν μὲν πένης ἢ εὐτελής, συνέχεται, εἰ δὲ πλούσιος ἢ δυνατὸς λέγειν, διαρρήξας ἀποτρέχει.

104. *Οἱ πονηροὶ τῶν ἀνθρώπων κἂν χρηστότητα ἐπαγγέλλωνται, διὰ τὸν τρόπον οὐ πιστεύονται.*

105. *Ὁ μὲν οἶνος συμμεταβάλλεται τοῖς ἀγγείοις ὁ δὲ πλοῦτος τοῖς τῶν κεκτημένων τρόποις.*

106. *Οὐδεὶς φροντίζων δόξης ἀγαθῆς γένοιτ' ἂν ἀνὴρ φαῦλος· καλὸν δ' ἀντὶ βραχείας ἀπολαύσεως ἀλλάξασθαι δόξαν αἰώνιον.*

107. *Οὔτε ἀρρώστου πληγὴν οὔτε ἀνοήτου ἀπειλὴν δεῖ εὐλαβεῖσθαι.*

108. *Οὔτ' αὐστηρὸς οἶνος εἰς πόσιν εὔθετος οὔτ' ἄγροικος τρόπος εἰς ὁμιλίαν.*

109. *Οὔτε σῖτον ἄριστον τὸν ἐκ τοῦ καλλίστου πεδίου κρίνομεν ἀλλὰ τὸν εὔθετον πρὸς τὴν τροφήν, οὔτε ἄνδρα σπουδαῖον ἢ φίλον εὔνουν τὸν ἐξ ἐπιφανοῦς ὄντα γένους ἀλλὰ τὸν ὑπάρχοντα τῷ τρόπῳ κρείττονα.*

110. *Οὔτε ὕδωρ θολερὸν οὔτ' ἀσύνετον ψυχὴν κινεῖν δεῖ.*

111. *Οὕτω ζῆν προαιροῦ ὡς μήτε ὑπὸ τῶν δυ-*

13 ex cod. Laur. 9, 29 ed. Dressler 13 ex eodem add. Patzigius 15 ex eodem add. Patzigius ib. *αὐστηρὸς* Patzigius: *αὐτηρὸς* 17 ex Stob. Flor. 86, 23 ed. Dressler ib. *τὸν ἐκ* Nauckius: *ἐκ* 18 *τὴν* deleverim 22 vid. Wachsm. ad n. 226

νατωτέρων καταφρονεῖσθαι μήτε τοῖς καταδεεστέροις φοβερὸς εἶναι.

112. Ὄφιν τρέφειν καὶ πονηρὸν εὐεργετεῖν ταὐτόν ἐστιν· οὐδετέρου γὰρ ἡ χάρις εὔνοιαν γεννᾷ.

113. *Πάντων μὲν ἐπιμελοῦ τῶν περὶ τὸν βίον μάλιστα δὲ τὴν σαυτοῦ φρόνησιν ἄσκει.*

114. *Πᾶσι δ' ὡς ἔπος εἰπεῖν διαμαχητέον ἡμῖν πρὸς τὸν ὕπνον ὡς πλείονα χρόνον τοῦ ζῆν διὰ τὴν ἐγρήγορσιν μεταλαμβάνειν· ὁ γὰρ ὕπνος ὥσπερ τελώνης τὸν ἥμισυν ἡμῖν τοῦ βίου συνδιαιρεῖται χρόνον.*

115. *Πλούσιον δ' ἄσωτον θεασάμενος ἐλαίας ἐσθίοντα καὶ ὕδωρ πίνοντα ἔφη 'εἰ οὕτως ἠρίστας, οὐκ ἂν οὕτως ἐδείπνεις'.*

116. *Πλοῦτος ἀπὸ κακῆς ἐργασίας ἐπιγιγνόμενος ἐπιφανέστερον ὄνειδος κέκτηται.*

117. *Πολλοὶ δοκοῦντες εἶναι φίλοι οὔκ εἰσι καὶ οὐ δοκοῦντες εἰσί. σοφοῦ οὖν ἐστι γινώσκειν ἕκαστον.*

118. *Πολλοὶ φίλους αἱροῦνται οὐ τοὺς ἀρίστους ἀλλὰ τοὺς πλουτοῦντας.*

119. *Σφαγή ἐστι τοῦ φιλαργύρου ἡ πρὸς τὸ κέρδος ἐπιθυμία· ὅθεν ἡ τοῦ χρήματος ἀφαίρεσις ὥσπερ αἵματος ἐπιφέρει τὸν θάνατον αὐτῷ.*

120. *Σωκράτης τοὺς πλεονέκτας εἴκαζε ταῖς ὄρνισιν, ὧν ἡ μὲν καταπίνει ὅ τι ἂν προστύχῃ καὶ*

6 σαυτοῦ *: αὐτοῦ 7 ἡμῖν *: ὑμῖν 12 add. Patzigius ex Maximo

ἔστιν ὅτε πνίγεται, αἱ δ' ἄλλαι παρακολουθοῦσιν ἀφελεῖν αὐτὸ σπεύδουσαι ἵνα παρὰ μέρος πνιγῶσι.

121. Ταὐτόν ἐστιν ἀσθενοῦντι φορτίον ἀναθέσθαι καὶ ἀπαιδεύτῳ ἀνδρὶ ἐξουσίαν.

122. Τῆς εὐτυχίας ὥσπερ πολιτικῆς ὁμιλίας κοινὴν εἶναι δεῖ τοῖς ἀξίοις τὴν ἀπόλαυσιν.

123. Τὸ μὲν ἀληθὲς πικρόν ἐστι καὶ ἀηδὲς τοῖς ἀνοήτοις τὸ δὲ ψεῦδος γλυκὺ καὶ προσηνές· ὥσπερ γε, οἶμαι, καὶ τοῖς νοσοῦσι τὸ μὲν φῶς ἀνιαρὸν ὁρᾶν τὸ δὲ σκότος ἄλυπον καὶ φίλον οὐκ ἐῶν βλέπειν.

124. Τοῦ μέλιτος αἱ μέλιτται τάχιον ἔρχονται ἐπ' αἴσθησιν τοῦ κέρδους δ' οἱ φιλάργυροι.

125. Τοὺς πλουσίους καὶ ἀπλήστους ὑδρωπιῶσιν ἐοικέναι ἔλεγεν· οἱ μὲν γὰρ πεπλησμένοι ὑδάτων διψῶσιν οἱ δὲ χρημάτων.

126. Τοὺς μὲν κενοὺς ἀσκοὺς τὸ πνεῦμα διίστησι τοὺς δ' ἀνοήτους ἀνθρώπους τὸ οἴημα.

127. Ὥσπερ ἄλειμμα οὐ τὸ ἡδὺ καλὸν οὐδὲ τὸ μακρὸν ἀλλὰ τὸ ὑγιεινόν, οὕτω καὶ τροφὴ οὐχ ἡ ἡδεῖα καλὴ οὐδ' ἡ πολλὴ ἀλλ' ἡ ὑγιεινή.

128. Ὥσπερ τὰ δένδρα τὰ καλοὺς φέροντα καρποὺς πρὸ τῶν καρπῶν καὶ ἐκ τῶν φύλλων δυνατόν ἐστι κατανοεῖν, οὕτως ἐκ τῶν λόγων πρὸ τῶν ἔργων καὶ οἱ πλεῖστοι τῶν ἀνθρώπων διαγιγνώσκονται.

5 ex Stob. Flor. 43, 47 20 μακρὸν] λαμπρὸν? 22 add. Patzigius ex cod. Laur. ib. καλοὺς *: καλῶς 24 ἔρων: corr. Patzigius

129. *Ὥσπερ τὸ σπέρμα τῶν πρὸς τὰς συνουσίας ἀκολάστων ἄγονον ὡς τὰ πολλὰ καὶ ἄκαρπόν ἐστιν, οὕτως ἡ πρὸς τὸ λαλεῖν ἀκρασία κενὸν τὸν λόγον ποιεῖ καὶ ἀνόητον.*

130. *Ὥσπερ τὸ μέλι τὰ ἡλκωμένα δάκνει τοῖς δὲ κατὰ φύσιν ἡδύ ἐστιν, οὕτω καὶ οἱ ἐκ φιλοσοφίας λόγοι.*

131. Plutarchus refert Arcesilaum philosophum vehementi verbo usum esse de quodam nimis delicato divite, qui incorruptus tamen et castus et perinteger dicebatur. Nam cum vocem eius infractam capillumque arte compositum et oculos ludibundos atque illecebrae voluptatisque plenos videret: *Nihil interest*, inquit, *quibus membris cinaedi sitis, posterioribus an prioribus.*

132. *Τοῖς γὰρ ἀστείοις πρεσβύταις ὅσον αἱ κατὰ τὸ σῶμα ἡδοναὶ ἀπομαραίνονται τοσοῦτον αἱ περὶ τοὺς λόγους ἐπιθυμίαι πάλιν αὔξονται, καὶ τοσούτῳ βεβαιότερον αὐτοῖς παρέχει τὸ λέγειν τι χρήσιμον τοῖς ἄλλοις καὶ παρ' ἑτέρων αὐτοὺς ἀκούειν· ὥστε τὰς μὲν ἀπὸ τῶν βρωτῶν καὶ ποτῶν καὶ ἀφροδισίων ἡδονὰς γινομένας ἰδεῖν ἔστιν οὐχ οὕτως εἰς τὸ παραχρῆμα εὐφραινούσας ὡς ὕστερον λυπούσας, ἡ δὲ περὶ τοὺς λόγους ἡδονὴ καὶ μάθησις ἔν τε τῷ*

1 add. Patzigius ex cod. Laur. ib. ὥσπερ *: ὡς γὰρ cf. Mor. p. 503c 5 cf. p. 59d et Wytt. animadv. 8 ex Gellio III 5. cf. Mor. p. 126a. 705e 16 addidi ex Stob. Flor. 117, 5 ubi nomen Anaximenis adscriptum est 19 παρέχει] ὑπάρχει Meinekius ib. τὸ idem

παραυτίκα εὐφραίνει καὶ πρὸς τὸ τὸν ἄλλον βίον τοὺς μανθάνοντας διάγειν ἡδέως παρασκευάζει.

133. Ὅτι δὲ τῶν Διονυσίων καὶ τῶν Παναθηναίων καὶ μέντοι τῶν Θεσμοφορίων καὶ τῶν Ἐλευσινίων τὰς τελετὰς Ὀρφεύς, ἀνὴρ Ὀδρύσης, εἰς τὰς Ἀθήνας ἐκόμισε, καὶ εἰς Αἴγυπτον ἀφικόμενος τὰ τῆς Ἴσιδος καὶ τοῦ Ὀσίριδος εἰς τὰ τῆς Δηοῦς καὶ τοῦ Διονύσου μετατέθεικεν ὄργια, διδάσκει μὲν Πλούταρχος ὁ ἐκ Χαιρωνείας τῆς Βοιωτίας.

134. Πλούταρχος δὲ ὁ Χαιρωνεὺς τὴν γῆν προσηγόρευεν Ἥραν, Λητὼ δὲ τὴν λήθην ἢ τὴν νύκτα, ἐν ᾗ οἷόν τινα λήθην ἡ διάνοια δέχεται.

135. Ὅτι πρώτους θεοὺς ἐνόμισαν καὶ Αἰγύπτιοι καὶ Φοίνικες καὶ μέντοι καὶ Ἕλληνες ἥλιον καὶ σελήνην καὶ οὐρανὸν καὶ γῆν καὶ τἆλλα στοιχεῖα· τοῦτο γὰρ δὴ καὶ ὁ Πλάτων καὶ ὁ Σικελιώτης Διόδωρος καὶ ὁ Χαιρωνεὺς ἐδίδαξε Πλούταρχος.

136. Καὶ δεῖ μεμνῆσθαι καὶ ὧν ὁ Χαιρωνεὺς εἶπε περὶ τοῦ τῆς προνοίας ὀνόματος, Πλάτωνος οὕτω τὴν προμήθειαν καλέσαντος.

137. Ποσότητα δὲ λέγουσιν αὐτὴν (τὴν γωνίαν) ὅσοι φασὶ τὸ πρῶτον διάστημα ὑπὸ τὸ σημεῖον εἶναι τὴν γωνίαν· ὧν καὶ Πλούταρχός ἐστιν, εἰς τὴν αὐτὴν δόξαν συνωθῶν καὶ τὸν Ἀπολλώνιον. 'δεῖ γὰρ εἶναί τι' φησί 'διάστημα πρῶτον ὑπὸ τὴν

3 ex Theodoret. Graec. Affect. I p. 468a 10 ibid. p. 515c. 'Ex libro de Daedalis Plataeensibus petitum est' Duebnerus 13 ibid. p. 510b 18 Proclus in Tim. p. 298 Schn. 21 idem in Euclid. II p. 35 ib. τὴν γωνίαν quod audiatur add. W

κλάσιν τῶν περιεχουσῶν γραμμῶν ἢ ἐπιφανειῶν.' καίτοι γε συνεχοῦς ὄντος τοῦ ὑπὸ τὸ σημεῖον διαστήματος, ἀδύνατον τὸ πρῶτον λαβεῖν· ἐπ' ἄπειρον γὰρ πᾶν διάστημα διαιρετόν, πρὸς τῷ καὶ ἐὰν ὁπωσοῦν ἀφορίσωμεν τὸ πρῶτον καὶ δι' ἐκείνου γραμμὴν ἀγάγωμεν, γίνεσθαι τρίγωνον ἀλλ' οὐ μίαν γωνίαν.

138. *Πλουτάρχῳ δὲ δοκεῖ τὸ σαφὲς καὶ λιτὸν γνήσιον εἶναι Ἀττικισμόν· οὕτω γάρ, φησίν, ἐλάλησαν οἱ ῥήτορες. Γοργίας δ' ὁ Λεοντῖνος πρῶτος τὴν νόσον ταύτην εἰς τοὺς πολιτικοὺς λόγους εἰσήγαγε τὸ ὑψηλὸν καὶ τυπικὸν ἀσπασάμενος καὶ τῇ σαφηνείᾳ λυμηνάμενος. ἥψατό τε, φησίν, ἡ νόσος αὕτη καὶ τοῦ θαυμαστοῦ Πλάτωνος.*

139. *Οἱ δὲ τὸ σαφῶς εἰπεῖν τοῦ Ἀττικισμοῦ πρότερον ἄγουσι λέγοντες 'τί τὸ κέρδος ἐκ τοῦ ἀττικίζειν, ὅταν τὰ λεγόμενα ὥσπερ ἐν σκότῳ κρύπτηται καὶ ἄλλων δέηται τῶν εἰς φῶς αὐτὰ ἀξόντων;'*

140. *Οὗτος καὶ τὸν Ἰούλιον Κᾶνον, ἕνα τῶν Στωικῶν φιλοσόφων, ἀνεῖλε· περὶ οὗ παράδοξον Ἕλλησιν, ὡς δοκῶ, πέπλασται. ἀπαγόμενος γὰρ πρὸς τὸ θανεῖν ἀταράχως λέγεταί τινι τῶν ἑταίρων Ἀντιόχῳ τοὔνομα, Σελευκεῖ, συνεπομένῳ προειπεῖν, ὡς ἐντεύξεται αὐτῷ κατὰ τὴν αὐτὴν νύκτα μετὰ τὴν*

5 *γραμμὴν* W: *γωνίαν* 8 ex Isidor. Pelus. Ep. II, 42 ib. *λιτὸν* Ruhnkenius: *λεῖον* 10 *Γοργίας δ' ὁ Λεοντῖνος* — — *Πλάτωνος*] haec verba add. Patzigius ex Isidor. l. l. 12 *τυπικὸν*] malim *τροπικὸν* 15 add. idem ex eodem Ep. IV 91 19 ex Syncell. Chron. α 37 p. 330 ib. *Κᾶνον* *: *κάνον* 20 malim *τι παράδοξον* 23 *προσειπεῖν*: corr. W

ἔξοδον, καὶ διαπορήσει τι τῶν σπουδῆς ἀξίων, καὶ ὅτι μετὰ τρεῖς ἡμέρας Ῥεκτός, εἷς τῶν ἑταίρων, ὑπὸ Γαΐου φονευθήσεται. ἃ καὶ γέγονεν, τοῦ μὲν ἀναιρεθέντος τριταίου, τοῦ δ' Ἀντιόχου τὴν ἐποψίαν εἰπόντος τῆς νυκτός, ὅτι φανεὶς Ἰούλιος Κᾶνος τὰ περὶ διαμονῆς τῆς ψυχῆς καὶ καθαρωτέρου φωτὸς μετὰ τὴν ἔξοδον διηγήσατο. ταῦτα Πλούταρχος ὁ Χαιρωνεὺς ἱστορεῖ.

141. Ἐν τῷ συνδείπνῳ τῷ τοῦ Μαικήνα τράπεζα ἐγγώνιος ἦν ὑπὸ τῇ κλισίᾳ τὸ μέγεθος μεγίστη καὶ κάλλος ἄμαχος καί, οἷα εἰκός, ἐπῄνουν ἄλλοι ἄλλως αὐτήν· ὁ δὲ Ἰόρτιος, οὐκ ἔχων ὅ τι παρ' ἑαυτοῦ τερατεύσασθαι, σιγῆς γενομένης 'ἐκεῖνο δὲ οὐκ ἐννοεῖτε' εἶπεν 'ὦ φίλοι συμπόται, ὡς στρογγύλη ἐστὶ καὶ ἄγαν περιφερής'. ἐπὶ τοίνυν τῇ ἀκράτῳ κολακείᾳ, ὡς τὸ εἰκός, γέλως κατερράγη· ἐγγώνιος γὰρ ἦν καὶ οὐ στρογγύλη ἡ τοῦ Μαικήνα τράπεζα. Πλούταρχος.

142. Πλούταρχος λεπτοκάρυον προσάπτει τοῖς κλινόποσιν εἰς τὸ μὴ προσιέναι τὸν σκορπίον αὐτοῖς.

143. Ἤδη τοίνυν καὶ ἐν αὐτοῖς τοῖς Πλατωνικοῖς πολλοὶ διαστασιάζουσιν, οἱ μὲν εἰς μίαν σύνταξιν καὶ μίαν ἰδέαν τὰ εἴδη καὶ τὰ μόρια τῆς ζωῆς καὶ τὰ ἐνεργήματα συνάγοντες — — οἱ δὲ ἐκ μαχο-

9 ex Suida in ἐγγώνιος et Ἰόρτιος 11 τὸ κάλλος? 12 ὅ τι] malim τι ib. ὅτι (l. ὅ τι) ... τερατεύσαιτο W 14 εἶπεν * 19 ex Geopon. XIII 9 20 κλινοπόσιν: correxi 22 ex Stob. Ecl. Phys. p. 894. Verba ἤδη τοίνυν — — συνάγοντες ego addidi

μένων αὐτὰ συναρμόζοντες, ὥσπερ οἱ περὶ Ἀττικὸν καὶ Πλούταρχον.

144. Καὶ τηροῦσι μὲν αὐτὴν ἐπὶ τῆς οἰκείας τάξεως Πλούταρχος καὶ Πορφύριος καὶ οἱ παλαιότεροι.

145. α'. Ἀρχὴν δέ, ὡς καὶ Πλούταρχός φησιν, οὐκ ἐπεὶ δεῖταί τινων ἡμῶν ἡ φύσις καὶ χρώμεθα τούτοις, ἤδη ἐπὶ πᾶν προακτέον καὶ πρὸς πάντα τὴν ἀδικίαν. δίδωσι μὲν γὰρ καὶ παρέχει τοῖς ἀναγκαίοις τὴν ἄχρι τινὸς βλάβην (εἴ γε βλάβη τὸ λαμβάνειν τι παρὰ τῶν φυτῶν, καίτοι ζώντων μενόντων)· τὸ δ' ἐκ περιουσίας καὶ πρὸς ἡδονὴν ἀπολλύειν ἕτερα καὶ φθείρειν τῆς παντελοῦς ἦν ἀγριότητος καὶ ἀδικίας· καὶ ἡ τούτων ἀποχὴ οὔτε πρὸς τὸ ζῆν οὔτε πρὸς τὸ εὖ ζῆν ἡμᾶς ἠλάττου. εἰ μὲν γὰρ ὡς ἀέρος καὶ ὕδατος φυτῶν τε καὶ καρπῶν, ὧν ἄνευ ζῆν ἀδύνατόν ἐστιν, οὕτω φόνου ζῴων καὶ βρώσεως σαρκῶν ἐτυγχάνομεν δεόμενοι πρὸς τὸν βίον, ἀναγκαίαν ἡ φύσις συμπλοκὴν εἶχεν ἂν πρὸς ταύτην τὴν ἀδικίαν· εἰ δὲ πολλοὶ μὲν ἱερεῖς θεῶν πολλοὶ δὲ βασιλεῖς βαρβάρων ἁγνεύοντες ἄπειρα δὲ γένη ζῴων τὸ παράπαν οὐ θιγγάνοντα τῆς τοιαύτης τροφῆς ζῶσι καὶ τυγχάνουσι τοῦ κατὰ φύσιν τέλους, πῶς οὐκ ἔστιν ἄτοπος ὁ κελεύων, εἴ τισιν ἀναγκαζοίμεθα πολεμεῖν, μηδὲ οἷς ἔξεστιν εἰρηνικῶς ὁμιλεῖν, ἀλλ' ἢ πρὸς μηδὲν τῇ δικαιοσύνῃ χρωμένους ζῆν ἢ πρὸς πάντα χρωμένους μὴ

3 ex Stob. Ecl. Phys. p. 1064 ib. αὐτὴν] sc. τὴν ψυχήν 5 ex Porphyr. de Abstinent. III 18 sq. 12 ἀπολλύειν R: ἀπολαύειν 24 ἀναγκαζόμεθα Nauckius

ζῆν; ὥσπερ οὖν ἐπ' ἀνθρώπων ὁ μὲν αὐτοῦ σωτηρίας ἕνεκα καὶ παίδων καὶ πατρίδος ἢ χρήματά τινων παραιρούμενος ἢ χώραν ἐπιτρίβων καὶ πόλιν ἔχει πρόσχημα τῆς ἀδικίας τὴν ἀνάγκην, ὅστις δὲ ταῦτα δρᾷ διὰ πλοῦτον ἢ κόρον ἢ ἡδονὰς τρυφώσας καὶ ἀποπληρώσεις οὐκ ἀναγκαίων πορίζόμενος ἐπιθυμιῶν, ἄμικτος εἶναι δοκεῖ καὶ ἀκρατὴς καὶ πονηρός· οὕτω τὰς μὲν εἰς φυτὰ βλάβας καὶ πυρὸς καὶ ναμάτων ἀναλώσεις κουράς τε προβάτων καὶ γάλα βοῶν τ' ἐξημέρωσιν καὶ κατάζευξιν ἐπὶ σωτηρίᾳ καὶ διαμονῇ τοῖς χρωμένοις ὁ θεὸς δίδωσι συγγνώμων· ζῷα δ' ὑπάγειν σφαγαῖς καὶ μαγειρεύειν ἀναπιμπλαμένους φόνου, μὴ τροφῆς ἢ πληρώσεως χάριν, ἀλλ' ἡδονῆς καὶ λαιμαργίας ποιουμένους τέλος, ὑπερφυῶς ὡς ἄνομον καὶ δεινόν. ἀρκεῖ γὰρ ὅτι μηδὲν πονεῖν δεομένοις χρώμεθα προκάμνουσι καὶ μοχθοῦσιν,

'ἵππων ὄνων τ' ὀχεῖα καὶ ταύρων γονάς'

ὥς Αἰσχύλος φησίν

'ἀντίδουλα καὶ πόνων ἐκδέκτορα'

χειρωσάμενοι καὶ καταζεύξαντες.

β'. Ὁ δ' ἀξιῶν ἡμᾶς ὄψῳ μὴ χρῆσθαι βοΐ μηδὲ πνεῦμα καὶ ζωὴν διολλύντας καὶ διαφθείροντας ἡδύσματα πλησμονῆς καὶ καλλωπίσματα προτίθεσθαι

1 αὐτοῦ H: αὑτοῦ 2 παίδων καὶ idem: παίδων ἢ 4 ἔχει Valentinus: ἔχειν 12 συγγνώμων Duebnerus: συγγνώμην, quod Nauckius del. 15 ὑπερφυῶς*: ὑπερφυὲς 17 μοχθοῦσιν R: μόχθους 18 vid. Nauck. p. 65 24 προτίθεσθαι*: προστίθεσθαι aut τίθεσθαι. Nauckius ci. πορίζεσθαι

τραπέζης τίνος ἀναγκαίου πρὸς σωτηρίαν ἢ καλοῦ πρὸς ἀρετὴν ἀφαιρεῖται τὸν βίον; οὐ μὴν ἀλλὰ καὶ τοῖς ζῴοις τὰ φυτὰ παραβάλλειν κομιδῇ βίαιον· τὰ μὲν γὰρ αἰσθάνεσθαι πέφυκε καὶ ἀλγεῖν καὶ φοβεῖσθαι καὶ βλάπτεσθαι, διὸ καὶ ἀδικεῖσθαι· τοῖς δ' οὐδέν ἐστιν αἰσθητόν, οὕτως δ' οὐδὲ ἀλλότριον οὐδὲ κακὸν οὐδὲ βλάβη τις οὐδ' ἀδικία· καὶ γὰρ οἰκειώσεως πάσης καὶ ἀλλοτριώσεως ἀρχὴ τὸ αἰσθάνεσθαι, τὴν δ' οἰκείωσιν ἀρχὴν τίθενται δικαιοσύνης οἱ ἀπὸ Ζήνωνος. πῶς δ' οὐκ ἄλογον πολλοὺς τῶν ἀνθρώπων ἐπ' αἰσθήσει μόνον ζῶντας δρῶντας νοῦν δὲ καὶ λόγον οὐκ ἔχοντας, πολλοὺς δὲ πάλιν ὠμότητι καὶ θυμῷ καὶ πλεονεξίᾳ τὰ φοβερώτατα τῶν θηρίων ὑπερβεβληκότας, παιδοφόνους καὶ πατροκτόνους τυράννους καὶ βασιλέων ὑπουργούς, πρὸς μὲν τούτους οἴεσθαι δίκαιόν τι εἶναι ἡμῖν, πρὸς δὲ τὸν ἀροτῆρα βοῦν καὶ τὸν σύντροφον κύνα καὶ τὰ γάλακτι μὲν τρέφοντα κουρᾷ δὲ κοσμοῦντα θρέμματα μηδὲν εἶναι, πῶς οὐ παραλογώτατόν ἐστι;

γ'. Ἀλλ' ἐκεῖνο νὴ Δία τοῦ Χρυσίππου πιθανόν, ὡς ἡμᾶς αὑτῶν καὶ ἀλλήλων οἱ θεοὶ χάριν ἐποιήσαντο, ἡμῶν δὲ τὰ ζῷα, συμπολεμεῖν μὲν ἵππους καὶ συνθηρεύειν κύνας, ἀνδρείας δὲ γυμνάσια παρδάλεις καὶ ἄρκτους καὶ λέοντας· ἡ δ' ὗς (ἐνταῦθα γάρ ἐστι τῶν χαρίτων τὸ ἥδιστον) οὐ δι' ἄλλο τι

15 βασιλέων W: βασάνων 20 πιθανόν *: πιθανὸν ἤ, unde πιθανὸν ἦν Duebnerus. Ego delevi ἤ ut ex antecedenti ν natum 21 αὑτῶν: corr. H 24 ἄρκους: corr. Victorius

πλὴν θύεσθαι ἐγεγόνει, καὶ τῇ σαρκὶ τὴν ψυχὴν ὁ θεὸς οἷον ἅλας ἐνέμιξεν, εὐοψίαν ἡμῖν μηχανώμενος· ὅπως δὲ ζωμοῦ καὶ παραδειπνίων ἀφθονίαν ἔχωμεν, ὄστρεά τε παντοδαπὰ καὶ ἀκαλήφας καὶ γένη πτηνῶν ποικίλα παρεσκεύασεν, οὐκ ἀλλαχόθεν, ἀλλ' ὡς αὑτοῦ μέγα μέρος ἐνταῦθα τρέψας εἰς γλυκυθυμίας τὰς τιτθὰς ὑπερβαλλόμενος καὶ καταπυκνώσας ταῖς ἡδοναῖς καὶ ἀπολαύσεσι τὸν περίγειον τόπον. ὅτῳ δὴ ταῦτα δοκεῖ τι τοῦ πιθανοῦ καὶ θεῷ πρέποντος μετέχειν, σκοπείτω τί πρὸς ἐκεῖνον ἐρεῖ τὸν λόγον, ὃν Καρνεάδης ἔλεγεν, ἕκαστον τῶν φύσει γεγονότων, ὅταν τοῦ πρὸς ὃ πέφυκε καὶ γέγονε τυγχάνῃ τέλους, ὠφελεῖται· κοινότερον δὲ τὸ τῆς ὠφελείας, ἣν εὐχρηστίαν οὗτοι λέγουσιν, ἀκουστέον· ἡ δ' ὗς φύσει γέγονε πρὸς τὸ σφαγῆναι καὶ καταβρωθῆναι· καὶ τοῦτο πάσχουσα τυγχάνει τοῦ πρὸς ὃ πέφυκε καὶ ὠφελεῖται. καὶ μὴν εἰ πρὸς ἀνθρώπων χρῆσιν ὁ θεὸς μεμηχάνηται τὰ ζῷα, τί χρησόμεθα μυίαις, ἐμπίσι, νυκτερίσι, κανθάροις, σκορπίοις, ἐχίδναις, ὧν τὰ μὲν ὁρᾶν εἰδεχθῆ καὶ θιγγάνειν μιαρὰ καὶ κατ' ὀδμὰς δυσανάσχετα καὶ φθέγγεται δεινὸν καὶ ἀτερπές, τὰ δ' ἄντικρυς ὀλέθρια τοῖς τυγχάνουσιν; φαλαίνας τε καὶ πρίστεις καὶ τὰ ἄλλα κήτη, 'ἃ μυρία βόσκειν' Ὅμηρός φησιν

1 corr. vid. γεγόνει 6 αὑτοῦ W: αὐτοῦ 7 ὑπερβαλόμενος R 13 τέλους] abesse mavult Nauckius ib. τὸ Abreschius 15 δ'] γε Piccolos 21 ὀσμὰς Nauck. 23 ἐντυγχάνουσιν R. Malim προστυγχάνουσιν vel θιγγάνουσιν ib. τε] corr. vid. δὲ aut praegresso signo interrog. deleto continuanda oratio 24 Ὅμηρος] μ 97

'ἀγάστονον Ἀμφιτρίτην', τί οὐκ ἐδίδαξεν ἡμᾶς ὁ δημιουργός, ὅπῃ χρήσιμα τῇ φύσει γέγονε; εἰ δ' οὐ πάντα φασὶν ἡμῖν καὶ πρὸς ἡμᾶς γεγονέναι, πρὸς τῷ σύγχυσιν ἔχειν πολλὴν καὶ ἀσάφειαν τὸν διορισμὸν οὐδὲ ἐκφεύγομεν τὸ ἀδικεῖν, ἐπιτιθέμενοι καὶ χρώμενοι βλαβερῶς τοῖς οὐ δι' ἡμᾶς ἀλλ' ὥσπερ ἡμεῖς κατὰ φύσιν γεγενημένοις. ἐῶ λέγειν ὅτι τῇ χρείᾳ τὸ πρὸς ἡμᾶς ὁρίζοντες οὐκ ἂν φθάνοιμεν ἑαυτοὺς ἕνεκα τῶν ὀλεθριωτάτων ζῴων, οἷα κροκόδειλοι καὶ φάλαιναι καὶ δράκοντες, γεγονέναι συγχωροῦντες. ἡμῖν μὲν γὰρ οὐδὲν ἀπ' ἐκείνων ὑπάρχει τὸ παράπαν ὠφελεῖσθαι· τὰ δὲ ἁρπάζοντα καὶ διαφθείροντα τοὺς παραπίπτοντας ἀνθρώπους βορᾷ χρῆται, μηδὲν ἡμῶν κατὰ τοῦτο δρῶντα χαλεπώτερον, πλὴν ὅτι τὰ μὲν ἔνδεια καὶ λιμὸς ἐπὶ ταύτην ἄγει τὴν ἀδικίαν, ἡμεῖς δ' ὕβρει καὶ τρυφῆς ἕνεκα, παίζοντες πολλάκις ἐν θεάτροις καὶ κυνηγεσίοις, τὰ πλεῖστα τῶν ζῴων φονεύομεν.

146. α'. Τὰ δὲ παρ' Ὁμήρῳ περὶ τῆς Κίρκης λεγόμενα θαυμαστὴν ἔχει τῶν περὶ ψυχὴν θεωρίαν. λέγεται γὰρ οὕτως

'οἱ δὲ συῶν μὲν ἔχον κεφαλὰς φωνήν τε τρίχας τε
καὶ δέμας· αὐτὰρ νοῦς ἦν ἔμπεδος ὡς τὸ πάρος περ'.

ἔστι τοίνυν ὁ μῦθος αἴνιγμα τῶν περὶ ψυχῆς ὑπό τε Πυθαγόρου λεγομένων καὶ Πλάτωνος, ὡς ἄφθαρτος οὖσα τὴν φύσιν καὶ ἀίδιος οὔτε μὴν ἀπαθὴς

3 καὶ πρὸς] καὶ δι' W 18 v. sequentia in Moral. p. 993 sq. 19 ex Stob. Eclog. p. 1046 addidi 22 v. Hom. κ 239

οὐδ' ἀμετάβλητος, ἐν ταῖς λεγομέναις φθοραῖς καὶ τελευταῖς μεταβολὴν ἴσχει καὶ μετακόσμησιν εἰς ἕτερα σωμάτων εἴδη, καθ' ἡδονὴν διώκουσα τὸ πρόσφορον καὶ οἰκεῖον ὁμοιότητι καὶ συνηθείᾳ βίου διαίτης· ἔνθα δὴ τὸ μετὰ παιδείας ἑκάστῳ καὶ φιλοσοφίας ὄφελος, ἂν μνημονεύουσα τῶν καλῶν ἡ ψυχὴ καὶ δυσχεραίνουσα τὰς αἰσχρὰς καὶ παρανόμους ἡδονὰς δύνηται κρατεῖν καὶ προσέχειν αὐτῇ καὶ φυλάττειν, μὴ λάθῃ θηρίον γενομένη καὶ στέρξασα σώματος οὐκ εὐφυοῦς οὐδὲ καθαροῦ πρὸς ἀρετὴν φύσιν ἄμουσον καὶ ἄλογον καὶ τὸ ἐπιθυμοῦν ἢ θυμούμενον μᾶλλον ἢ τὸ φρόνιμον αὔξοντος καὶ τρέφοντος. αὐτῆς γὰρ τῆς μετακοσμήσεως εἱμαρμένη καὶ φύσις ὑπὸ Ἐμπεδοκλέους δαίμων ἀνηγόρευται ‘σαρκῶν ἀλλογνῶτι περιστέλλουσα χιτῶνι’ καὶ μεταμπίσχουσα τὰς ψυχάς. Ὅμηρος δὲ τὴν ἐν κύκλῳ περίοδον καὶ περιφορὰν παλιγγενεσίας Κίρκην προσηγόρευκεν, Ἡλίου παῖδα τοῦ πᾶσαν φθορὰν γενέσει καὶ γένεσιν αὖ πάλιν φθορᾷ συνάπτοντος ἀεὶ καὶ συνείροντος. Αἰαίη δὲ νῆσος ἡ δεχομένη τὸν ἀποθνήσκοντα μοῖρα καὶ χώρα τοῦ περιέχοντος, εἰς ἣν ἐμπεσοῦσαι πρῶτον αἱ ψυχαὶ πλανῶνται καὶ ξενοπαθοῦσι καὶ ὀλοφύρονται καὶ οὐκ ἴσασιν ὅπῃ ζόφος ‘οὐδ' ὅπῃ ἠέλιος φαεσίμβροτος εἶσ' ὑπὸ

1 *οὐδ'*] corrig. aut hic *οὔτ'* aut antea *οὔτι μὴν* 4 *βίου καὶ διαίτης*? cf. Aeschin. 2, 146 5 *μετὰ*] *μέγα*? 6 *ἀναμνημονεύουσα* et deinde *δύναται* Meinekius male 8 *αὐτῇ* Heerenius: *αὐτῆς*. Fort. corr. *αὑτῆς* et reponendum post *κρατεῖν* 10 *ἀφυοῦς*: corr. idem 11 *ἢ*] malim *καὶ* 14 *Ἐμπεδοκλέους*] vid. Mullach. Fr. vs. 414 24 vid. Hom. ω 191

γαῖαν'· ποθοῦσαι δὲ καθ' ἡδονὰς τὴν συνήθη καὶ σύντροφον ἐν σαρκὶ καὶ μετὰ σαρκὸς δίαιταν ἐμπίπτουσιν αὖθις εἰς τὸν κυκεῶνα τῆς γενέσεως, μιγνύσης εἰς ταὐτὸ καὶ κυκώσης ὡς ἀληθῶς ἀίδια καὶ θνητὰ καὶ φρόνιμα καὶ παθητὰ καὶ ὀλύμπια καὶ γηγενῆ, θελγόμεναι καὶ μαλασσόμεναι ταῖς ἀγούσαις αὖθις ἐπὶ τὴν γένεσιν ἡδοναῖς, ἐν ᾧ δὴ μάλιστα πολλῆς μὲν εὐτυχίας αἱ ψυχαὶ δέονται πολλῆς δὲ σωφροσύνης, ὅπως μὴ τοῖς κακίστοις ἐπισπόμεναι καὶ συνενδοῦσαι μέρεσιν ἢ πάθεσιν αὐτῶν κακοδαίμονα καὶ θηριώδη βίον ἀμείψωσιν. ἡ γὰρ λεγομένη καὶ νομιζομένη τῶν ἐν Ἅιδου τρίοδος ἐνταῦθά που τέτακται περὶ τὰ τῆς ψυχῆς σχιζομένη μέρη, τὸ λογιστικὸν καὶ θυμοειδὲς καὶ ἐπιθυμητικόν, ὧν ἕκαστον ἀρχὴν ἐξ αὑτοῦ καὶ ῥοπὴν ἐπὶ τὸν οἰκεῖον βίον ἐνδίδωσι. καὶ οὐκέτι ταῦτα μῦθος οὐδὲ ποίησις ἀλλ' ἀλήθεια καὶ φυσικὸς λόγος. ὧν μὲν γὰρ ἐν τῇ μεταβολῇ καὶ γενέσει τὸ ἐπιθυμητικὸν ἐξανθοῦν ἐπικρατεῖ καὶ δυναστεύει, τούτοις εἰς ὀνώδη σώματα καὶ βίους θολεροὺς καὶ ἀκαθάρτους ὑπὸ φιληδονίας καὶ γαστριμαργίας φησὶ γενέσθαι τὴν μεταβολήν. ὅταν δὲ φιλονεικίαις σκληραῖς καὶ φονικαῖς ὠμότησιν ἔκ τινος διαφορᾶς ἢ δυσμενείας ἐξηγριωμένον ἔχουσα παντάπασιν ἡ ψυχὴ τὸ θυμοειδὲς εἰς δευτέραν γένεσιν ἀφίκηται, πλήρης οὖσα

3 κυκεωνῶ: corr. Canterus 4 ταὐτὸ *: τὸ αὐτὸ 6 θελγόμενα καὶ μαλασσόμενα: corr. Meinekius 10 συνδοῦσαι: corr. Canterus. ἐνδοῦσαι Meinekius 19 εἰς ὀνώδη Canterus: ισον (sic) ὠθῆ 21 malim γίνεσθαι 22 φοινικαῖς: corr. Meinekius

προσφάτου πικρίας καὶ βαρυφροσύνης ἔρριψεν ἑαυτὴν εἰς λύκου φύσιν ἢ λέοντος, ὥσπερ ὄργανον ἀμυντικὸν τὸ σῶμα τῷ κρατοῦντι προϊεμένη πάθει καὶ περιαρμόσασα. διὸ δεῖ μάλιστα περὶ τὸν θάνατον ὥσπερ ἐν τελετῇ καθαρεύοντα παντὸς ἀπέχειν πάθους φαύλου τὴν ψυχὴν καὶ πᾶσαν ἐπιθυμίαν χαλεπὴν κοιμήσαντα καὶ φθόνους καὶ δυσμενείας καὶ ὀργὰς ἀπωτάτω τιθέμενον τοῦ φρονοῦντος ἐκβαίνειν τοῦ σώματος. οὗτος ὁ χρυσόρραπις Ἑρμῆς ἀληθῶς ὁ λόγος ἐντυγχάνων καὶ δεικνύων ἐναργῶς τὸ καλὸν ἢ παντάπασιν εἴργει καὶ ἀνέχει τοῦ κυκεῶνος, ἢ πιοῦσαν ἐν ἀνθρωπίνῳ βίῳ καὶ ἤθει διαφυλάσσει πλεῖστον χρόνον, ὡς ἀνυστόν ἐστι.

. β΄. Πάλιν αἰνιττόμενος ὅτι ταῖς τῶν εὐσεβῶς βεβιωκότων ψυχαῖς μετὰ τὴν τελευτὴν οἰκεῖός ἐστι τόπος ὁ περὶ τὴν σελήνην, ὑπεδήλωσεν εἰπών

'ἀλλά σ' ἐς ἠλύσιον πεδίον καὶ πείρατα γαίης
ἀθάνατοι πέμψουσιν, ὅθι ξανθὸς Ῥαδάμανθυς',

ἠλύσιον μὲν πεδίον εἰκότως προσειπὼν τὴν τῆς σελήνης ἐπιφάνειαν ὑφ' ἡλίου καταλαμπομένην, 'ὅτ' ἀέξεται ἁλίου αὐγαῖς' ὥς φησι Τιμόθεος, πέρατα δὲ γῆς τὰ ἄκρα τῆς νυκτός, ἣν σκιὰν τῆς γῆς εἶναι λέγουσιν οἱ μαθηματικοί, πολλάκις ἐπιψαύουσαν τῆς

1 βαρυφροσύνης Heerenius: βαρυφρόνης 4 δεῖ Canterus: δὴ 9 οὗτος] malim οὕτως 10 ἀληθῶς δ' ὁ λόγος? 11 ἀνέχει Heerenius, ἀναχαιτίζει Meinekius 15 ex Stob. Eclog. p. l. addidi 18 vid. Hom. δ 563 22 Τιμόθεος] vid. Bergk. 3 p. 620 ib. αὔξεται ἡλίου: corr. Meinekius

σελήνης, ὡς τοῦτο τῆς γῆς πέρας ἐχούσης, οὗ τῇ σκιᾷ μακρότερον οὐκ ἐξικνεῖται.

147. Ἥ τε γὰρ αἴγειρος, ὥς φασιν ἄλλοι τε καὶ Πλούταρχος, φιλοπενθὴς καὶ εὐτελὴς πρὸς καρπογονίαν. διὸ καὶ Σοφοκλῆς ἔν τισι φησιν

'οὐ χρή ποτ' ἀνθρώπων μέγαν ὄλβον ἀπο-
βλέψαι· τανυφλοίου γὰρ ἰσαμέριος ὅσ-
τις αἰγείρου βιοτὰν ἀποβάλλει'.

148. Ἥ τε ἰτέα αὔτη τὸν καρπὸν ἀποβάλλει πρὶν ἐκθρέψαι· διό 'ὠλεσίκαρπον' αὐτὴν ὁ ποιητὴς ὀνομάζει. καὶ μέντοι ἱστόρηται ὡς μετὰ οἴνου δοθεὶς ὁ ταύτης καρπὸς ἀγόνους ποιεῖ τοὺς πιόντας καὶ κατασβέννυσι τὸ σπέρμα καὶ μαραίνει τὴν γόνιμον ὁρμήν.

149. Τοῦ Πλουτάρχου. Οἱ βραχυσώματοι τῶν μεγαλοσωμάτων φρονιμώτεροι, ὅτι συσφίγγεται ἐν τούτοις ἡ ψυχὴ καὶ οἷον εὔτονός ἐστιν ἐν ὅλῳ τῷ σώματι, ἐπ' ἐκείνων δ' ἐκλύεται. — Μωροί τινες φρονίμους τίκτουσι παῖδας, διότι ἐν ταῖς συνουσίαις ὑπὸ τῆς ἡδονῆς νικώμενοι ἐνθουσιῶσι καὶ βάκχοι γίνονται. φρόνιμοι δέ τινες μωροὺς τίκτουσι παῖδας διὰ τὸ ἐναντίον τῆς προαιρετικῆς αἰτίας. —

3 ex Stob. Flor. 105, 57 add. sed alio loco (p. 55) W 4 ἀτελὴς? 5 Σοφοκλῆς] vid. Nauck. p. 261 ib. ἔν τισι] ἐν Τηρεῖ idem. ἐν Ποιμέσι? 6 ἄνθρωπον Gleditschius 7 ὅστις] φύλλοισιν idem 9 addidi ex Stob. Flor. 101, 21. cf. Theophr. H. Pl. 3, 1, 3 ib. αὔτη] λύπη? 13 ex codice Vaticano (n. 1144) deprompsi 20 ἐνθουσιῶσι *: ἔνθους οἷον

Τῶν ἀγρίων ζῴων ἡ κόπρος ἧττον δυσωδεστέρα διὰ τὸ εἶναι ξηροτέρα καὶ ἀποίκιλος καὶ διὰ τὴν κίνησιν ἣν κινοῦνται. — Τὰ ἔμπροσθεν τῆς κεφαλῆς φαλακροῦνται διὰ τὸ εἶναι μαλακὰ καὶ ἀραιότερα· τῆς γὰρ τριχὸς ὑπὸ τῆς φυσικῆς ξηρότητος ἀτροφούσης ἑτοίμως ἡ φαλάκρωσις γίνεται· διὰ τοῦτο καὶ οἱ οὐλότριχες φαλακροῦνται μᾶλλον τῶν ἄλλων. οἱ οὐλότριχες οὐ πολιοῦνται θᾶττον τῆς ξηρότητος ἐκδαπανώσης τὰ φλεγματώδη περιττώματα. — Οἱ κνηστιῶντες τὸ ἄγαν ζῷον φιλοῦσι διὰ τὸ πνεῦμα τὸ τὸν κνησμὸν ποιοῦν παχὺ εἶναι καὶ ψυχρὸν καὶ δυσαίσθητον ἀποτελεῖν τὸ δέρμα. — Οἵ τε λυπούμενοι καὶ οἱ χαίροντες δακρύουσιν· οἱ μὲν διὰ τὴν πύκνωσιν καὶ ψῦξιν τῶν πόρων, οἱ δὲ τοὐναντίον διὰ τὴν ἀραιότητα τῶν πόρων. — Οἱ βλέποντες χασμωμένους χασμῶνται διὰ τὸ τὴν φύσιν εἶναι ὁμοιοπαθῆ. πλέον δὲ γίνεται τοῦτο ἐπὶ τῶν ἀλόγων· οὐροῦντος γὰρ ὄνου καὶ οἱ ἄλλοι βλέποντες οὐροῦσιν. — Οἱ ὀφθαλμιῶντες οὐ μεταλαμβάνουσιν ὑγιείας ἐξ ὑγιαινόντων ὀφθαλμῶν ἀλλὰ μᾶλλον παρέχουσι τούτοις ὀφθαλμίασιν, ὅτι ἡ ὑγίεια ἐκ συμμέτρου ἐστὶ κράσεως ἡ δὲ νόσος ἐξ ἀμέτρου δυσκρασίας, ῥᾷον δ' ὑπὸ τοῦ ἀμέτρου τὸ σύμμετρον τρέπεται. — Ὅσοι ξηρότεροι διψῶν-

1 *δυσώδης?* 7. 8 *οἱ ἰουλότριχες* (bis) codex 10 *τὸ ἄγαν ζῷον*] *τὸ ἄγαν ξέον?* 11 *κνησμὸν* *: *κνϊσμὸν* ib. *παχὺ* scripsi (ex Alex. Aphrod. Probl. 1: *τὸ ποιῶν* [l. *ποιοῦν*] *τὸν κνησμὸν φλέγμα παχὺ καὶ ψυχρόν*): *ταχὺ* 15 *: *τὸ ἐναντίον* 20 *ὑγιείας* *: *ὑγείας* hic et infra

τες ὑπὸ τοῦ λουτροῦ ὑγραινόμενοι γίνονται ἄδιψοι, ὅσοι δ' ὑγρότεροι μὴ διψῶντες ἐγχρονίσαντες τῷ θερμῷ τῇ τῶν ἱδρώτων διαφορήσει διψώδεις ἀποτελοῦνται. — Τῶν ῥάφανον ἐσθιόντων ὅσοις μὲν ἡ κοιλία καὶ ὁ στόμαχός ἐστιν ἀπέρατος μοχθηρῶν χυμῶν καὶ μάλιστα φλεγματικῶν, ἐκείνοις καὶ ἡ ἐρυγὴ καθαρά ἐστιν· ὅσοις δὲ μή, δυσώδης. — Τὰ βρέφη γεννηθέντα κλαίει ἀπαλλαγέντα τῆς θερμότητος ἢ ἐκπληττόμενα τῷ φωτί. — Οὐχ ὁρῶμεν τὴν νύκτα διὰ τὸ τὸ ὀπτικὸν πνεῦμα παχύνεσθαι τῷ ψυχρῷ ἀέρι· ὅπερ αἰλούροις καὶ νυκτερίσι καὶ γλαυξὶν οὐ γίνεται, ἀλλὰ τοὐναντίον μᾶλλον· διότι τὸ ὀπτικὸν πνεῦμα λεπτότατον καὶ διαυγέστατον ἔχουσι, καὶ ἐν μὲν νυκτὶ μετρίως παχυνόμενον ἐπιτήδειον γίνεται πρὸς τὸ ὁρᾶν, ἐν δὲ τῇ ἡμέρᾳ καὶ τῷ λαμπροτάτῳ φωτὶ ἄγαν λεπτυνόμενον διαφορεῖται καὶ σκεδάννυται. — Ὁ ἥλιος τὴν ἐν τῷ βάθει ὑγρότητα τοῦ κηροῦ ἕλκων μαλακὸν ποιεῖ, τὴν δ' ἐπιπολῆς ὑγρότητα τοῦ πηλοῦ βοσκόμενος σκληρύνει. — Εὐνοῦχοι καὶ γυναῖκες καὶ παῖδες ὀξύφωνοι, ὅτι διὰ τὴν πολλὴν ὑγρότητα εἰς εὖρος αὐτοῖς ἡ ἀρτηρία οὐκ ἐπιτείνεται. — Τὰ ἄχυρα καὶ θερμὸν ὕδωρ φυλάττει καὶ χιόνα ψυχράν, ὅτι ἡ φύσις αὐτῶν χωρίς ἐστι ποιότητος καὶ εὐκόλως συμμεταβάλλεται οἷς ἂν ὁμιλήσῃ, ταχέως τὴν κρᾶσιν ἐκείνων λαμβά-

5 ἀπείρατος? 12 *: τὸ ἐναντίον 19 βοσκόμενος *: βοσκόμενον 21 αὐτοῖς *: αὐτῆς 24 συμμεταβάλλεται *: συμβάλλεται

νοντα. θερμανθέντα τοίνυν ὑπὸ τῆς τοῦ θερμοῦ προσομιλίας ἀντιθερμαίνουσιν αὐτό, οὕτω καὶ ψυχρανθέντα. — Οἱ μεθύοντες ὑπὸ τοῦ πολλοῦ ὑγροῦ τοὺς μύας πληρούμενοι διαστρέφονται τοὺς ὀφθαλμούς, τὸν μὲν ἄνω πολλάκις τὸν δὲ κάτω, καὶ συμβαίνει διὰ τοῦτο ἀντὶ ἁπλῶν διπλᾶ ὁρᾶν. — Τὸ ἔλαιον γλίσχρον ὂν καὶ ἡνωμένον πρὸς ἑαυτὸ οὐ διαιρεῖται εἰς ἄτομα οὐδ' ὑγροῖς ἑτέροις ἀναμίγνυται. — Οἱ ἐκ γενετῆς κωφοὶ καὶ βωβοί εἰσι διὰ τὸ μίαν εἶναι συζυγίαν νεύρων πρός τε γλῶτταν καὶ ὦτα· ἢ ὅτι ἅπερ οὐκ ἤκουσαν μηδὲ λαλεῖν μεμαθήκασι. — Τῶν λυπουμένων οἱ ὀφθαλμοὶ κοῖλοι διὰ τὴν συνίζησιν τοῦ σώματος, τῶν δὲ θυμουμένων ἔξογκοι διὰ τὴν εἰς τὸ ἔξω ὁρμήν. — Τῶν ζῴων ὅσα μὲν ὀλιγοχρόνια πολυτόκα, ὅσα δὲ μὴ τοὐναντίον.

150. *Διὰ τί μὴ συνίσταται νέφη ἐν τῷ πολὺ τῆς γῆς ὑπερανεστηκότι τόπῳ; ὅτι γὰρ οὐ συνίσταται, ἐκ τῆς μακρᾶς ἱστορίας ἐστὶ δῆλον· τὰ γὰρ ὑψηλότατα τῶν ὀρῶν ὑπερνεφῆ τ' ἐστὶ καὶ ὑπερήνεμα. τέφραν γὰρ ἔν τισι τούτων ἀποθέμενοί τινες ἢ καὶ ἐκ θυσιῶν τῶν ἐν ἐκείνοις γενομένων ἀπολελοιπότες, μετὰ πλείστους ἐνιαυτοὺς περιεργασάμενοι, κειμένην εὗρον αὐτὴν οὕτως ὡς ἔθεσαν. καὶ ἐν Κυλλήνῃ δέ φασιν (Ἀρκαδίας δ' ὄρος) βλη-*

1 *θερμανθέντα* *: *θερμαθέντα* 2 *αὐτό* *: *αὐτῷ* 4 post *ὀφθαλμούς* plene (: ~) distinxit codex 15 *πολυτόκα* *: *πολύτοκα* 17 ex Philopono in Aristot. Meteor. I p. 82

θεῖσαν μήτε ὑπὸ πνευμάτων διεσκεδασμένην. ἱστορεῖ δὲ Πλούταρχος καὶ γράμματα μεῖναι εἰς ἑτέραν τῶν ἱερείων ἀνάβασιν ἐκ τῆς προτέρας ἐν τῷ Ὀλύμπῳ τῷ Μακεδονικῷ. ἀλλὰ καὶ οἱ τὰ τοιαῦτα τῶν ὀρῶν διοδεύοντες, ὡς καὶ ἐμοί τις τὸν Ὄλυμπον διοδεύσας ἔλεγε, κατωτέρω τῆς πορείας αὐτῶν τὰς τῶν νεφῶν γινομένας συστάσεις καὶ ὑετὸν συνιστάμενον ἀστραπῶν τε ἔλλαμψιν καὶ κτύπου βροντὴν ἤκουον φερομένου κάτωθεν· καὶ ἁπλῶς ὅσα συμβαίνουσιν ἐκ τῆς τῶν νεφῶν συγκρίσεως καὶ ἡμῖν ἄνω γενόμενα φαίνεται, ἐκείνων κατωτέρω συνίσταται. καίτοι γ' οὐδὲ πολύ τι τῆς γῆς τὰ ὑψηλότατα τῶν ὀρῶν ὑπερῆρται. οἱ γὰρ τῆς μηχανικῆς ἐπιστήμονες τέχνης, διὰ τῶν ὀργάνων, δι' ὧν τὰ ὄρη μετρεῖν εἰώθασιν, εὑρόντες τούτων τὰ ὕψη, τὰ μέγιστά φασι τῶν ὀρῶν δέκα καὶ δύο σταδίων ἔχειν τὴν κάθετον.

151. Ψυχροί τινες τὴν φύσιν οἱ τέττιγες· διὸ μετὰ θερινὰς τροπὰς ἀπάρχονται τῆς ᾠδῆς· καὶ ἡλίου ἀπερχομένου τὸν ἑαυτῶν μεθιᾶσι κέλαδον· ὥστε μεσημβρίας εἰσὶν ᾠδικώτεροι. τέττιξ γοῦν θήλεια κατὰ πολὺ ψυχροτέρα τοῦ ἄρρενος καὶ φύσις αὐτῇ τὴν σιωπὴν ἐγκελεύεται, ἐπίτασιν ἐντιθεῖσα ψυχρότητος· διὸ κωτίλος τέττιξ οὐκ ἔστι θή-

1 post *διεσκεδασμένην* fort. deest aliquid 13 *ὑπερῆρται* *: *ὑπῆρται* 18 ex Apostol. Prov. XVI 39 et Theophylact. Quaest. XIII 20 *ἑαυτῶν*] *ἡδυμελῆ* Theophylactus ib. *μεθιᾶσι* W: *μεθίασι* cf. Ael. N. A. 1, 20 21 *ὥστε*] *ὥρᾳ τε* Theophylactus

λυς, ἀλλ' οἷά τις Θεανὼ σιωπῶσα τὰ ἄρρητα. Πλουτάρχου.

152. *Φειδόμενον κρεῖττον ἀποθανεῖν ἢ ζῶντα ἐνδεῆ εἶναι.*

1 *Πλουτάρχου*] 'quod in fine Z adiecit *Πλουτάρχου* in errorem induxit Iacobsium in ann. ad Ael. N. A. 1, 29: ex Plutarcho in hoc loco nihil ductum esse iam Wytt. perspexerat' Leutschius

---

XXXV.

INSTITUTIO TRAJANI.

EPISTOLA AD TRAJANUM.

I. *Plutarchus Trajano Salutem Dicit.* Modestiam tuam noveram non appetere principatum, quem tamen semper morum elegantia mereri studuisti. Quo quidem tanto dignior judicaris, quanto a crimine ambitionis videris esse remotior. Tuae itaque virtuti congratulor et fortunae meae, si tamen recte gesseris quem probe meruisti. Alioquin te periculis et me detrahentium linguis subjectum iri non dubito, quum et ignaviam Imperatorum Roma non ferat et sermo publicus delicta discipulorum refundere soleat in praeceptores. Sic Seneca Neronis sui merito detrahentium carpitur linguis, adolescentium suorum temeritas in Quintilianum refunditur, et Socrates in pupillum suum clementior fuisse crimi-

3 Ex Ioannis Sarisberiensis Policratico, lib. V—VIII. Sententia Wytt. haec est: Librum ab incerto homine Latinum fuisse factum e Graeco, Graecum fuisse consarcinatum e Plutarcheis *Apophthegmatibus* et aliis Plutarchi libris: ‘nam Latina quamvis inficeta interpretatio tamen habet rerum satis certa indicia, quae Plutarchum prodant: ex his igitur liciniis aliquis posterior Graeculus istam *regiam Institutionem Traiani* sub nomine Plutarchi composuit’

natur. Tu vero quidvis rectissime geres, si non recesseris a te ipso. Si primum te composueris, si tua omnia disposueris ad virtutem, recte tibi procedent universa. Politicae constitutionis majorum vires tibi expressi: cui si obtemperas, Plutarchum vivendi habes auctorem. Alioquin praesentem epistolam testem invoco, quia in perniciem imperii non pergis auctore Plutarcho.

II. Est ergo primum omnium, ut princeps se totum metiatur et quod in toto corpore rei publicae, cuius vice fruatur, diligenter advertat. Est autem res publica (sicut Plutarcho placet) corpus quoddam, quod divini muneris beneficio animatur et summae aequitatis agitur nutu et regitur quodam moderamine rationis. Ea vero, quae cultum religionis in nobis instituunt et informant et Dei (ne secundum Plutarchum *deorum* dicam) caeremonias tradunt, vicem animae in corpore rei publicae obtinent. Illos vero, qui religionis cultui praesunt, quasi animam corporis suspicere et venerari oportet. Quis enim sanctitatis ministros Dei ipsius vicarios esse ambigit? Porro, sicut anima totius habet corporis principatum, ita et hi, quos ille religionis praefectos vocat, toti corpori praesunt. Augustus Caesar eo usque sacrorum pontificibus subjectus fuit, donec

9 Sarisberiensis praemittit haec: *Sequuntur ejusdem politicae constitutionis capitula . . . quae pro parte praesenti opusculo curavi inserere, ita tamen, ut sententiarum vestigia potius imitarer quam passus verborum.*

et ipse, ne cui omnino subesset, Vestalis creatus est pontifex et paulo post ad deos relatus est vivus. Princeps vero capitis in re publica obtinet locum, uni subjectus Deo et his qui vices illius agunt in terris: quoniam et in humano corpore ab anima vegetatur caput et regitur. Cordis locum senatus obtinet, a quo bonorum operum et malorum procedunt initia. Oculorum, aurium et linguae officia sibi vindicant judices et praesides provinciarum. Officiales et milites manibus coaptantur. Qui semper adsistunt principi, lateribus assimilantur. Quaestores et commentarienses (non illos dico qui carceribus praesunt, sed comites rerum privatarum) ad ventris et intestinorum refert imaginem: quae si immensa aviditate congesserint et congesta tenacius reservaverint, innumerabiles et incurabiles generant morbos, ut vitiis eorum totius corporis ruina immineat. Pedibus vero solo jugiter inhaerentibus agricolae coaptantur: quibus capitis providentia tanto magis necessaria est, quo plura inveniunt diverticula, dum in obsequio corporis in terra gradiuntur, eisque justius tegumentorum debetur suffragium, qui totius corporis erigunt, sustinent et promovent molem. Pedum adminicula robustissimo corpori tolle: suis viribus non procedet, sed aut turpiter inutiliter et moleste manibus repet, aut brutorum animalium more movebitur.

27 more W: ope. Subiungit Sarisberiensis: *Ponit in hunc modum more suo quam plurima, quae diligentius diffu-*

III. In summa ergo quatuor sunt, quae nititur rei publicae principibus inculcare: reverentiam Dei, cultum sui, disciplinam officialium et potestatum, affectum et protectionem subditorum. Deum ergo in primis asserit honorandum: deinde se ipsum colendum unicuique: post, ut doctrinam praepositi totius disciplina domus redoleat: et tandem universitas subjectorum de capitis praepositorum sibi incolumitate laetetur. Magnorum quoque virorum strategematibus et strategematicis utitur.

IV. Ego in hoc, sicut et in plurimis, Plutarchum censeo audiendum, qui deam caecam (*fortunam*) colendam esse negat, asserens eam nisi e caecis coli non posse. Multa quoque proponit exempla, quibus liquet omnes caecae deae cultores caecatos et praecipitatos tandem in foveam exterminii. Testatur hoc Galba, qui totam aetatem luculenter producens in senium hujus deae familiaritate et cultu in brevi elatus et in breviori praecipitatus est. Qualiter autem apud Suetonium quaere.

uno, superat tantum virtutis, quantum in altero est, perspicuum est eundem modum magnitudinis et virtutis aequabilem esse. Cum autem istud esse non possit, manifestum est in rebus civilibus non propter omnem inaequabilitatem de magistratibus cives contendere. Nam si alii tardi sunt, alii celeres, non idcirco par est, ut hi plus, illi minus accipiant civilium bonorum: sed in gymnicis certaminibus illorum contentio pretium aufert. At ex quibus constat civitas, in iis controversiam oboriri necesse est. Est igitur, cur nobiles et liberi et divites de honore contendant. Cives enim liberos esse et ex censu in aerarium pecuniam ferre oportet. Non enim si pauperes tenuesque sint omnes aut servi, constet civitas. Atqui si his opus est, non est dubium quin et iustitia atque bellica virtute sit opus, propterea quod fieri non potest, ut illa si desint, habitetur retineaturque civitas. Veruntamen sine prioribus civitas esse, sine his pulchre frequentari non potest. Ut sit igitur civitas, aut haec omnia aut aliqua non iniuria de bono maiore contendunt. Ut autem bene vivatur, disciplina virtusque, quemadmodum prius est dictum, optimo iure de ampliore praemio certare possit. Quod igitur nec ex omnibus aequabilem capere partem debent ii, qui tantum in una aliqua re sunt pares, nec inaequabilem, qui in uno sunt impares, necesse est eas res publicas, in quibus inest hoc mali, a recta via deflectere. Sed et antea diximus cives omnes

ἐλεύθεροι καὶ εὐγενεῖς, ὡς ἐγγὺς ἀλλήλων· πολῖται γὰρ μᾶλλον οἱ γενναιότεροι τῶν ἀγεννῶν, ἡ δ' εὐγένεια παρ' ἑκάστοις οἴκοι τίμιος. ἔτι διότι βελτίους εἰκὸς τοὺς ἐκ βελτιόνων· εὐγένεια γάρ ἐστιν ἀρετὴ γένους. ὁμοίως δὴ φήσομεν δικαίως καὶ τὴν ἀρετὴν ἀμφισβητεῖν· κοινωνικὴν γὰρ ἀρετὴν εἶναί φαμεν τὴν δικαιοσύνην, ᾗ πάσας ἀναγκαῖον ἀκολουθεῖν τὰς ἄλλας. ἀλλὰ μὴν καὶ οἱ πλείους πρὸς τοὺς ἐλάττους· καὶ γὰρ κρείττους καὶ πλουσιώτεροι καὶ βελτίους εἰσίν, ὡς λαμβανομένων τῶν πλειόνων πρὸς τοὺς ἐλάττους. ἆρ' οὖν εἰ πάντες εἶεν ἐν μιᾷ πόλει (λέγω δ' οἷον οἵ τ' ἀγαθοὶ καὶ οἱ πλούσιοι καὶ εὐγενεῖς, ἔτι δὲ πλῆθος ἄλλο τι πολιτικόν), πότερον ἀμφισβήτησις ἔσται τίνας ἄρχειν δεῖ, ἢ οὐκ ἔσται; καθ' ἑκάστην μὲν οὖν πολιτείαν τῶν εἰρημένων ἀναμφισβήτητος ἡ κρίσις τίνας ἄρχειν δεῖ· τοῖς γὰρ κυρίοις διαφέρουσιν ἀλλήλων, οἷον ἡ μὲν τῷ διὰ πλουσίων ἡ δὲ τῷ διὰ τῶν σπουδαίων ἀνδρῶν εἶναι, καὶ τῶν ἄλλων ἑκάστη τὸν αὐτὸν τρόπον. ἀλλ' ὅμως σκοποῦμεν, ὅταν περὶ τὸν αὐτὸν ταῦθ' ὑπάρχῃ χρόνον, πῶς διοριστέον. εἰ δὴ τὸν ἀριθμὸν εἶεν ὀλίγοι πάμπαν οἱ τὴν ἀρετὴν ἔχοντες, τίνα δεῖ διελεῖν τὸν τρόπον; ἢ τὸ ὀλίγοι πρὸς τὸ ἔργον δεῖ σκοπεῖν, εἰ δυνατοὶ διοικεῖν τὴν πόλιν ἢ τοσοῦτοι τὸ πλῆθος, ὥστ' εἶναι πόλιν ἐξ αὐτῶν; ἔστι δὲ ἀπορία τις πρὸς ἅπαντας τοὺς διαμφισβητοῦντας περὶ τῶν πολιτικῶν τιμῶν. δόξαιεν γὰρ ἂν οὐδὲν λέγειν δίκαιον οἱ διὰ τὸν πλοῦτον ἀξιοῦντες

27 ἂν *

iure quodammodo de commodis, quae ex civitate percipiuntur, contendere, absoluto iure et simplici non omnes. Divites quidem se dignos honore arbitrantur, quoniam illis est plus loci. Locus autem commune quiddam: praeterea in pactis conventis saepius plus illorum fidei committitur. Quaestionem afferunt etiam liberi et nobiles, quasi ad eandem prope dignitatem accedant. Potius quidem cives habendi genere illustriores quam obscuro loco nati. Nobilitati quisque domi exhibet honorem, quia verisimile est ex melioribus prodire meliores. Nobilitas autem virtus generis est. Non aliter quoque dicemus et virtutem de principatu iure contendere. Nam virtutem, qua societas humana continetur, dicimus esse iustitiam, quam aliae necessario comitantur omnes. Sed etiam plures cives, si cum paucioribus conferuntur, videntur esse praeponendi: etenim potentiores et ditiores melioresque sunt, quandoquidem plures cum paucioribus comparantur. An igitur, si in una civitate essent omnes (dico bonos et divites et nobiles et aliam praeterea civium multitudinem), an, inquam, si una essent, ambigitur, quos oporteat imperare, an vero dubium non erit? Certe in omni re publica, de qua mentionem fecimus, ambiguum iudicium non est, quibus imperandi munus incumbat. Haec ab illa differt imperantium discrimine, ut haec, quod divitum imperio constet, illa, quod virorum bonorum, et eodem modo unaquaeque reliquarum. Veruntamen si uno

ἄρχειν, ὁμοίως δὲ καὶ οἱ κατὰ γένος· δῆλον γὰρ ὡς εἴ τις πάλιν εἷς πλουσιώτερος ἁπάντων ἐστί, δῆλον ὅτι κατὰ τὸ αὐτὸ δίκαιον τοῦτον ἄρχειν τὸν ἕνα ἁπάντων δεήσει· ὁμοίως δὲ καὶ τὸν εὐγενείᾳ διαφέροντα τῶν ἀμφισβητούντων δι' ἐλευθερίαν. ταὐτὸ δὲ τοῦτο ἴσως συμβήσεται καὶ περὶ τὰς ἀριστοκρατίας ἐπὶ τῆς ἀρετῆς. εἰ γάρ τις εἷς ἀμείνων ἀνὴρ εἴη τῶν ἄλλων τῶν ἐν τῷ πολιτεύματι σπουδαίων ὄντων, τοῦτον εἶναι δεῖ κύριον κατὰ ταὐτὸ δίκαιον. οὐκοῦν εἰ καὶ τὸ πλῆθος εἶναί γε δεῖ κύριον, διότι κρείττους εἰσὶ τῶν ὀλίγων· κἂν εἷς ἢ πλείους μὲν τοῦ ἑνὸς ἐλάττους δὲ τῶν πολλῶν κρείττους ὦσι τῶν ἄλλων, τούτους ἂν δέοι κυρίους εἶναι μᾶλλον ἢ τὸ πλῆθος. πάντα δὴ ταῦτ' ἔοικε φανερὸν ποιεῖν, ὅτι τούτων τῶν ὅρων οὐδεὶς ὀρθός ἐστι, καθ' ὃν ἀξιοῦσιν αὐτοὶ μὲν ἄρχειν τοὺς δ' ἄλλους ὑπὸ σφῶν ἄρχεσθαι πάντας. καὶ γὰρ δὴ καὶ πρὸς τοὺς κατ' ἀρετὴν ἀξιοῦντας κυρίους εἶναι τοῦ πολιτεύματος, ὁμοίως δὲ καὶ τοὺς κατὰ πλοῦτον, ἔχοιεν ἂν λέγειν τὰ πλήθη λόγον τινὰ δίκαιον.'

9. Ἐν τούτοις Ἀριστοτέλης οὐ μόνον οὐ διέβαλε τὴν εὐγένειαν, ἀλλὰ καὶ ἐπήνεσε. τῶν καλῶν εἶναί φησι τὴν εὐγένειαν, αὐτὴν δὲ καίπερ οὐκ ἀεὶ προτιμᾷ, καὶ ὅλως οὐκ ἐν τῷ αὐτῷ τῇ ἀρετῇ, μόνον δηλοῖ, ὅτι οὐκ ἀποδέχεται τὸ ἄτοπον ἐκεῖνο, κατ' ἐξοχήν, καίπερ ἐν ἄλλοις ἴσους ὄντας, ἀνίσως δεῖν τῶν ἀρχῶν μεταδίδοσθαι. τοῖν ἰσοτέχνοιν αὐληταῖν μὴ προκριτέον τὸν εὐγενέστερον ἐν τοῖς αὐλοῖς,

24 τὴν ἀρετὴν: corr. W

et eodem tempore insint haec ordinum genera, quaerunt, quonam pacto sit explicanda dirimendaque controversia et cui imperium deferendum. Quodsi omnino pauci numero sunt ii, quibus est virtus, qui erit modus explicandae controversiae? an paucitas cum munere et onere imperandi conferenda? possintne pauci administrare civitatem, an tot numero praeficiendi, ut ex illis efficiatur civitas? Atque etiam dubitationis affertur aliquid in eos omnes, qui de civitatis honoribus certant. Nam qui divitiis itemque genere freti se dignos arbitrantur imperio, nullo iure suam causam defendere videntur: quia si quis unus rursus omnium ditissimus est, unum ceteris omnibus praeesse debere eodem iure aperte ostenditur. Eodem modo si quis nobilitate excelleret, unus imperaret omnibus iis, qui libertate freti de imperio contendunt. Sed et civitatibus, quibus optimi praesunt, similis forsan orietur de virtute contentio. Nam si quis unus vir melior esset aliis, qui probi in administratione rei publicae versantur, eodem iure ceteris eum praeesse oporteret. Cum igitur multitudo, quia paucis est potentior, imperare debeat: si unus aut uno plures, sed multitudine pauciores reliquis essent potentiores, illi potius quam multitudo summae rerum praeessent. Sane haec omnia planum facere videntur nullum ex his recte praescriptum esse finem, propter quem isti volunt imperare et alios omnes a se regi. Certe enim in eos, qui nomine virtutis

οὐ γὰρ βέλτιον αὐλήσειεν ἄν, ἀλλὰ τὸν εὐτεχνότερον· τί γὰρ ἡ εὐγένεια ποιεῖ πρὸς τὴν ἐμπειρίαν τῶν αὐλῶν; ἀλλὰ μᾶλλον ἀποφαίνει τῇ πόλει χρησίμους εἶναι τοὺς εὐγενεῖς, τοὺς ἐλευθέρους, τοὺς πλουσίους, ἔτι δὲ χρησιμωτέραν τὴν δικαιοσύνην καὶ τὴν ἀνδρείαν. τέλος δέ, τί ἐκεῖνο; οὐχ ἅλις ἐμφαίνει μὴ στυφελιζομένην τὴν εὐγένειαν, ὅταν αὐτὴν ἐν τιμῇ ἔχεσθαι παρὰ πᾶσι λέγει, ὡς πιθανὸν δοκεῖν τοὺς ἐκ βελτιόνων πεφυκότας βελτίους τυγχάνειν; πῶς οὖν τῆς ὑπὸ τοῦ παντὸς ἀνθρωπίνου γένους εὐγενείας τιμωμένης ἡμεῖς καταφρονοῦμεν, διασπῶμεν, διασύρομεν; ἵνα δὲ μὴ χολὴν κινῇς ἡμῖν, οὕτω συχνάκις ἀνακληθέντος ἐκείνου τοῦ σοῦ Ἀριστοτέλους, ἢ τὰ ἐκείνων δόγματα ἀποβλητέα, ἢ τοῖς ἀγαθοῖς προσαριθμητέον τὴν εὐγένειαν, ὥσπερ καὶ τὸν πλοῦτον, καὶ πρὸς τὴν εὐδαιμονίαν συμφέρειν οὐκ ἂν δύναιο ἔξαρνος εἶναι.

10. *Πάλιν ἐκεῖνο φλυαρεῖς· 'τί γὰρ ἄλλο νομίζομεν εἶναι τὴν εὐγένειαν, εἰ μὴ παλαιὸν πλοῦτον ἢ καὶ δόξαν παλαιάν, οὐδέτερον ἐφ' ἡμῖν ὄν, ἀλλὰ τὰ μὲν τύχης ἀδήλου τὰ δ' ἀκρασίας χάριν ἀνθρω-*

1 *τοῖς εὐτεχνοτέροις*: corr. Fabricius 4 *τοὺς πλουσίους* add. Wolfius ex textu latino 6 *τί* idem: *τι* ib. *ἐκεῖνος* idem 8 noli corrigere *λέγῃ* 9 *δοκεῖν*] *δοκεῖν φ* codex, unde *δοκεῖν φησι* Grammius 11 *καταφρονοῦμεν* Wolfius: *καταφοῦμεν* 12 *κινεῖς*: corr. idem 13 *οὕτω* idem: *ὄντα* 14 *ἐκείνων*] *ἐκείνου* textus latinus 18 locum *τί γὰρ ἄλλο νομίζομεν — — περικείμενος δειλίαν* exhibet Stob. Flor. 86, 21 20 *παλαιὰν δόξαν* codex 21 *ἀκρασίας*] *ἀκρισίας* malit W cum Arsenio

administrationi rei publicae praeesse volunt, itemque in eos, qui divitiis abundantes arrogant sibi principatum, ostendere possent veram iustamque rationem ii qui in civitatibus numero plures sunt.'

9. At enim his verbis Aristoteles tantum abest ut detraxerit nobilitati, ut eam etiam ornarit. Bonum esse ait nobilitatem, quam si non semper praefert, nec plane eodem illo loco virtutem (*eodem cum virtute loco habet*), tantum indicat improbare se absurditatem eorum, qui putent, secundum praecellentiam, etsi in ceteris sint aequales, necesse esse inaequaliter magistratus dispartiri. Paribus in arte tibicinibus laudandam negat praerogativam fistularum, et (ei?) qui sit nobilior, nihilo enim melius caneret, at his qui ea in arte superexcellunt. Quid enim eo loco nobilitas facit ad peritiam fistularum? Quin potius ostendit opus esse civitati nobilibus, liberis, opulentis et multo magis iustitia et virtute bellica. Denique quid illud? num satis ostendit nihilo hic labefactatam nobilitatem, cum nobilitatem apud omnes in honore haberi ait, quasi verisimile sit ex melioribus ortos meliores? Quid igitur, quae consensu generis humani in pretio habita est nobilitas, a nobis contemnitur, convellitur, laceratur? Ac ne bilem nobis moveas, tam saepe accersito illo tuo Aristotele, aut placita eius esse repudianda, aut bonis adnumerandam nobilitatem, ut et opes, easque conducere ad vitam beatam negare non potes.

πίνης; ὥστ' ἐκ δυεῖν ἀλλοτρίων κρέμαται τὸ πεφυσημένον ὄνομα ἡ εὐγένεια. καὶ ὁ πλοῦτος μὲν οὐχ ὁμοίους αὐτῷ τοὺς γεννηθέντας ποιεῖ, ἀλλ' ὁ ἐξ ἀρετῆς γεννηθεὶς εἰκονίζεται, τῶν ἐπὶ τῆς ψυχῆς δικαίων εἰς τοὺς ἐκγόνους διαχεομένων· καὶ τοῦτ' ἔστιν ἡ ὄντως εὐγένεια, ὁμοίωσις δικαιοσύνης. ἆρ' οὖν εὐγενέστερος ἦν ὁ Μίδου πλοῦτος τῆς Ἀριστείδου πενίας; καίτοι ὁ μὲν οὐδ' ἐντάφια καταλιπών, τῷ δὲ Φρυγὶ πάντ' ἂν ἐδύνατο εἶναι τάφος. ἀλλ' οὐκ ἐν πλουσίῳ τὸ εὐγενές. πυρὸς ἔχει τινὰ τρόπον πᾶσα πονηρία· ἀμφότερα χωρὶς τροφῆς ἀφανίζεται σβεννύμενα. ἡ δὲ Σωκράτους ἀδοξία, μαίας καὶ ἑρμογλύφου πατρός, οὐκ ἦν εὐγενεστέρα τῆς Σαρδαναπάλλου δόξης; μὴ σύ γε νομίζεις ὅτι Ξέρξης εὐγενέστερος ἦν Κυνεγείρου; καίτοι ὁ μὲν ὑπὲρ τῆς ἰδίας πατρίδος ἀπεκόπη τὴν χεῖρα, ὁ δ' ὑπὲρ τοῦ ζῆν ἔφυγεν, ἀντὶ τῆς μεγάλης βασιλείας μεγάλην περικείμενος δειλίαν.'

11. Λέγεται μὲν ταῦτα μεγαλοπρεπῶς· ἐγὼ δὲ οὐχ οὕτως ἀλλότριός εἰμι τῆς ἐπιεικείας, ὥστε τιθέναι τῇ ἀρετῇ ἐναντίαν τὴν εὐγένειαν. οὐ ποιήσω, οὐ λέξω· τὸ δὲ τῆς εὐγενείας ὄνομα κενὸν εἶναι μηδαμῶς συμφήσω· οὐχ ἧττον ἂν ὡς ἄχρηστα τὰ χρήματα εἰς θάλατταν καταποντισθήσεσθαί τις κελεύῃ. πολλάκις μὲν μήτε τρόπαια πάρεστιν μήτε

4 εἰκόνιζε codex 10 πυρὸς — — σβεννύμενα seclusit Grammius 12 μαίας] addendum vid. μητρὸς 14 νομίζῃς codex 15 κυναιγείρου: correxi 23 ἂν Duebnerus: δὲ

10. Rursus illud deblateras: 'An non existimamus omnes, ipsam nobilitatem in opibus aut gloria, quam longtemporis progressus confirmavit, esse positam? Atqui neutrum horum est in potestate nostra: sed alterum fortunae temeritati, alterum intemperiis hominum est obnoxium. Itaque nobilitatis arrogans hoc nomen, quod, ut sumamus animos, facit, a duabus rebus, quae proprie nostrûm non sunt, pendet. Perinde nec divitiae reddunt filios ei similes, qui illos procreavit: sed qui natus ex virtute fuerit, impressam animo suo gerit imaginem aequi et boni, cum ea sola transmittatur a parentibus in liberos. Haec demum vera nobilitas est, morum similitudo secundum iustitiam. Numquid autem opulentia Midae nobilior quam Aristidis inopia? Tamen hic ne in sepulchrum quidem sumptum reliquit moriens: Phrygi quicquid suppetebat, facile vicem sepulchri obiisset. Verum sita non est in opibus nobilitas, omnis autem improbitas ad instar ignis fere est: nam utrumque horum, nisi alatur, evanescit et exstinguitur. Quid Socratis ignobilitas, matre obstetrice, statuario patre, an non plus verae nobilitatis prae se tulit quam illa Sardanapali gloria? Ne vero censeas nobiliorem Xerxem fuisse Cynaegiro. Huic enim pro patria dimicanti manus amputata est: ille vitae praesidium fuga quaesivit et regni amplissimi gloriam mutavit cum turpitudine summae timiditatis.'

11. Dicuntur ista quidem magnifice. Nec vero

κτήματα μήτε πάπποι μήτε πρόπαπποι· ὅτῳ δὲ ταῦτα ὑπάρχουσιν ἔξοχα, τούτοις χαίρειν τε καὶ χρῆσθαι τὸν καλῶς τὰ τῆς ἀρετῆς ἔργα μελετῶντα οὐδὲν κωλύει πρὸς τὴν εὐδαιμονίαν. ἀλλὰ μᾶλλόν εἰσι βοήθειαι καὶ ὄργανα σοφίας· ἅπερ κἂν μὴ ὑποστηρίζωσι τὴν ἀρετήν, αὐτήν γε διακοσμοῦσι, οὐκ ἄλλως ἢ καλῇ παρθένῳ, ἂν εὐπάρυφος ᾖ, πρέπει τε ἡ λαμπρὰ ἐσθὴς καὶ προστίθησιν οὐκ οἶδ' ὅ τι πρὸς τὸ τῆς φύσεως κάλλος. οὕτως οὐχ οἵα τε οὖσα ἡ εὐγένεια τὴν ἀρετὴν θαυμαστοτέραν ποιεῖν, ἥτις ταῖς ἡλίου ἀκτῖσιν λαμπροτέρα ὑπάρχει, ὅμως οὐκ οἶδα τί αὐγῆς καὶ κόσμου τῷ τῆς ἀρετῆς σπουδαίῳ προσφέρει. μέχρι τοῦ δὲ τὸν Σωκράτην τοῦ Ξέρξου προτιμήσεις; εἰ δὲ Κῦρος τὰ εἰς αὐτὸν συμβεβλημένα ὑπὸ τοῦ Σωκρατικοῦ Ξενοφῶντος εἶχεν, δῆλον ὅτι τοῖς σοῖς νόμοις καὶ τοῖς αὐτοῦ Σωκράτους τὰ τοῦ Κύρου ἐτίθης ἂν ὡς αἱρετώτερα τοσοῦτον, ὅσον ὑστερίζονται οἱ λόγοι ὑπὸ τῶν πραγμάτων.

12. Ὁ δὲ Ἀνάχαρσις, ὅταν ἔλεγε τοὺς Ἀθηναίους παρὰ Σκύθαις βαρβάρους, ὥσπερ τοὺς Σκύθας ἐν τοῖς Ἀθηναίοις, οὐ κατεδίκαζε τὴν εὐγένειαν, ἀλλὰ μᾶλλον ἕκαστον ἐν τῇ οἰκείᾳ χώρᾳ δοκεῖν εὐγενῆ σημαίνει. οὔκουν ῥᾴδιον ὀνειδίζεσθαι τὸ τοῦ γένους ἄδοξον τοῖς ὅσον τύχοι ἔθνεσιν ἀλλοδαποῖς. ὁ δὲ

5 ὑποστηρίζωσι Wolfius: ὑπονρίζωσι 6 γε *: τε 7 ἀπάρυφος: corr. Wolfius 15 εἶχεν] εἶχος codex 16 τοῖς αὐτοῦ] i. e. τοῖς νόμοις αὐτοῦ 17 ἐτίθης *: τιθῆς ib. αἱρετώτερα] auditur τῶν τοῦ Σωκράτους 24 οὔκουν *: ουιν

iniquus sum aestimator rerum, ut nobilitatem unam committam cum virtute aut opibus. Non faciam, non dicam. Et tamen nobilitatis vanum esse nomen tibi hercle non assentiar. Non minus quidem, quam et qui opes inanes et in mare praecipitandas suaserit. Non sunt in nobis trophaea maiorum, non opes plerumque, non avi, non proavi. Et tamen iis excellentibus quem gaudere, iis frui recte meditantem opera virtutis, nihil nocet ad vitam beatam: quin potius subsidia sunt et instrumenta sapientiae, quae si non fulciant virtutem, hanc certe ornant. Non aliter quam formosae virgini vestis elegans dedecori minime est: ornat etiam et fulcit et nescio quid decoris elegantiae affert pulchritudini naturae. Ita nobilitas virtutem ipsam quando admirabiliorem reddere non potest, cum ipsa solis radiis illustrior sit, tamen nescio quid splendoris et ornatus virtutis studioso affert. Quousque autem Socratem Xerxi praeferes? Quodsi Cyrus, quae in eum confert Xenophon Socraticus, habuit, haud dubium, quo potiora facta verbis, quin eum Socrati etiam tuo iure praeferas.

12. Porro Anacharsis, cum ait 'Apud Scythas barbari Athenienses aeque atque Scythae apud Athenienses', non dicam scripsit contra nobilitatem, at potius suis quemque regionibus nobilem videri ostendit, nec tam facile nationibus quantumvis exteris exprobrari iure nobilitatem. Chrysippus autem eo libro, quo aequalitatem demonstrat virtutum, quis-

Χρύσιππος ἐν τῷ Περὶ τῶν ἀρετῶν ἰσοτιμίας περίτηγμα καὶ διάξυσμα τὴν εὐγένειαν καλεῖ· μηδὲν ἄρα διαφέρειν ὅτου παρὰ πατρὸς γεγονὼς τυγχάνης, εὐγενοῦς ἢ μή. τί τῶν Στωικῶν ἀρχηγῷ ἀποκρίνωμαι, ζητεῖς; τοῦθ' ὅπερ ἤκουσας ἐμὲ κατ' ἐκείνης λέγοντα Στοᾶς. τοῦτον τὸν Στωικὸν Λαπίθαν καὶ ἐξ ἀδάμαντος συμπεπηγνυμένον οὐ θαυμαστὸν ἀγνοεῖν τὴν εὐγένειαν, ὃς καὶ τὸ στῆθος λόγχῃ πεπαρμένος οὐκ αἰσθάνεσθαί φησι, οὐδὲν τοῦτο πρὸς αὐτόν, μηδαμῶς ὑποδιδόντα τοῖς ἀλγήμασι, καὶ τμηθεὶς ἀναίσθητος ὤν. τοιαύτης τῆς Στοᾶς ἔνοικοι τί θαυμαστὸν εἰ τὸν ἄνθρωπον τὴν εὐγένειαν ἀφαιροῦσιν, οἳ τὸν ἔρωτα, τὸ ἔλεος, τὴν ἀνεξικακίαν καὶ τὰ πάθη τὰ λοιπὰ τῷ ἀνθρώπῳ παρὰ φύσεως δοθέντα ἀποσπῶσιν; οὗτοί εἰσιν οἱ ἐν μέσῳ τῷ πυρὶ μὴ φλέγεσθαι ἀπαγγέλλοντες, οὐδ' ἐν μέσῃ τῇ θαλάσσῃ ὑπὸ τῶν κυμάτων καταποντίζεσθαι· οὗτοι οἱ ἀφ' ἡμῶν τοὺς τῆς φύσεως θεσμοὺς ἐξορίζοντες, τὰ πάθη μάτην ἐμπεφυκότα λέγοντες· οὗτοι οἱ τὴν πρόνοιαν, τὴν ἀγχίνουν μάλα γραῦν μητέρα καλοῦντες τούτου τοῦ παντός, ἣν διὰ τί γε οὐχ ὡραίαν ἐπεσκήψαντο τῇ ἡλικίᾳ, εἴπερ ἡμᾶς ἐβούλοντο πείθειν αὐτὴν τηλικούτου ὄγκου αὐτοκτίστην; ἀλλὰ τὰ μὲν ἀνέχεσθαι οὐ χαλεπόν· ὡς δὲ τῆς εὐγενείας οἰκείους δορυφόρους χλευάζει, τὴν ἀλαζονείαν, τὸ κομψόν, τὴν βίαν, τὴν τοῦ ἀνθρωπίνου δικαίου

1 *περιτήγμαο καὶ διάξυσμε*: corr. Wolfius 3 *τυγχάνης*] latina constructio 7 noli corrigere *συμπεπηγμένον*

quilias et ramenta nobilitatem vocat; proinde nihil referre, quo patre nascare, generoso an ignobili. Quid Stoicae familiae facile principi respondeam, quaeris? Nempe quod de me audisti, dum saepe perorarem in Stoicorum illam porticum. Illum Stoicum Lapitham, illum ex adamante compactum, non mirum, si non agnoscat nobilitatem, cui cum pectus sit hasta traiectum, parum tamen haec se sentire ait. Nihil hoc ad se pertinere, qui velut stipes dolori non succumbat, nullum habeat sectus sensum. Porticus istius incolae quid mirum, si nobilitatem homini adimant, qui amorem, misericordiam, clementiam reliquosque affectus a natura homini datos evellunt? Hi sunt, qui in mediis ignibus se conflagrare negant, neque medio in mari obrui se aquis. Naturae scita iracunde a nobis pelli volunt: affectus frustra datos afferunt. Hi sunt, qui Pronoeam illam anum sagacem admodum, universi huius parentem vocent: quam, quaeso, cur non aetate integra finxerunt, cum tantae molis opificem credere nos voluerunt? Sed haec utcumque ferri poterant: cum autem peculiares nobilitatis satellites irridet, arrogantiam, (delicias,) fastum, violentiam, humani denique iuris contemptum, si quando obruti his sunt nobilissimi aut reges aut proceres, non agnoscit

---

neve *Λαπίθην* 11 *ἔνικοι* codex 12 *τῶν ἀνθρώπων* mg. codicis melius 23 *τὰ*] *ταῦτα* vel *τάδε* W 24 *ὡς δὲ*] *ὅτι δὲ* Grammius 25 *χλευάζουσιν* Wolfius

καταφρόνησιν, ὅτι τῶν βασιλέων καὶ τῶν ἀρχόντων τινὰς ὑπὸ τούτων ὑποβαρυνομένους ὁρῶσιν, οὐ μέμνηνται τοὺς αὐτοὺς τούτους, οὓς αὐθάδει φωνῇ τῆς εὐγενείας δορυφόρους καλοῦσιν, ἐν ἄλλοις τῶν ἀγενῶν οὐχ ἥκιστα ὑπάρχειν. ἐκείνων τὴν μῆνίν φησι·

'μῆνιν ἄειδε, θεά, Πηληιάδεω Ἀχιλῆος
οὐλομένην, ἣ μυρί' Ἀχαιοῖς ἄλγε' ἔθηκε,
πολλὰς τ' ἰφθίμους ψυχὰς Ἄιδι προΐαψεν
ἡρώων, αὐτοὺς δὲ ἑλώρια τεῦχε κύνεσσιν,
οἰωνοῖσί τε πᾶσι.'

ταύτην δὲ τὴν μῆνιν ἄρα μόνον ἐνόμιζε τοῦ Ἀχιλλέως; ἢ χείρων ἦν Φαλάριδος καὶ Ἀγαθοκλέους καὶ Διονυσίου, οὓς ἀγενεῖς οὐκ ἀγνοοῦμεν; οὐ γὰρ ποιητὴς ἐκεῖνος ὁ κάλλιστα πεπαιδευμένος, ὅταν λέγει

'οὐ μὲν γάρ τί πού ἐστιν ὀιζυρώτερον ἀνδρὸς
πάντων, ὅσσα τε γαῖαν ἔπι πνείει τε καὶ ἕρπει',

μᾶλλον περὶ εὐγενοῦς ἢ ἀγενοῦς φησι. οὔσης δὲ τῆς φύσεως σφαλερᾶς, οὐκ εὐθὺς οὐδὲν διαφέρει τοῦ ἀγενοῦς ὁ γενναῖος, ἀλλὰ τὰ παρὰ φύσεως ἐπιτήδεια ὡς ὑπὸ θεοῦ σωρευθέντα θαυμάζεται·

'οὕτως οὐ πάντεσσι θεὸς χαρίεντα δίδωσιν
ἀνδράσιν, οὔτε φυὴν οὔτ' ἄρ φρένας οὔτ' ἀγορητύν.
ἄλλος μὲν γάρ τ' εἶδος ἀκιδνότερος πέλει ἀνήρ,
ἀλλὰ θεὸς μορφὴν ἔπεσι στέφει, οἱ δέ τ' ἐς αὐτὸν
τερπόμενοι λεύσσουσιν.'

1 ὅτι] ὅτε vel ὅταν Wolfius. *ἀνατιθέντες αὐτοῖς ὅτι* W 2 *ὑποβρυομένους*: corr. W 6 Hom. *A* 1 13 *οὐ γὰρ*]

in plerosque ignobiles haesisse eosdem quoque, quos satellites nobilitatis procaci nomine vocat. Illorum hanc esse iram ait:

'. . . . .
innumeris quae saeva malis afflixit Achivos
heroumque animos tot fortes impulit Orco,
membra minutatim quorum laniata molossis
alitibusque dedit.'

Sed an solius Achillis talem ille iram putavit? An non fuit deterior aut Phalaridis aut Agathoclis aut Dionysii, quos ignobiles fuisse legimus? Neque vero vates ille doctissimus, cum ait:

'Nil magis est hominis natura infirmius omni,
e numero spirant quaecunque animalia terris',

potius de nobili quam ignobili agit. Utcumque omnium sit infirma natura, non tamen generosus nihil ab ignobili differt. Quin potius naturae commoda veluti a deo collata admiratur:

'Haud uni dat cuncta deus, formosus ut idem
sit, pariter prudens ac multa laude disertus.
Qui specie caruit, deus hunc venerabilis ornat
viribus eloquii; quo fit, mirentur ut unum.'

ονόξ codex; *οὐκοῦν* Grammius. Malim *οὔκουν* 14 *ὅταν*] *οξαρ* codex 15 Hom. *P* 446 16 *ἔπι πνείει* idem: *ἐπιπνείει* 17 *ἢ ἀγενοῦς* add. Wolfius ex textu latino 20 *σωρωθέντα*: correxi 21 Hom. *ϑ* 167.

οὐδ' ἂν ἴδῃς εἰς τὰς ἀρχάς, προστασίας, βασιλείας εἰσβάλλοντά τινα τῶν ἀγενῶν, τοὺς δὲ εὐγενεστάτους καταβαλλομένους, διὰ τοῦτο διώξεις τὴν εὐγένειαν. ἐκεῖνο γὰρ οὐ μᾶλλον τῶν εὐγενῶν ἢ τῶν δημοτικῶν ἅπτεται·

'εἰ γὰρ ἐγένου σύ, Τρόφιμε, τῶν πάντων μόνος,
ὅτ' ἔτικτεν ἡ μήτηρ σ' ἐφ' ᾧ γε διατελεῖν
πράσσων ἃ βούλει καὶ διευτυχεῖν ἀεί,
καὶ τοῦτο τῶν θεῶν τις ὡμολόγησέ σοι,
ὀρθῶς ἀγανακτεῖς· ἔστι γάρ σ' ἐψευσμένος
ἄτοπόν τε πεποίηκ'. εἰ δ' ἐπὶ τοῖς αὐτοῖς νόμοις,
ἐφ' οἷσπερ ἡμεῖς, ἔσπασας τὸν ἀέρα
τὸν κοινόν, ἵνα σοί τι τραγικώτερον λαλῶ,
οἰστέον ἄμεινον ταῦτα καὶ λογιστέον.'

λέλεκται γὰρ τοιαῦτα καὶ τῷ δόμῳ καὶ τοῖς ἐν τέλει, οἷς οὔτε δόξα οὔτε ἀδοξία πρὸς ταῦτα συμφέρειν δύναται. ἐξ ἴσου τὰ παρὰ θεοῖς εἱμαρμένα ἑκατέροις ἀγνοεῖται. ἐπεὶ

'σύμβολον δ' οὔπω τις ἐπιχθονίων
πιστὸν ἀμφὶ πράξιος ἐσσομένας εὗρεν θεόθεν.
τῶν δὲ μελλόντων τετύφλωνται φράδαι·
πολλὰ δ' ἀνθρώποις παρὰ γνώμαν ἔπεσεν
ἔμπαλιν μὲν τέρψιος, οἱ δ' ἀνιαραῖς
ἀντικύρσαντες ζάλαις
ἐσθλὸν βαθὺ πήματος ἐν μικρῷ πεδάμειψαν χρόνῳ.'

6 vid. Kock. 3 p. 155 7 ὅτ' p. 103c: ὅν τ' 13 τι] καὶ p. l. 20 vid. Pind. Olymp. 12, 7

Neque vero, si ignobiles magistratus, praefecturas, regna invadere videas, si his deiici nobilissimos, iure ideo incessenda nobilitas. Non minus enim illud ad nobiles quam ad plebeios pertinet:

'Si lege natus, Trophime, tu fores ea,
ut omnia ad votum tibi, quae velles, fluerent,
et id deorum aliquis recepisset tibi:
recte doleas quidem; fefellit enim fidem
ac fecit absurde. Sed iisdem legibus
commune quoniam tu quoque quibus nos alii
coelum hauseris, ut audentius tecum loquar,
ferenda sunt haec fortius.'

Talia, inquam, dicta sunt et plebeiis et nobilibus, quibus hac in parte neque nobilitas prodesse potest neque natales obscuri. Ex aequo utrisque deorum fata ignota, quandoquidem

'nemo venturam potuit deorum
nosse fortunam, quoniam futuri
caeca mens nobis: hominique multa
praeter optatum tulit ipse casus
tristia, et rursus miseris subactum
extulit rebus propere voluptas'.

13. *Πάλιν πρὸς Χρύσιππον ἀναχωρῶ, ὃς κατὰ τῆς εὐγενείας ὑπὸ τοῦ ξυνετωτάτου ποιητοῦ πεποιῆσθαι γράφει τάδε*

'ὃν κεν ἐγὼ δήσας ἀγάγω ἢ ἄλλος Ἀχαιῶν'·

ὡσπερανεὶ χρεὼν Θερσίτου τοῦ ἀσελγεστάτου καὶ ἀτιμοτάτου λόγους τοὺς ἀσχημονεστάτους εἰς τὸν ἄριστον βασιλέα πρὸς ταῦτα μεταφέρειν· ἀλλ' οὐ μᾶλλον Ὀδυσσέα τινὰ ζητεῖν τοῦ ἀβελτέρου ἀποπλήξοντα τὴν αὐθάδειαν. πάλιν ὑλακτεῖ, λέγων ὑπὸ τοῦ αὐτοῦ ποιητοῦ τὰ τῶν εὐγενῶν κακῶς πεπραγμένα δηλωθέντα, ὅταν τὴν Ἄρεος καὶ Ἀφροδίτης μοιχείαν ὁ Ἥφαιστος κατείληφε·

'Ζεῦ πάτερ ἠδ' ἄλλοι μάκαρες θεοὶ αἰὲν ἐόντες,
δεῦθ', ἵνα ἔργα γελαστὰ καὶ οὐκ ἐπιεικτὰ ἴδησθε.
. . . .
ὡς ἐμὲ χωλὸν ἐόντα Διὸς θυγάτηρ Ἀφροδίτη
αἰὲν ἀτιμάζει, φιλέει δ' ἀίδηλον Ἄρηα,
οὕνεχ' ὁ μὲν καλός τε καὶ ἀρτίπος, αὐτὰρ ἐγώ γε
ἠπεδανὸς γενόμην· ἀτὰρ οὔτι μοι αἴτιος ἄλλος,
ἀλλὰ τοκῆε δύω· τὼ μὴ γείνασθαι ὄφελλον.'

4 Hom. *Β* 231 5 *χρεὼ* Duebnerus: *χρεὼν ἢ* 7 *ἀλλ' οὐ* idem: *ἀλλὰ* 13 Hom. *ϑ* 306 15 verborum latinorum ('sed enim non peculiaria — — queritur Vulcanus'?) interpretatio graeca desideratur; unde lacunae signa 18 *ἔγωγε*: correxi ex Homero

13. Redeo ad Chrysippum, qui scribit haec a vate prudentissimo perscripta in nobilitatem:

'Quicquid ego vinctum porto vel alter Achivûm,
tu rapis.'

Quasi vero Thersitae improbissimi sordidissimique in praestantissimum regum sordidissima verba huc transferenda sint. An non potius quaerendus Ulysses aliquis, qui nebulonis contundat procacitatem? Rursus oblatrat: ab eodem poeta nobilium facta patefacta ait, dum Vulcanus adulterium Martis et Veneris deprehendit:

'Iuppiter atque alii, quorum immortalia divi
numina, turpe deis facinus, dignissima risu
crimina spectatum huc concedite protinus omnes.'

Sed enim non peculiaria talia crimina nobilibus, quia flagrare iis videas ignobilissimos etiam: quibus si neque caruere Homerici illi heroes, minus graviter ferendum, si nobiles in haec impingant. Nam quid queritur Vulcanus?

'Dedignata suum ac dudum pertaesa maritum,
loripedem Iove nata Venus Martem ecce cruentum
deperit insignem formaque et cruribus altis
conspicuum. Sed enim claudo mihi nascier olim
contigit. At non est vitium hoc a crimine nostro
ingens, amborum potius sed culpa parentum est,
qui sine defectis subolem producere membris
debuerant. Verum huc convertite lumina cuncti.'

εἰ μὲν οὖν ἡ ἐκ Διὸς ἐκγεγαυῖα ἐγκαλεῖται Ἀφροδίτη, ἀλλὰ μὴν καὶ ὁ ἐγκαλῶν οὐχ ἧττον ἐξ αὐτοῦ τοῦ Διός· οὐδ' ὠνείδιζε δικαίως Ἀφροδίτη τῷ Ἡφαίστῳ τὴν χωλότητα — ἀπαρνεῖται γὰρ ἑαυτὸν αἴτιον τῆς πηρώσεως — οὐδ' ὠνείδισεν αὐτὸς τὴν εὐγένειαν Ἀφροδίτῃ. ἆρα τί λέγει;

'ἀλλ' ὄψεσθ', ἵνα τώ γε καθεύδετον ἐν φιλότητι
εἰς ἐμὰ δέμνια βάντες· ἐγὼ δ' ὁρόων ἀκάχημαι.
οὐ μέν σφας ἔτ' ἔολπα μίνυνθά γε κειέμεν οὕτω,
καὶ μάλα περ φιλέοντε· τάχ' οὐκ ἐθελήσετον ἄμφω
εὕδειν, ἀλλά σφωε δόλος καὶ δεσμὸς ἐρύξει,
εἰσόκε μοι μάλα πάντα πατὴρ ἀποδώσει ἔεδνα,
ὅσσα οἱ ἐγγυάλιξα κυνώπιδος οὕνεκα κούρης,
οὕνεκά οἱ καλὴ θυγάτηρ, ἀτὰρ οὐκ ἐχέθυμος.'

ταῦτα μᾶλλον πρὸς τὴν εὐγενῆ Ἀφροδίτην ἢ πρὸς τὴν δημοτικὴν Λαΐδα ἢ δυοῖν ὀβολοῖν ἑταιρίδιον; ἢ ἐκεῖνοι τοῦ Ἡφαίστου δεσμοὶ τοῦ μὲν καταληφθέντος καὶ προσεχομένου Ἄρεος καθάπτονται, τοῦ δὲ ἐκ τοῦ δήμου τυχόντος οὔ; Ἥφαιστος μὲν

'κακὰ φρεσὶ βυσσοδομεύων·
ἐν δ' ἔθετ' ἀκμοθέτῳ μέγαν ἄκμονα, κόπτε δὲ δεσμοὺς
ἀρρήκτους, ἀλύτους, ὄφρ' ἔμπεδον αὖθι μένοιεν.
αὐτὰρ ἐπειδὴ τεῦξε δόλον κεχολωμένος Ἄρει,
βῆ ῥ' ἴμεν ἐς θάλαμον, ὅθι οἱ φίλα δέμνι' ἔκειτο.

7 Hom. ϑ 313 12 ἀποδῷσιν Homerus 13 εἵνεκα idem 15 corr. vid. τί ταῦτα 17 καταλειφθέντος: correxi 20 Hom. ϑ 273

Si Iove nata Venus culpatur, et qui culpat etiam Iove natus. Nec vero recte exprobrare potuit Venus claudicare Vulcanum: hoc enim negat vitium suum fuisse. Nec ille Veneri nobilitatem exprobravit. Quid igitur ait?

'Cernite, ut optatis foveant amplexibus ignes,
nostraque ad haec ambo petiere cubilia: verum
hanc postquam vidi, magno mihi visa dolori
res fuit. Atque illos spero non tempore parvo
tali concubitu fruituros, quamlibet acri
coniunctos in amore quidem, fortassis uterque
concupiisse diu nolit, sed dura tenebunt
vinculaque insidiaeque meae, tantisper ad unum
munera connubii donec pater ipse remittat,
inque verecunda pro coniuge cuncta regente
praemia quae dedimus nobis dotalia reddat:
quandoquidem ante alias forma praestantior omnes
nata sibi est, sed mente carens et pectore casto.'

Quid haec pertinent potius ad nobilem Venerem quam ignobilem Laidem aut scortum diobolare? An enim vincula illa Vulcani minus pertinent ad deprehensum et haerentem Martem quam alium quemvis plebeium? Vulcanus quidem

'Insidias imo iam pectore versans
huic admoliri ac praegrandem imponere trunco
incudem parat, at subito durissima format
vincula, non ulli textumque solubile cudit,
quo simul impliciti graviter vinctique iacerent.

ἀμφὶ δ' ἄρ' ἑρμῖσιν χέε δέσματα κύκλῳ ἁπάντῃ·
πολλὰ δὲ καὶ καθύπερθε μελαθρόφιν ἐξεκέχυντο
ἠύτ' ἀράχνια λεπτά, τά γ' οὔ κέ τις οὐδὲ ἴδοιτο,
οὐδὲ θεῶν μακάρων· πέρι γὰρ δολόεντα τέτυκτο.
αὐτὰρ ἐπεὶ δὴ πάντα δόλον περὶ δέμνια χεῦεν,
εἴσατ' ἴμεν ἐς Λῆμνον ἐυκτίμενον πτολίεθρον.'

οὗτοι οἱ δεσμοὶ ἐξ ἴσου μάλα τείνουσιν εἰς ἅπαντας τοὺς ἀνεχομένους ἑαυτοὺς τοῖς ἐρωτικοῖς ἁλίσκεσθαι δελέασι. εἰς ταύτας τὰς πέδας ἐκείνους ἀνάγκη πίπτειν, τὰ δ' ἁμαρτήματα οὐχ οὕτως στέγεσθαι καὶ καλύπτεσθαι, ὥστε μὴ ἐμφαίνεσθαι. οὐκ ἀγνοεῖς τοῦθ' ὅπερ εἷς λέγει τῶν θεῶν·

'οὐκ ἀρετᾷ κακὰ ἔργα· κιχάνει δὲ βραδὺς ὠκύν·
ὡς καὶ νῦν Ἥφαιστος ἐὼν βραδὺς εἷλεν Ἄρηα,
ὠκύτατόν περ ἐόντα θεῶν οἳ Ὄλυμπον ἔχουσι,
χωλὸς ἐών, τέχνῃσι· τὸ καὶ μοιχάγρι' ὀφέλλει.'

ἡ δ' ὑμετέρα ἐκείνη Στοά, ὦ Στωικοί, μηδένα πώποτε μοιχὸν ἑώρακε περιπατοῦντα; ἡ δ' ἐν προσώπῳ κηλὶς εἰ μᾶλλον βλέπεται, ὅτι μᾶλλον ἐπίδηλος, οὕτως εἰκὸς καὶ τῶν εὐγενῶν τὰ πταίσματα ἐκδηλότερα ὄντα θᾶττον διώκεσθαι. εἰ δὲ μὴ τὴν Στοὰν καταβάλλετε τὰ πάντα ἁμαρτήματα φάσκοντες ἴσα τυγχάνειν, τί τὰ τῶν εὐγενῶν ἀκριβέστερον ἐπιτηρεῖτε; θυγατρὸς ἀποκεχρῆσθαι τὸν ἐκ δήμου

8 ἀνεχομένους κτἑ] 'Manifestus Latinismus' W 9 ταύτας *: τοιαύτας 13 Hom. θ 329 ib. δὲ] τοι Homerus 24 θυγατρὸς — — βασιλέα] corrupta. Fort. θυγατρί τινος — — τῶν ἐκ δήμου ἢ τοῦ βασιλέως

Ac postquam fabricasset opus cassesque Gradivo
infensus, subito petit alta cubilia gressu.
Gratus ibi stabat torus, et iam vincula circum
fulcra locat mirumque simul concinnat in orbem;
plurima quin etiam tectum diffusa per altum
tenuia, ceu lepidas suspendit aranea telas,
ut quae non hominum, non ipso lumine divûm
cernere erat, mire abstrusis composta dolorum
nexibus. Haec postquam per summa cubilia sparsit,
in Lemnon simulata via est.'

Vincula plane ea pertinent ex aequo ad omnes, qui se patiuntur amorum illecebris rapi: in hos plane compedes necesse est illi incidant. Neque plane peccata tegi aut velari, quin ea pateant, posse. Agnoscis enim, quid dicat unus e diis:

'Ut nihil officiunt virtuti crimina, claudus
assequitur celerem, veluti nunc Mulciber acrem
Gradivum obtinuit, quamvis prae coelitibus diis
cursibus ille pedes habiles agit ocior unus.
Claudus enim ipse dolis usus, qui sic quoque multas
auxit adulterii et foedo pro crimine poenas.'

Porticus illa vestra, Stoici, nullosne deambulantes adulteros vidit? Nam si naevum in facie magis inspici dicitis, quo loco magis pateat, ita plane nec e re fuit vitia nobilium magis incessi, magis patere. Attamen nisi plane vestram illam Porticum deiicitis, qui peccata omnia paria alibi iactatis, cur hic nobilium magis animadvertitis? Plebeii quis

καὶ τὸν βασιλέα μηδὲν διαφέρειν λέγετε· ὅμως πολλὰ φλυαροῦντες εἰς τὸν τῶν εὐγενῶν τῦφον, ἀλαζονείαν, ἔρωτας, ἀθεμίστους συνουσίας, ὠμότητα, ἀντιδίκων ἐπιθυμητικοὺς καλεῖτε, καὶ τῶν μὲν εὐεργεσιῶν ἀμνήμονας, ἀδικουμένους δὲ δριμυτάτους πρὸς τὸ ἀποτίειν. ταῦτα μὲν οὖν εἰ μόνους εἰς τούτους προσήκει, δικαίως ἴσως ἂν ἡμῖν οὕτω ῥητορεύειν συνεχωροῦμεν· νυνὶ δὲ μηδ' ὑμᾶς αὐτοὺς τούτων τῶν παθημάτων ἐλευθέρους ἐποίησεν ἐκείνη ὑμετέρα πρόνοια χρησμολόγος γραῦς. διὸ γοῦν ἐφ' οἷς τοὺς ἄλλους σωφρονίζετε, ταῦτα ἀφ' ὑμῶν ἀφαιρεῖτε.

14. **** 'Φανερὸν τοίνυν, ἔφην ἐγώ, περὶ ὧν πάλαι διηπορήσαμεν, διὰ τί ποτε οἱ ἐκ πάλαι πλουσίων ἢ οἱ ἐκ πάλαι σπουδαίων εὐγενέστεροι δοκοῦσιν εἶναι μᾶλλον τῶν σύνεγγυς τἀγαθὰ κεκτημένων. αὐτὸς γὰρ ἐγγύτερος σπουδαῖος ὤν, ἢ πάππου σπουδαίου τετυχηκώς, ὥστ' εἴη ἂν εὐγενὴς ὁ ἀγαθὸς ἀνήρ. καί τινες εἰρήκασιν, οὕτως ἐκ τοῦ διελέγχειν προσποιούμενοι τὸν συλλογισμὸν τῆς εὐγενείας, ὥσπερ φησὶ καὶ Εὐριπίδης, οὐχὶ τῶν ἐκ πάλαι σπουδαίων εὐγένειαν φάμενος εἶναι, ἀλλ' ὅστις ἀνὴρ ἀγαθὸς ἁπλῶς. τὸ δὲ οὐκ ἔστιν, ἀλλ' ὀρθῶς ζητοῦσιν οἱ τὴν ἀρχαίαν ἀρετὴν προτιθέντες. τὰ

6 ἀποτίειν] pro ἀποτίνειν interpreti debetur 8 μηδ'] κιηδ codex 9 ἐκείνη ἡ? 12 ἀφαιρεῖτε] 'Post haec iterum lacuna in Graeco, quam versio Latina commode supplet. — — Totus Aristotelis locus deest in MS. — — Habet tamen Stob.' Wolfius. Vid. Rose Fragm. 94 21 vid. Nauck. p. 461 22 ὅστις Gesnerus: οἷς τὶς

abusus sit filiola aut regis, negatis interesse: et tamen multa deblateratis in nobilium superbiam, arrogantiam, amorem, incestos amores, crudelitatem, vindictae avidos animos, quos beneficii immemores facitis, levissimae autem contumeliae acerrimos insectatores. Quae si in hos solum quadrarent, iure forte declamandi in hos unos esset locus. Nunc cum ne vos ipsos quidem Pronoea illa vestra, fatidica anus, his liberos perturbationibus reddat, quae in iis castigatis prius evellite a vobis.

14. At nulla, ait, ratio reddi potest, cur nobiliorem alio alium iudicemus. Imo non leves videmur initio huius disputationis attulisse, nisi mavis Aristotelem illo ipso libro de Nobilitate conscripto audire. 'Perspicuum igitur est' inquam 'quid sentiendum de eo sit, quod agitavimus iam dudum: nempe quid causae sit, quod ii nobiliores ceteris iudicantur, quorum opes a longinquo generis primordio repetuntur aut quorum maiores longo intervallo fuerunt boni, quam illi, qui propius absunt a nobilitatis suae principio. Porro abest propius, qui sua sponte virtutem colit, quam cui avum contigerit huiusmodi habuisse. Quo fit ut nobilis demum ille sit, qui fuerit vir bonus. Inventi sunt etiam, qui specie quadam reprehensionis id convincere studeant, perinde quasi pertexerent iustam ratiocinationem contra nobilitatem. Quemadmodum sane asserit Euripides: non antiquitate maiorum aestimandam esse nobilitatem, sed virtute, nec alium

δ' αἴτια εἴπομεν, τουτέστιν ὅτι ἡ μὲν εὐγένειά ἐστιν ἀρετὴ γένους ἡ δ' ἀρετὴ σπουδαῖον· σπουδαῖον δ' ἐστὶ γένος, ἐν ᾧ πολλοὶ σπουδαῖοι πεφύκασιν ἐγγίνεσθαι. συμβαίνει δὲ τὸ τοιοῦτον, ὅταν ἐγγένηται ἀρχὴ σπουδαία ἐν τῷ γένει· ἡ γὰρ ἀρχὴ τοιαύτην ἔχει τὴν δύναμιν, πολλὰ παρασκευάζειν οἷά περ αὐτή. τοῦτο γάρ ἐστιν ἀρχῆς ἔργον, ποιῆσαι οἷον αὐτὴ ἕτερα πολλά. ὅταν οὖν ἐγγένηται τοιοῦτος εἷς τις ἐν τῷ γένει καὶ οὕτω σπουδαῖος, ὥστ' ἔχειν τὸ ἀπ' ἐκείνου ἀγαθὸν πολλὰς γενεάς, τοῦτο σπουδαῖον ἀνάγκη εἶναι τὸ γένος. πολλοὶ γὰρ ἔσονται σπουδαῖοι ἄνθρωποι ἄν γε ἀνθρώπων ᾖ τὸ γένος, ἄν τε ἵππων ἵπποι, ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων ζῴων. ὥστ' εὐλόγως οὐχ οἱ πλούσιοι οὐδ' οἱ ἀγαθοὶ ἀλλ' οἱ ἐκ πάλαι πλουσίων ἢ ἐκ πάλαι ἀγαθῶν εὐγενεῖς εἶεν ἄν. ζητεῖ γὰρ ὁ λόγος τἀληθῆ· ἀρχὴ γὰρ ἄνωθεν πάντων. οὐ μὴν ἀλλ' οὐδ' οἱ ἐκ προγόνων ἀγαθῶν εὐγενεῖς πάντως, ἀλλ' ὅσοις τυγχάνουσιν ἀρχηγοὶ τῶν προγόνων ὄντες. ὅταν μὲν οὖν τις ᾖ αὐτὸς ἀγαθός, μὴ ἔχῃ δὲ τοιαύτην δύναμιν τῆς φύσεως ὡς τίκτειν πολλοὺς ὁμοίους, οὐκ ἔχει ἀρχὴν ἐν τούτοις τοῦ γένους· καὶ εὐγενεῖς οἱ ἀπὸ τούτου τοῦ γένους ὄντες, οὐκ ἐὰν ὁ πατὴρ εὐγενὴς ᾖ, ἀλλ' ἐὰν ὁ ἀρχηγὸς τοῦ γένους· οὐ γὰρ δι' αὐ-

1 εἴπωμεν Rose ib. τουτέστιν] τούτων Dielesius 2 σπουδαίων prius Rose 12 γε *: τε 13 τε] malim δὲ 19 ὅσοις Rose: ὅσοι 20 τις ᾖ * 22 ἀρχὴν ἐν τούτοις *: ἀρχὴν τοιαύτην δύναμιν ἐν τούτοις. ἀρχὴ

quemquam nobilem omnino esse, nisi virum bonum. Qua tamen opinione nihil minus verum est. Imo recte ponunt ea de re quaestionem, qui laudem virtutis longa vetustate confirmatam huic sententiae adhibent. Quid esset causae diximus. Id autem in causa erat, quod nobilitas est virtus continuata gentis alicuius. Virtus bonum est: illa bona familia est, in qua complures suis posteris virtutem quasi per manus tradiderunt. Quod tum demum usu venit, cum ea fluxerit a primordio nobili bonoque. Namque principio vis ea tributa est, uti multa eiusmodi procreet, cuiusmodi fuerit ipsum. Hoc munus et opus principii, alia multa sui similia gignere. Cum igitur in gente aliqua exstiterit quispiam in hunc modum affectus adeo bene moratus, ut eius bonitas ad alios eiusdem familiae per aetates multas pervenire possit, eam gentem esse optimam necessarium. Etenim in ea multi erunt homines egregii, si hominum propago fuerit; sin equorum, equi, et in ceteris animalibus ad eundem modum. Quamobrem consentaneum sit haud esse nobiles, qui divites aut virtutis laude praestantes fuerint, sed eos, quorum maiores in ultima vetustatis memoria vel divites aliquando vel viri boni exstiterint. Hac enim disputatione verum indagatur. Quod autem initium est, omnium caput, si retro agas, reperietur. Neque vero nobiles continuo sunt, quorum egregii maiores, sed ii tantum ex maioribus, qui principes in edenda familia fuerunt. Quodsi

τὸν ὁ πατὴρ ἐγέννησεν ἀγαθόν, ἀλλ' ὅτι ἐκ τοιούτου γένους ἦν.'

15. *Ταῦτα μὲν Θεόγνιδος περιφέρεται τοῦ Μεγαρέως, ὡς Ξενοφῶν λέγει· οὗτος ὁ ποιητὴς περὶ ἀρετῆς καὶ κακίας ἀνθρώπων λόγους ποιεῖται, καὶ εἰκότως περὶ ἀνθρώπων βίου ἀπομνημόνευμα καλεῖσθαι δύναται, παραπλησίως εἴ τῆς ἱππικῆς ἐπιστήμων τις περὶ αὐτῆς ἐγεγράφει. τούτου τοῦ ποιήματος, ὡς οἶμαι, συνισταμένη ἐστὶν ἀρχή, ὅταν ἀπὸ τοῦ καλοῦ τοῦ γένους προοιμιάζει. οὕτω γὰρ ἐδόκει οὔτ' ἄνθρωπον οὔτ' ἄλλο τι τῶν φυομένων μέλλειν ἔσεσθαι καλόν, εἰ μὴ καὶ αὐτὰ τὰ αὐτὸν γεννήσοντα καλὰ ᾖ. διὰ τοῦτο καίριον ᾠήθη τῶν ἄλλων ζῴων παραδείγμασι χρῆσθαι, ἅπερ οὐκ εἰκῇ ἀλλὰ σπουδαιοτέρως τρέφεται, ὧνπερ τὴν κηδείαν καὶ τὴν θεραπείαν οὐ μικροῦ ποιούμεθα, οὐκ ἄνευ τέχνης τινός, ὡς γενναιότατα τυγχάνωσι, ὅπερ καὶ δηλοῖ διὰ τὰ ἔπη τάδε·*

'κριοὺς μὲν καὶ ὄνους διζήμεθα, Κύρνε, καὶ ἵππους
εὐγενέας, καί τις βούλεται ἐξ ἀγαθῶν
κτήσασθαι, γῆμαι δὲ κακὴν κακοῦ οὐ μελεδαίνει
ἐσθλὸς ἀνήρ, ἥν τις χρήματα πολλὰ διδῷ.

3 *περιφέρεται*] malim *ἔπη φέρεται* cf. Stob. Floril. 88, 14. Quam rationem in Plutarcho excerpendo vel potius discerpendo compilator secutus sit, ex hoc Stobaei fragmento optime apparet. ib. *τοῦ Μεγαρέως ὡς* W: *ὡς ὁ Μεγαρεύς* 9 *ὅταν*] *ὅτι* Duebnerus 15 *ὧνπερ* *: *ὧν περὶ* 18 *διὰ*] fort. *ἰδίᾳ* vel *διὰ τῶν ἐπῶν τῶνδε*, sed fort. constructio interpreti debetur. cf. p. 212, 11 *διὰ βήματα* 19 vid. Theogn. v. 183 21 *κτήσασθαι*] *βήσεσθαι* Bergkius

bonus quispiam sua sponte non habet eam vim naturae, ut sui similes procreare multos queat, non potest ab eo duci principium gentis. Igitur his rebus aestimandum est cuiusque gentis principium et ii demum nobiles, qui nati in eiusmodi familia sunt: idque ea lege, si auctor primus ita sit, non autem tuus pater proximus. Etenim qui est pater, non edit in lucem duntaxat virum bonum, qua est pater, sed qua genitus ipse est in huius familia.'

15. Atque (*haec*) quidem, ut ait Xenophon, Megarensis Theognidis carmina feruntur. Hic poeta de virtute vitiisque hominum nec alia re ulla sermonem instituit, nec iniuria dici potest commentarius de hominum vita: haud aliter quam si peritus rei equestris ea de re scriptum aliquod edat. Huius poematis, meo iudicio, certe (*leg.* recte) institutum est principium, cum orditur a bonitate generis. Nam ita sentiebat, nec hominem nec aliud quidquam, quod procreatur, fore bonum, nisi, quae illud procreatura sunt, bona sint. Quare visum est ei ceterorum animantium exemplis uti, quae non temere sed accuratius aluntur, quaeque curantur et comuntur quadam arte, ut nobilissima evadant. Id quod his versibus facit perspicuum:

'Fortis equus firmusque aries, non vilis asellus,
egregio qui sit sanguine, Cyrne, volunt;
et satagunt omnes sibi habere. At foedera iungit
vilia, si dederit vir generosus opes.

οὐδὲ γυνὴ κακοῦ ἀνδρὸς ἀναίνεται εἶναι ἄκοιτις
πλουσίου, ἀλλ' ἀφνεὸν βούλεται ἀντ' ἀγαθοῦ.
χρήματα γὰρ τιμῶσι, καὶ ἐκ κακοῦ ἐσθλὸς ἔγημε,
καὶ κακὸς ἐξ ἀγαθοῦ· πλοῦτος ἔμιξε γένος.'

ὅσον καθήκει τὴν τῶν υἱῶν γένεσιν, ἐν τούτοις τοῖς ἔπεσιν ἡ τῶν ἀνθρώπων ἄγνοια δηλοῦται· καὶ διὰ τοῦτο συμβαίνειν τοὺς ἐνδόξους οἴκους ἀμαυροῦσθαι τῷ τοὺς εὐγενεῖς τοῖς ἀγενέσι συζεύγνυσθαι. οἴονται μέντοι πολλοὶ τὴν ἀνθρωπίνην ἐπιθυμίαν καὶ φιλοχρηματίαν ἐν τούτοις κατηγορεῖσθαι, διότι οὐδεὶς παραιτεῖται βουλόμενος χρηματίζεσθαι τῇ μὲν ἀγενὴς καὶ ἄδοξος τῇ δὲ κακὸς καὶ αἰσχρὸς γίνεσθαι. οὐ μὴν ἀλλ' ὡς ἐγῷμαι τὴν τῶν ἀνθρώπων ἄγνοιαν μᾶλλον αἰτιᾶται τῶν διὰ φιλοχρηματίαν τὴν εὐγένειαν ἀνεχομένων κατὰ σχολὴν ἐξίτηλον γίνεσθαι.

16. Ἀλλ' ἐπεὶ ὁ Χρύσιππος ἐξ ἐραστοῦ Εὐριπίδου πρὸς ἡμᾶς ἀναμάχεται, φέρε δὴ προφέρωμεν ἅπερ ἐκεῖνος τῆς εὐγενείας κῆρυξ ᾖδε περὶ αὐτῆς. οὕτω γὰρ αὐτός·

'εἰ τοῖς ἐν οἴκῳ χρήμασιν λελείμμεθα,
ἡ δ' εὐγένεια καὶ τὸ γενναῖον μένει.'
'φεῦ, φεῦ, τὸ φῦναι πατρὸς εὐγενοῦς ἄπο
ὅσην ἔχει φρόνησιν ἀξίωμά τε·
κἂν γὰρ πένης ὢν τυγχάνῃ, χρηστὸς γεγὼς

13 μὴν *: μὲν 14 αἰτιᾶται *: αἰτιάσαι 17 ἐξ ἐραστοῦ Εὐριπίδου] idem valere videntur atque ἐραστὴς ὢν Εὐρ. unde in Latinis forte corrigendum etiam 'ex amato suo' 21 vid. Nauck. p. 698 ib. εἰ] ἡ Stob. Flor. 88, 1

Femina nulla thoros, quamvis generosa, recusat
divitis, hunc forti praeferet illa viro.
Gazae amor est summus, vilem sibi nobilis aptat,
vilis et egregiam, turbat et arca genus.'

His versibus declaratur hominum inscitia, quod attinet ad procreationem subolis; atque ob eam rem evenire, ut familiae cuiusque bonitas sensim minuatur, quod degeneres tam saepe nobilibus copulantur. Non pauci tamen his versibus accusari hominum cupiditatem et sordes a poeta existimabunt, eo nomine, quod eorum nemo recuset, modo se posset locupletare, tam degener et ignobilis, quam vitiosus et turpis evadere. Ceterum mea quidem sententia hominum inscitiam in vita degenda potius accusat, qui nobilitatem tam praeclarum thesaurum opum amore sensim delabi patiantur.

16. Sed quando Chrysippus ex amatore suo Euripide nos oppugnat (*imo:* ex amatore Euripidis noster fit denuo adversarius), age vero proferamus, quae et ille nobilitatis praeco pro nobilitate cecinit. Sic autem ille:

'Quamvis familiae haud suppetant nobis opes,
generosus animus, prisca nobilitas manent.'
'Proh sancta divum numina! patris nobilis
quos addit animos, quod decus fiducia!
Quamvis egestas nobilem oppugnet virum,

---

23 v. Nauck. p. 592 24 φρόνησιν] φθόνησιν Munro
25 χρηστοῦ Valckenarius

τιμὴν ἔχει τιν', ἀναμετρούμενος δέ πως
τὸ τοῦ πατρὸς γενναῖον ὠφελεῖ τρόπῳ.'
'ἡμῶν τί δῆτα τυγχάνεις χρείαν ἔχων;
πατέρων γὰρ ἐσθλῶν ἐλπίδας δίδως γεγώς.'
'πένης γὰρ οὐκ ἐκεῖν' ἀπώλεσεν
τὸ τοῦ πατρὸς γενναῖον ...'
'φέρει δὲ καὶ τοῦτ' οὐχὶ μικρόν, εὐγενὴς
ἀνὴρ στρατηγῶν εὐκλεᾶ τ' ἔχων φάτιν.'
'ἐν τοῖς τέκνοις γὰρ ἡ ἀρετὴ τῶν εὐγενῶν
διέλαμψε· κρείσσων τ' ἐστὶ πλουσίου γάμου.'
'δεινὸς χαρακτὴρ κἀπίσημος ἐν βροτοῖς
ἐσθλῶν γενέσθαι, κἀπὶ μεῖζον ἔρχεται
τῆς εὐγενείας ὄνομα τοῖσιν ἀξίοις.'

ταῦτα μὲν γὰρ οὐκ ἔστιν ἀνθρώπου διαμαχομένου καὶ καταβαλλομένου τὴν εὐγένειαν, μᾶλλον δὲ ἐπαινοῦντος καὶ ὑπεραίροντος. τί δ' ἐκεῖνα τοῦ αὐτοῦ;

'οὐκ ἔστι τοῦδε παισὶ κάλλιον γέρας
ἢ πατρὸς ἐσθλοῦ κἀγαθοῦ πεφυκέναι
γαμεῖν τ' ἀπ' ἐσθλῶν· ὃς δὲ νικηθεὶς πόθῳ
κακοῖς ἐκοινώνησεν, οὐκ ἐπαινέσω,
τέκνοις ὄνειδος οὕνεχ' ἡδονῆς λιπεῖν.
τὸ δυστυχὲς γὰρ ηὑγένει' ἀμύνεται
τῆς δυσγενείας μᾶλλον· ἡμεῖς γὰρ κακῶν
εἰς τοὔσχατον πεσόντες εὕρομεν φίλους.'
'τὸν σὸν δὲ παῖδα σωφρονοῦντ' ἐπίσταμαι

3 v. Nauck. p. 429 5 id. p. 429 (fr. 232) 7 id. p. 431 ib. οὐχὶ Grotius: οὐ 9 Nauck. p. 429 (fr. 232) ib. ἡ ἀρετὴ] ἀρετὴ idem 10 διέλαμψε Cobetus: ἐνέλαβε

cunctis verendus tamen erit, necnon patris
secum ipse reputans facta, crescet moribus.'
'Quid nostri egentem casus huc te detulit?
sperare de quo multa nobilitas iubet.'
'Quae cetera aufert inopia, generis decus
auferre nescit.'
'Id vero multum rettulit, prosapia
sitne imperator nobili, fama bona.'
'Generosa patrum filiis virtus inest
unaque crevit, melior opulentis thoris.'
'Illustre et ingens specimen in mortalibus
stirps clara generis nomen augescit, cui
decus exprobrari familiae iure haud potest.'

Haec quidem non sunt hominis oppugnantis et deiicientis nobilitatem, potius vero laudantis et efferentis. Quid illa eiusdem?

'Non praemium ullum liberis praestantius,
ac nosse patrem nobilem, fortem, probum,
sociamque lecti nobilem. Sin quis mala
libidine amens iungit obscuras faces,
non laudo. Tanti num voluptas, liberis
probrum ut relinquas generis et turpem notam?
Generosus animus vincit adversa et domat,
ignavus illis cedit. Et nos ultimo
mersi periclo sensimus amicam fidem.
Usque adeo puerum, sat scio, incessit pudor,

11 Eurip. Hecuba 379 15 *καταβάλλοντος* W 17 vid. Eurip. Heraclid. v. 297 22 *ηὐγένει'* idem: *ἢ εὐγένει'* 25 vid. Nauck. p. 698 ib. *τὸν σὸν δὲ* Piersonus: *τοσόνδε*

χρηστοῖς θ' ὁμιλοῦντ' εὐσεβεῖν ἠσκηκότα.
πῶς οὖν ἂν ἐκ τοιοῦδε σώματος κακὸς
γένοιτ' ἄν; οὐδεὶς τοῦτό μ' ἂν πίθοι ποτέ.'
'τό τ' εὐγενὲς
πολλὴν δίδωσιν ἐλπίδ' ὡς ἄρξουσι γῆς.'
'τὴν εὐγένειαν, κἂν ἄμορφος ᾖ γάμος,
τιμῶσι πολλοὶ πρὸς τέκνων χάριν λαβεῖν,
τό τ' ἀξίωμα μᾶλλον ἢ τὰ χρήματα.'
'ἀλλ' εἴπερ εἶ γενναῖος, ὡς αὐτὸς λέγεις,
σήμαιν', ὅτου τ' εἶ χὠπόθεν· τὸ γὰρ καλῶς
πεφυκὸς οὐδεὶς ἂν μιάνειεν λόγος.'

17. Ἀλλὰ τὸν Χρύσιππον ἀφῶμεν, οὐχ ἅπαξ ἐναντιούμενον ἑαυτῷ, ὥσπερ ἐν τῷ πρώτῳ Περὶ ἀγαθῶν καὶ ἐν τῷ Περὶ ῥητορικῆς, τὰ χρήματα, τὴν εὐγένειαν, τὸ κάλλος, τὴν ὑγίειαν ἐάν τις τοῖς ἀγαθοῖς ἐναριθμῇ, οὐκ ἀντιμάχεσθαι, καὶ ἐν τῷ Περὶ τῶν καθ' αὑτὰ αἱρετῶν οὐδὲ μανίας ἀποστερεῖ τοὺς τούτων καταφρονοῦντας. καὶ τῷ ὄντι οὔτ' ἐκεῖνος οὔθ' οἱ Στωικοὶ δέονται τῆς εὐγενείας, ὅσοι τοιαύτης ἐφάπτονται φιλοσοφίας, ᾗ τὰ πάνθ' ὡς ἀπὸ θείας ῥάβδου ἑαυτοῖς συντόμως χορηγεῖσθαι μεγαλαυχοῦνται· αὐτοὺς πλουσίους εὐγενεῖς καλούς, βασιλέας εἶναι αὐτούς· ἀλλὰ μὴν οὗτοι οἱ πλούσιοι τοὺς ἄλλους τὴν τροφὴν προσαιτοῦσι· τούτους τοὺς βασιλέας οὐδεὶς ὑπακούει· αὐτοὶ πᾶσιν ἔνοχοι τὰ πάντα κέκτηνται, μόλις ἐπήλυδες τὸν οἶκον μὲν εἰς

4 vid. Nauck. p. 484 (fr. 404) 6 id. ib. fr. 405 7 προσλαβεῖν τέκνων χάριν Hensius 9 vid. Nauck. p. 152 10 χὠπόθεν *: χ' ὠπόθεν (καὶ πόθεν Gesnerus) 11 λόγος]

celebrare coetus qui bonorum assueverit
sanctosque mores didicit. Hunc ergo malum?
istone natum genere vitiosum putas?
Hoc mihi probabit nemo nec persuaserit.
Hos magna generis claritudo spem facit
illo superba sceptra fixuros solo.
Coniux vetusta gente, quamvis foeda sit,
appetitur: hanc spes liberûm gratam facit,
opibusque potior dignitas multis placet.
Si, ut praedicat te nobilem, ita se res habet,
nomen parentum et patriae narra: (nam) ex bonis
quidquid creatum, pollui dictis nequit.'

17. Sed mittamus Chrysippum, non uno loco contraria scribentem; nam et in libro primo de Bonis et libro de Arte dicendi, opes, nobilitatem, pulchritudinem, sanitatem bonis si quis adscribat, non se repugnare ait. Libro quoque de Iis quae per se eligantur, ne ab insania quidem liberat eos, qui haec nihili faciant. Ac revera nihil illi, nihil Stoicis nobilitate opus, qui id genus philosophandi secuti sunt, quo sibi virgula velut divina omnia suppetere iactitant: se divites, nobiles, formosos, reges esse. Divites autem sint, sed qui ab aliis cibum emendicent; sint reges, sed quibus nemo pareat, ipsi omnibus sint obnoxii; soli omnia possi-

---

ψόγος Ribbeckius 15 *κάλλος* *: *κάλος* 21 *ῥάβδου*] margo codicis: *μηχανῆς* 23 *αὐτούς**: *τοὺς* ib. *ἀλλὰ* Duebnerus: *ἀλλ' εἰ* 25 supplendum vid. *μόνοι τὰ πάντα*

τρεῖς μῆνας μισθωσάμενοι τὸν δὲ μισθὸν οὐκ ἀποτελοῦντες.

18. *Ὁ δὴ Φίλων οὐχ ὥσπερ σοι δοκεῖ, οὕτως ἄδικος διάκειται πρὸς τὴν εὐγένειαν, οὔτε τὴν τοῦ Λυκόφρονος γνώμην δοκιμάζει, καίπερ αὐτὴν ἀναφέρων. οὕτω γὰρ ἐκεῖνος· 'ὅλως δὴ περὶ εὐγενείας ἐγὼ ἀπορῶ, τίνας χρὴ καλεῖν τοὺς εὐγενεῖς. Εἰκότως γε, ἔφην, τοῦτο σὺ διαπορῶν· καὶ γὰρ παρὰ τῶν πολλῶν καὶ μᾶλλον παρὰ τῶν σοφῶν τὰ μὲν ἀμφισβητεῖται τὰ δ' οὐ λέγεται σαφῶς, εὐθὺς τὰ περὶ τῆς δυνάμεως· λέγω δὲ τοῦτο, πότερον τῶν τιμίων ἐστὶ καὶ σπουδαίων ἤ, καθάπερ Λυκόφρων ὁ σοφιστὴς ἔγραψε, καινόν τι πάμπαν. ἐκεῖνος γὰρ ἀντιπαραβάλλων ἑτέροις ἀγαθοῖς αὐτήν 'εὐγενείας μὲν οὖν' ἔφη 'ἀφανὲς τὸ κάλλος, ἐν λόγῳ δὲ τὸ σεμνόν, ὡς πρὸς δόξαν οὖσαν τὴν αἵρεσιν αὐτῆς, κατὰ δ' ἀλήθειαν οὐδὲν διαφέροντας τοὺς ἀγενεῖς τῶν εὐγενῶν'. ταῦτα δ' οὐ θαυμαστὸν ὑπὸ ἀγενοῦς γεγράφθαι σοφιστοῦ. ἆρα τίνα τούτῳ ἀντιθῶμεν; Ποσειδώνιον, οἶμαι, σεμνὸν μάλα φιλόσοφον ταῦτα πρὸς Τουβέρωνα διαλεγόμενον· 'ἀμφισβητεῖται δὲ καθάπερ καὶ περὶ τοῦ πηλίκον ἀγαθόν ἐστιν, οὕτω καὶ τίνας δεῖ καλεῖν εὐγενεῖς.*

3 *οὕτως* Duebnerus: *ὄντως* 4 *διακεῖται*: correxi 5 *αὐτὴν ἀναφέρων*] *αὐτῆς* (l. *αὐτῇ*) *χρώμενος* margo codicis 6 locum *ὅλως δὴ* — — *τῶν εὐγενῶν* servavit Stobaeus 86, 24 ib. *δὴ*] *δὲ* Stobaeus 8 *γε* idem: *γὰρ* ib. *σὺ* W: *εὖ* ib. *παρὰ τῶν πολλῶν* add. Wolfius ex Stobaeo 9 *καὶ μᾶλλον* addidi ex eodem 13 *κενόν* Iacobsius recte ut vid. 15 *εὐγενείας* Wolfius: *εὐγένειαν* ib. *ἔφη* Duebnerus: *ἧς* 22 cf.

deant, sed qui vix inquilini trimestrem mercedem pro domo locata persolvere possint.

18. Philo autem nobilitati non tam iniquus fuit, quam putas, neque vero probavit Lycophronis sententiam, tametsi retulerit. Sic enim ille: 'Plane dubito, quod attinet ad nobilitatem, qui tandem illi sint, quos appellare nobiles aequum esse videatur. Nec iniuria, inquam, super ea re quaestionem scite ponis. Etenim tam imperiti homines quam sapientes aut ea de re non idem sentiunt, aut non explicant satis dilucide. Verbi causa: quae demum vis huius sit, utrum nobilitas quiddam honoratum et praestabile sit, an potius, quod Lycophron sophista prodidit memoriae de ea, prorsus novo exemplo, verum iudicabimus? Nam is contendens hanc cum aliis bonis, ignotam esse in vulgus ait eius pulchritudinem, verboque solum, non re, eius dignitatem niti: quippe quam opinio vana faciat optabilem, re autem vera nihil inter ignobiles et nobiles interesse. Sed haec non mirum scripta ab ignobili sophista. Quem igitur huic opponemus? Posidonium, opinor, gravem inprimis philosophum, haec cum Tuberone disputantem (*Sunt Aristotelis*): 'Ambigi solet, non modo, quantum in nobilitate sit boni, sed etiam, qui de-

---

Stob. 86, 25. 'Ipsa ratio manifeste ostendit hunc locum ejusdem esse auctoris, cujus antecedentes loci, qui sub Aristotelis nomine exstant apud Stob. At noster iste tenebrio — — materiam apud Stobaeum repertam in aliorum celebrium virorum nomina transtulit' W

οἱ μὲν γὰρ τοὺς ἐξ ἀγαθῶν γονέων εὐγενεῖς εἶναι νομίζουσι, καθάπερ καὶ Σωκράτης· διὰ γὰρ τὴν Ἀριστείδου ἀρετὴν καὶ τὴν θυγατέρα αὐτοῦ γενναίαν εἶναι. Σιμωνίδην δέ φασιν ἀποκρίνασθαι διερωτώμενον τίνες εὐγενεῖς, τοὺς ἐκ πάλαι πλουσίων φάναι· καίτοι κατὰ τοῦτον τὸν λόγον οὐκ ὀρθῶς ἐπιτιμῶσιν ὁ Θέογνις οὐδ' ὁ ποιητὴς ὁ ποιήσας ὡς

'τὴν μὲν εὐγένειαν αἰνοῦσι βροτοί,
μᾶλλον δὲ κηδεύουσι τοῖσι πλουσίοις'.

ἢ πρὸς Διὸς οὐχ αἱρετώτερος ὁ πλουτῶν αὐτὸς ἢ οὗ ὁ πρόπαππος ἢ τῶν προγόνων τις πλούσιος ἦν, αὐτὸς δὲ πένης; Πῶς γὰρ οὔκ; εἶπε. Καὶ δέοι δ' ἂν κηδεύειν τοῖς πλουσίοις μᾶλλον ἢ τοῖς εὐγενέσιν; εὐγενεῖς γὰρ οἱ παλαιοί, κρείττους δ' οἱ νῦν. οὔκουν ὁμοίως κἄν τις ὑπολαμβάνῃ οὐ τοὺς εὐγενεῖς εἶναι τοὺς ἐκ πάλαι πλουσίων ἀλλὰ τοὺς ἐξ ἀγαθῶν πάλαι; κρείττων γὰρ ἂν δόξειεν ἀρχαίας ἀρετῆς πρόσφατος, καὶ μετέχειν μᾶλλον ἕκαστον πατρὸς ἢ προπάππου· αἱρετώτερον δ' αὐτὸν εἶναι σπουδαῖον, ἀλλ' οὐ τὸν πρόπαππον ἤ τινα τῶν ἄλλων προγόνων. Ὀρθῶς, ἔφη, λέγεις. Ἆρ' οὖν οὐκ ἐπεὶ ἐν μηδετέρῳ τούτων ὁρῶμεν τὴν εὐγένειαν, σκεπτέον ἄλλον τρόπον; Τίνα τοῦτόν ποτε; Σκε-

6 *κατὰ* W: *καὶ* 7 *ἐπιτιμῶσι. Θέογνις δὲ ὁ*: correxi ex Stobaeo, sed versionem intactam reliqui 9 vid. Nauck. p. 481 13 *δέοι δ'* Halmius: *δέοιτ'* 15 *οἱ πάλαι* Dielesius 16 *οὔκουν** *οὐκοῦν* 20 *αὐτὸν* Gesnerus: *αὐτοῦ* 22 *λέγεις* Cobetus: *λέγειν* 24 *ποτε** ('tandem'): *ἐνίοτε*

mum id nominis mereantur. Alii nobiles illos censent, quorum parentes bonitate praestiterint: quod facit Socrates. Qui, quoniam Aristides summa virtute fuit, generosam eius putat filiam esse. Simonidem ferunt, ecqui nobiles forent, aliquando interrogatum, eos respondisse, quorum maiores inde usque a multo tempore opulenti fuerint. Tamen sunt qui dictum vituperent, at minus recte. Theognis autem poeta hos edidit versus:

'Generositatem vulgus apprime probat:
Sed coniugem omnes ducere opulentam expetunt.'

An non, quaeso, est optabilius te divitem esse quam proavum tuum aut maiorum tuorum quempiam fuisse divitem aliquando, ceterum nunc esse pauperem? Quidni? inquit: ac censeo affinitatem potius cum pecuniosis quam nobilibus esse contrahendam. Nobiles illi antiqui sunt, at praestabiliores multo, qui nunc vivunt. Quare eadem opera existimes non magis eos nobiles haud (?) esse, quorum maiores opibus maximis multo ante floruerunt, quam qui longo intervallo repetunt sui generis primordium a viris praestantibus virtute. Virtus enim recentis memoriae longe melior quam illa prisca et obsoleta, propiusque attingit quemque coniunctio patris quam proavi, necnon satius est virum te bonum esse quam proavum aut maiorum tuorum quempiam. Est ita ut dicis, inquit. Cum ergo, inquam, neque in hoc, neque illo sit nobilitas po-

πτέον δή, ἔφη. τό 'εὖ' σημαίνει τι δήπου τῶν ἐπαινετῶν καὶ σπουδαίων, οἷον τό 'εὐπρόσωπον' καὶ τό 'εὐόφθαλμον'· ἀγαθὸν γάρ τι ἢ καλὸν σημαίνει κατὰ τοῦτον τὸν λόγον. Πάνυ γάρ, εἶπεν. Οὐκοῦν εὐπρόσωπον μέν ἐστι τὸ ἔχον ἀρετὴν προσώπου, εὐόφθαλμον δὲ τὸ ὀφθαλμοῦ ἀρετήν. Οὕτως, εἶπεν. Ἀλλὰ μὴν ἔστι γένος τὸ μὲν σπουδαῖον, τὸ δὲ φαῦλον ἀλλ' οὐ σπουδαῖον. Πάνυ γε, εἶπε. Σπουδαῖον δέ γέ φαμεν ἕκαστον κατὰ τὴν αὐτοῦ ἀρετὴν εἶναι, ὥστε καὶ γένος σπουδαῖον ὡσαύτως. Οὕτως, εἶπε. Δῆλον ἄρ', ἔφην, ὅτι ἐστὶν ἡ εὐγένεια ἀρετὴ γένους.'

19. *** Ταῦτα, φημί, οὔτε διαφημοῦσι τὴν εὐγένειαν, οὔθ' ὑπὸ τῶν ποιητῶν πεπλασμένα δύναται πρὸς τὴν τῆς ἀληθείας στερεὰν ταμιεύεσθαι μαρτυρίαν. ἐκεῖνοι γὰρ καὶ εἰς τοὺς θεοὺς αὐτοὺς ἀναφέρουσιν, ἅπερ οὐδ' εἰς σώφρονας ἄνδρας ἄνευ αἰσχύνης μεταθετέα· οὐδ' εἴ τινος ἀμφισβητούμενον γένος ἐστὶ καὶ ἀπ' αὐτοῦ διαδοχὴ τῆς εὐγενείας τύχῃ, διὰ τοῦτο τῆς εὐγενείας ἀρχὴ μιαίνεται· τούτων γὰρ οἱ πάλαι πρόγονοι καὶ ἐπιφανεῖς καὶ πᾶσιν ὑπῆρξαν ἔνδοξοι καὶ ἀπὸ τῶν εὐγενῶν εὐγενεῖς. ὅθεν δῆλον, εἰ τῆς εὐγενείας γονὴ προκεχυμένη εἰς ἔρωτας τοὺς ἀκολάστους ἔφυσεν ἀπαραιτήτους ἐπι-

1 δή Duebnerus: δ' 7 ἀλλὰ μήν ἐστι — — ἀρετὴ γένους ita Stobaeus: ἀλλὰ μήν ἐστι γένος σπουδαῖον ὡσαύτως. οὕτως εἶπε. Δῆλον γὰρ ἔφην ὅτι ἐστὶν ἡ εὐγ. ἀρετὴ γένους 12 verba 'Proinde quid Lycophron — — prodiderint Aegyptii veteres' neglexit interpres ib. διαφημοῦσι] δυσφημοῦσι W, sed fort. verbum diffamandi obversabatur 23 fort. εὐπαραιτήτους

nenda, uti apparet, an non alio modo investiganda est? Quo tandem? Age, inquit, dispiciamus. Particula *εὖ*, quae prima est huius vocabuli *εὐγένεια*, laudabile quid et praestans suoque in genere perfectum declarat, ut *εὐπρόσωπον*, honesta facie, *εὐόφθαλμον*, perspicaci oculo. Nam boni pulchrive quidpiam his verbis denotatur. Maxime vero, inquit. Igitur *εὐπρόσωπον* est quod faciei praeditum est virtute, *εὐόφθαλμον*, quod oculi. Est ita, inquit. Iam vero aliane est egregia laude familia quaedam turpis nec laudabilis? Maxime vero, inquit. Praestans et egregium quidquam dicimus pro natura suae virtutis, ac proinde idem sentiendum de bonitate generis. Est ita, inquit. Perspicuum ergo est, inquam, nobilitatem esse virtutem generis.'

19. Proinde quid Lycophron conatur ostendere, si repetamus aut Iovem aut Herculem aut eius liberos et posteros aut Theseum aut Bacchum aut Apollinem, Perseum, Iasonem, Cyrum et ex heroibus maiorem numerum, quorum se nobilitate deinceps multum iactavere, horum originem foedam fuisse et spuriam, etiam si excutiamus altius de Rhea quae prodiderint Aegyptii veteres. Haec, inquam, neque noxae esse possunt nobilitatis neque a poetis conficta in certum testimonium veritatis promenda. Illi quidem diis etiam ea tribuere, quae pudet in moderatos homines transferre. Neque si, qui parum certis natalibus prodiere, nobilitatis nomen propagavere, ideo origo foeda nobilitatis. Hi enim

γόνους, δικαιότερον ἂν ἦν τοὺς κατὰ νόμους ἐξ εὐγενῶν πεφυκότας ὡς ἐπαινετοὺς εὐδοκιμεῖσθαι. εἰ δ' ἐξ εὐγενοῦς ἐπιθυμίας εἰς δημοτικὸν πεπτωκυίας ἀνὴρ εὔσημος ἐγένετο, ὅσῳ εὐσημότερος ἔσεται ὁ ἐκ τοῦ καθαροῦ θαλάμου; οὐδ' ἐκ τῶν παρὰ τοὺς εὐγενεῖς πλημμελημάτων ἡ εὐγένεια τεύξεταί ποτε ἀκλείας, οὐ μᾶλλον ἢ διὰ τῶν φιλαργύρων πλεονεξίαν ἡ τῶν χρημάτων αὐγή. καὶ εἰ μὲν ἐκ τοιούτων ῥυπαρῶν συνουσιῶν προσεπεγένοντο εὐκλεεῖς, σπουδαῖοι δὲ γεγενημένοι τὴν τοῦ ὀνόματος ἀθανασίαν εἰς τὰ πόρρω προύδοσαν τοῖς ὕστερον, τί κωλύει τὴν εὐγένειαν ἀπὸ τῆς ἐκείνων ἀρετῆς ἀρχήν τε καὶ αὔξησιν εἰληφέναι; καὶ ὁ ὑβριστικῶς ἐρωτηθείς, τίς ποτ' ἐτύγχανεν ὢν ὁ τοῦ Πηλέως πατήρ, ἠρώτησε καὶ αὐτὸς τὸν Πτολεμαῖον τὸν βασιλέα, τίς ἦν ὁ τοῦ Λάγου πατήρ. ἢ ὕβριν ὕβρει ἀπέτρεψεν, ἢ τοὺς ῥυπαροὺς ἀνθρώπους ἐμιμήσατο, ὧν ἔθος ἦν ἀεὶ τῇ εὐγενείᾳ φθονεῖν. ἀξιῶ δὲ τῇ εὐγενείᾳ οὕτω τὴν οἰκείαν αὐτονομίαν διατηρεῖσθαι, ὡς μὴ καταπατεῖν τὰς ἄλλας ἐν τῇ πολιτείᾳ καταστάσεις καὶ αὐτὰς ἔχειν ἐν ὄχλου τάξει. Ἰνδικοὺς κύνας δῶρον πεμφθέντας Ἀλεξάνδρῳ φησὶν Ἀριστόβουλος πρὸς μὲν τοὺς ἀγρίους ταύρους καὶ ὀρεῖς ἀδμήτους προβαλλομένους ἀκινήτους κατακεῖσθαι, πρὸς δὲ τὸν εἰσηγμένον λέοντα ἐκθορήσαντας εἰς μάχην ἐπερρῖφθαι. τὸν αὐτὸν τρόπον ἐὰν μὲν δημοτικοί ποτε τὴν εὐγένειαν ζηλοτυπῶσιν, ἐὰν δὲ

5 παρὰ] περὶ? 7 ἀκλείας W: ἀκλεής 8 αὐγή] αὔξη W

antea clari et in vulgus noti fuere nobilium sati sanguine. Ex quo apparet, si nobilitatis semen effusum in amores parum pudicos inde tamen ortos posteritati commendare potuerit, multo magis aequum esse legitimis ortos nobilibusque parentibus claros laudabilesque censeri. Lapsa est libido nobilis in plebeiam aut sui similem? prodiit inde vir clarus? Quanto clarior, qui prodiit e puro thalamo! Neque unquam nobilium vitia nobilitatem infamaverint, non minus quidem, quam avarorum sordes opum splendorem. Quodsi ex sordidis hisce complexibus nati clari evasere, si virtutem amplexi nominis immortalitatem undique propagavere: quid vetat quin virtus eorum nobilitati principium incrementumque tribuere potuerit? Nam ille quidem, qui rogatus per contumeliam, quis fuisset Pelei pater, rogavit regem Ptolemaeum, prius responderet quis esset Lagi pater, vel contumeliam contumelia repulit, vel sordidorum hominum morem imitatus est, quorum semper proprium fuit obtrectare nobilitati. Volo enim ita nobilitas ius suum retineat, ne sibi tamen permissum putet conculcare et in ordinem reliquos omnes ordines redigere. Canes Indicos dono Alexandro datos refert Aristobulus, dum obiicerentur tauri ferocientes mulique, indomitos (*l.* immotos) iacuisse, at mox, exhibito leone, excitatos in pugnam ruisse. Ita si plebeii interdum obtrec-

---

25 mulique indomitos] noli corrigere 'mulique, immotos' cum Duebnero, sed potius 'mulique indomiti, immotos'

σοφισταὶ εἰς αὐτὴν φλυαρῶσιν, οὐ θέμις αὐτοὺς εἰσορούειν, βοᾶν, κράζειν, ἀλλὰ σιγῇ τὴν αὐτῶν στωμυλίαν καταχοῦν. ἔστω αὐτοῖς ἐν παραδείγματος λόγῳ τὸ τοῦ Καίσαρος ἀπόφθεγμα· λέγοντι γάρ τινι ὡς κακολογεῖται 'ἀλλὰ μὴν ἀρκεῖ μοι' φησίν 'ὡς τοιοῦτός εἰμι, ὥστε μὴ παρ' ἐκείνων κακουργεῖσθαι', οὐδ' ἐξεῖναι βούλομαι τοῖς εὐγενέσι, τοῖς ἐν τέλει, τοῖς ἄρχουσι, παρέχειν ὦτα ταύταις ταῖς ἔρισιν ἐκπεπληγμένους· ἀλλὰ μᾶλλον τὰς αὐτῶν μεταφέρειν μελέτας, πρὸς ἃ ἡ εὐγένεια συνεγείρει, ἵνα περὶ τῶν ἄλλων σωτηρίας σπουδὴν ποιούμενοι πολλήν, περὶ τῆς αὐτῶν οὐ πολλὴν ἄγαν ἔχωσι φροντίδα, μεθ' ἑαυτῶν ἀναπολοῦντες τὸ παλαιὸν ἐκεῖνο τοῦ Ἀλεξάνδρου 'εὖ ποιήσαντα κακῶς ἀκούειν εἶναι βασιλικόν'.

20. *** Ἀλλὰ μὴν οὐ περὶ τούτου ἡ παροῦσα πραγματεία, πότερον ὁ τῶν ἀγροίκων ἢ τῶν ἐν πόλεσιν ἀρχαιότερος βίος, οὐδ' εἴ τις ἐγκωμιάζων τὸ ἐν ἀγροῖς ζῆν τοῦ Κρόνου βασιλέως γόνον ὑπάρχειν ἔλεξε τοὺς γεωργούς, δέον ταύτην τὴν μαρτυρίαν ὡς ἀληθεστάτην προφέρεσθαι. ἅπαντες γὰρ ἡμεῖς οἱ θνητοὶ ὑπὸ τῶν θεῶν τυγχάνομεν γενόμενοι· οὐ μέντοι κωλύουσι τὰ ἤθη ἀλλὰ τὰ τῶν ἐθνῶν ἔθη καὶ αὐτὴ ἡ αἴσθησις ἡ κοινὴ τὸ ἀπ' αἰσχροῦ καλόν, ἀλήτην ἀπὸ πλουσίου, χωλὸν ἀπ' ἀρτίου μὴ διακρίνεσθαι. οὐδ' εἴ τινες ἐν τοῖς γε-

16 quae in conversione latina leguntur ('Menander, inquis, Heracleotes — — exercerent in animalia'), in textu graeco desiderantur

tant nobilitati, si sophistae in eam deblaterant, nolo irruant, clament, vociferentur: potius silentio obruant eorum loquacitatem. Imitentur Caesaris illius factum: cui cum narraretur esse qui ei detraherent, satis esse respondit, si id posset, ne illi facere aut moliri in eum quidpiam possint. Neque enim tantum volo esse otii nobilibus, proceribus, principibus, ut aures aperiant tricis hisce occupati. Potius cogitationes traducant ad id, quod (*l.* quo) eos excitat nobilitas, ut aliorum saluti prospicientes de sua parum sint solliciti repetantque vetus id Alexandri: *Cum bene feceris, male audire regium esse.*

20. Menander, inquis, Heracleotes agricolas ipsos unos esse reliquias ex stirpe Saturni praedicat; Epigenes Rhodius multis rationibus comprobat antiquiorem multo fuisse rem rusticam quam urbanam; Diophanes nobilitatis initium ex agricultura trahit, in qua qui excellere videbantur, pastores esse maluerunt, quasi et ipsi imperium exercerent in animalia. Atqui non id nunc agitur, antiquiorne sit rusticâ re urbana, neque, si quis collaudans rusticam vitam Saturni regis ex stirpe agricolas esse dixit, hoc quasi certissimum testimonium afferri debuit. Sumus quidem omnes mortales satu deorum procreati nec tamen prohibent mores, prohibent instituta gentium, prohibet ipse sensus communis, quin pulchrum a deformi, inopem a divite, claudum ab integro discernamus; nec, si inter agricolas alterius operae praestantiores, ideo ab iis ne-

ωργοῖς πρὸς ἑτέραν θεραπείαν ἔξοχοι, διὰ τοῦτο τὴν εὐγένειαν ἀπ᾽ αὐτῶν τὴν ἀρχὴν ἀναγκαῖον εἰληφέναι· οὐ γὰρ ἧττον λήγουσιν ὄντες γεωργοί, ὥσπερ ἐν οἰκίᾳ πολυτελεῖ δούλων εἰσὶ γένη πολλά, καὶ δοῦλοι μέντοι ὅ τε προστάτης καὶ οἱ ταμίαι καὶ οἱ κυαθίζοντες καὶ οἱ γραμματεῖς, ἔτι δὲ καὶ ἄλλοι, ὥσπερ οἱ κτηνονόμοι. — — — — — —

— — — — — — — — — — — — — —

— — — — — — — — — — — — — —

οὐδ᾽ ἀπρεπὲς ἂν ἦν ὅλην γῆν εὐγένειαν ἀποδείκνυσθαι, οὐχ ἧττον ἢ τὴν καλοκαγαθίαν· οὐδ᾽ ὅσοι περ ἀπὸ τοῦ Κάστορος καὶ Πολυδεύκους διφρηλατῶν γεγονότας ἐρίζουσιν, εὐγένειαν ἀποφαίνουσιν, ἀλλ᾽ ἀρχὴν μᾶλλον· οὐδ᾽ ἄδοξοι ἀλλ᾽ ἐπιφανεῖς ἔτυχον ἡνίοχοι τότε, ὅταν ἀφ᾽ ἁρμάτων μόνον ἦσαν αἱ μάχαι καὶ ἡ τῶν κελήτων ἠγνοεῖτο στρατεία· ὅσα δὴ τούτου παραδείγματα παρ᾽ Ὁμήρῳ; ἀλλὰ διὰ τί με πρὸς Πίνδαρον ἀνακαλεῖς;

‘ἓν ἀνδρῶν, ἓν θεῶν γένος· ἐκ μιᾶς δὲ πνέομεν
ματρὸς ἀμφότεροι.’

ἀλλ᾽ ἀπείρους τόπους ὁρᾶν ἔστι παρ᾽ ἐκείνῳ τοὺς νικῶντας ἀπὸ τῆς εὐγενείας ἐγκωμιάζοντι, καὶ αὐτὸν

3 *λήγουσιν*] add. *δουλείας* vel *δυσγενείας* W. *λέγουσιν* Duebnerus 7 inter *οἱ κτηνονόμοι* et *οὐδ᾽ ἀπρεπὲς* exciderunt in textu graeco quae in versione latina leguntur 10 *γῆν* *: *τὴν* codex. *τὴν χώραν* supplevit W 12 *τοῦ*] malim *τῶν* 13 *γεγονότας*] noli corrigere *γεγονότες*; in graeco sermone latina constructione interpres usus est 16 *καὶ* W, sed in tali sermone carere possis 18 *ἀνακαλεῖ*: corr. Wolfius 19 Pind. Nem. 6, 1. 2. 3

cesse fuit nobilitatem initium sumere; neque enim minus desinunt esse agricolae, non minus quam in copiosa familia servorum sunt varia genera, et tamen servi, atrienses, ratiocinatores, qui sunt a cyathis, qui ab epistolis servi, atque alii mediastini. Ecce autem ais non solum nobilitatis nomen irrepsisse in certos homines, at in certas etiam in universum provincias, veluti cum Euganei sese omnes nobilitate commendant, Moriseni Sitoniique, qui plane rectius Orphei nomine gloriantur quam qui incolunt Dioscuriadae oppidum et Henioch(or)i, qui se iactitant ab Amphyto Telquioque, Castoris et Pollucis aurigis, nobilitatos. Neque vero indecens fuerit universam provinciam nobilitatem ostentare, non minus quam probitatem et integritatem; neque qui se aurigis Castoris et Pollucis ortos contendunt, nobilitatem ostendunt, sed originem potius; neque tam viles, imo vero clari aurigae eo fuere tempore, quo ex curribus tantum pugnabatur, militia unius tantum equi ignota erat: cuius rei exempla innumera apud Homerum exstant. Quorsum autem ad Pindarum me revocas, qui dicit

'Hominum genus idem esse, quod deorum,
ex una parente utrosque spirare'.

Quin potius innumeros eius locos intuere, qui victores laudet e maiorum nobilitate et illum ipsum

Ἀλκιμήδην ἀπὸ τοῦ πάππου Πραξιδάμαντος, τοῦ Σωκλίδου μνήμην ἀνανεώσαντος, ὃν τῶν Ἀγεσιμάχου υἱῶν ἐξοχώτατον ὑπάρξαι φησί· οὐδ' ἐπῆλθεν αὐτῷ μὴ κακολογεῖν τὴν εὐγένειαν, ἀλλὰ μᾶλλον προτρέπειν ἅπαντας τοὺς ἀνθρώπους πρὸς τὸ τὰ τῆς σπουδῆς καὶ ἀρετῆς καλὰ καρποῦσθαι, ὅσοιπερ ἀπὸ τῶν θεῶν γεγονότας μεμνῆσθαι ἀξιοῦσι. οὐ γὰρ Ἡσιόδου εἵπετο τοῖς λήροις φάσκοντος ἐκ τῆς Γῆς τὸν Οὐρανόν, ἐξ Οὐρανοῦ Κρόνον, ἐκ Κρόνου Δία πεφυκέναι· ὁ δὲ Πίνδαρος συνετῶς οὐ πάντας ἐξ ἴσου διάγειν βίον μαρτυρεῖ ἐν τοῖς τοῦ Σωγένους ἐγκωμίοις.

21. *Μέχρι δὲ τίνος ἀπειρόκαλος ἔσῃ τὸ Ἰφικράτους ἀπόφθεγμα εὐλογήσας; τοιούτῳ δὲ κέχρηταί ποτε καὶ ὁ Τύλλιος. ὁ μὲν οὖν Ἰφικράτης ἀστείως τινὶ ἑαυτὸν μὲν ἀφ' Ἁρμοδίου γένος ἔχειν μεγαλαυχοῦντι ἐκείνῳ δὲ ὀνειδίζοντι τὸ ἀγενές 'ἀλλὰ μὴν τό μου γένος ἀπ' ἐμοῦ λαμβάνει τὴν ἀρχήν, τὸ δὲ σὸν ἐν σοὶ λήγει'. τούτοις ἐκεῖνος τὴν μὲν εὐγένειαν οὐ κατέβαλεν, τὸ δὲ ἀγενὲς εἰκότως ἀνέκαμψεν εἰς τὸν ὀνειδίζοντα. οὕτως δὲ δίκαιόν ἐστι τοὺς εὐγενεῖς τῆς αὐτῶν εὐγενείας ἀντιποιεῖσθαι, ὥστε μηδαμῶς αὐτοὺς μὲν ἀλαζονεύειν τοὺς δὲ ἄλλους ἀποβηματίζειν, ἐν νόῳ ἔχοντας ὡς καὶ αὐτοὶ κοινῇ μοίρᾳ πεφυκότες καὶ ἀσμένως ἂν ἀκούσοντες τὸ Εὐριπίδειον ἐκεῖνο πρὸς Ἑκάβην·*

2 *Σωκλείδου?* ib. *Αἰγεσιμάχου*: corr. W ex Pindaro 3 *υἱῶν* Wolfius: *ἡδὺ* ib. *ἐπῆλθεν*] *ἠθῆλθεν* codex 4 *μὴ*]

Alcimiden a Praxidamante avo, qui Soclidae memoriam renovarit, quem Agesimachi liberorum excellentissimum fuisse ait. Non autem in mentem illi venit obtrectare nobilitati, potiusque universos mortales hortari et excitare ad industriae fructus virtutisque decerpendos, qui satu deorum ortos sese meminisse possint. Non enim nugas Hesiodi secutus est, qui e Terra Coelum, ex Coelo Saturnum, ex eo Iovem genitum cecinit. Quam prudenter mox (?) Pindarus non omnes nos ex aequo vitam transigere Sogenem laudans testatur.

21. Quousque vero tandem in Iphicratis verbo commendando, quod et recte a M. Tullio usurpatum est, nimius eris? Iphicrates quidem salse in Harmodii e familia sese ortum iactantem eique ignobilitatem exprobrantem hoc detorsit: *Meum genus a me initium sumit, tuum autem in te finit.* Hoc ille cum dixit, non nobilitatem generis elevavit; sibi autem exprobrantem ignobilitatem iure refutavit. Ita enim aequum fuerit nobiles nobilitatem suam tueri, ne illa freti nimium insolescant, alios vero de gradu deiiciant; meminerint quoque sese communi sorte natos et qui audire possint Euripideum illud Polydori ad Hecubam matrem:

---

del. Wolfius 7 *γεγονότας*] vid. p. 270, 13 14 *εὐλογήσας*] *ἐπιφημίζων* margo cod. quod genuinum esse videtur 17 *εὐγενές*: corr. Duebnerus 20 *ἀνέκαμψεν*] fort. *ἀνέπεμψεν* 26 *Ἑκάβην*] vs. 55

'φεῦ, ὦ μῆτερ, ἥτις ἐκ τυραννικῶν δόμων
δούλειον ἦμαρ εἶδες· ὡς πράσσεις κακῶς
ὅσον περ εὖ ποτ'. ἀντισηκώσας δέ σε
φθείρει θεῶν τις τῆς πάροιθ' εὐπραξίας.'

καὶ παρὰ τῷ αὐτῷ οὐκ ἀνάρμοστα τὰ Πολυνείκους·

'οὐδ' ηὑγένειά σ' ἦρεν εἰς ὕψος μέγα;
κακὸν τὸ μὴ ἔχειν· τὸ γένος οὐκ ἔβοσκέ με.'

οὐ διαμάχεται μὲν οὖν τοιαῦτα τῇ εὐγενείᾳ, μᾶλλον δὲ νὴ Δία προσορμῶσι πρὸς τὴν τῶν προγόνων δόξης ἀντίληψιν, σωτηρίαν, αὔξησιν· χαλεπὸν γὰρ καὶ δύσφορον τὸ τοῦ Ὀδυσσέως, ὅταν δικαίως εἰς εὐγενῆ ῥίπτηται·

'σὺ δ' ὦ τὸ λαμπρὸν φῶς ἀποσβεννὺς γένους,
ξαίνεις, ἀρίστου πατρὸς Ἑλλήνων γεγώς.'

οὐ γὰρ ἐκεῖνοι πρὸς ὀρχήσεις γενόμενοι οὔτε πρὸς τὰς ἡδονὰς παιδιὰς ἀφροδίσια ἁρπαγὰς ἀδικίας πεφυκότες, ἀλλὰ πρὸς μὲν τὴν ἀρετὴν πόνον σπουδὴν τὴν περὶ τῶν πολιτῶν σωτηρίαν, πρὸς δὲ τοῦ δήμου πολιτικὰς ὠφελείας, εἰκότως πρέπον αὐτοὺς οὐ μόνοις σφίσιν αὐτοῖς φαινομένους πεφυκέναι. τούτοις δὲ φάναι προσήκει τὰ ὑπὸ τοῦ Σατύρου τῇ Παλλάδι λεχθέντα περὶ τὴν αὐλητικὴν ἄγαν δήπου τερπομένῃ·

'οὔτοι πρέπει τὸ σχῆμα· τοὺς αὐλοὺς μέθες,
καὶ θὤπλα λάζευ καὶ γνάθους εὐθημόνει.'

6 vid. Eur. Phoen. 404   13 σὺ — — γεγώς] add. W. vid. Nauck. p. 840   24 versus οὔτοι πρέπει — — εὐθημόνει in interpretatione latina servatos supplevi ex p. 456b

'O parens, quae regia
genita domo servis, ut infelix agis,
quantum prius nunquam; deus quis te bona
ex ante fortuna malis conficit varians(?).'

Nec vero Polynicis apud eundem insulsa illa:

'*Io.* Non te generis evexit ad summum decus?
Pol. Malum carere est; nam genus non me aluit.'

Talia non oppugnantis sunt nobilitatem, imo per Iovem excitantis ad maiorum decus tuendum, conservandum, augendum. Grave enim, per, inquam, grave videtur illud (Ulyssis), cum recte confertur in nobilem:

'Tu splendidum natalium obscurans decus
lanam trahis, patre natus Argivûm optimo.'

Non enim illi ad choreas nati, non ad oblectationes, lusus, res venereas, rapinas, iniurias aliis inferendas editi, potius ad virtutem, laborem, tuendos in officio cives, populares iuvandos: merito ut, qui plus quam deceat sibi ipsis solum nati videantur, iure quae a Satyro audiit Pallas, cum tibia oblectaretur, audire possint:

'Haud te decet forma ista, mitte tibias,
sume arma, buccas ut decet componito.'

ἀλλὰ πατρῴας μεμνημένους εὐγενείας, ἐς ταύτην ἐσιδεῖν, ταύτῃ ἥδεσθαι, πρὸς ταύτης αὔξησιν προπετεῖς ὑπάρχειν καὶ τῇ ἑτέρᾳ ἐκείνῃ τῆς ψυχῆς εὐγενείᾳ ἐπιφανεῖς ποιεῖσθαι δεῖ. ἔτι δὲ πρὸς ἐκεῖνο τοῦ συνετωτάτου ποιητοῦ ἀναβλέπειν ** προσέχειν δὲ τὸν νοῦν, ὅπως ἑαυτοῖς ἁρμόζῃ τὸ πρὸς Ἑρμῆν λεχθὲν παρὰ Πριάμου

‘οἷος δὴ σὺ δέμας καὶ εἶδος ἀγητὸς
πέπνυσαί τε νόῳ, μακάρων δ' ἔξ ἐσσι τοκήων.’

καὶ δικαίως οἷοί τε ὦσι προφέρειν τὸ Ὀδυσσέως πρὸς Πηνελόπην, τῆς ὀλεθρίας ἡδονῆς ἡττηθείσης·

‘ὡς δ' αὔτως Κίρκη κατερήτυεν ἐν μεγάροισιν
Αἰαίη δολόεσσα, λιλαιομένη πόσιν εἶναι,
ἀλλ' ἐμὸν οὔποτε θυμὸν ἐνὶ στήθεσσιν ἔπειθεν.’

ὡς δὲ εὐπρεπὲς οὐχ ὑπὸ τῶν κολάκων ἀλλὰ καλῶν τε καὶ ἐπαινετῶν ἀνδρῶν ἀκούειν, ὅπερ ἀκήκοεν Ἕκτωρ ὑπὸ τοῦ Πολυδάμαντος·

‘ἄλλῳ μὲν γὰρ ἔδωκε θεὸς πολεμήια ἔργα,
ἄλλῳ δ' ὀρχηστύν, ἑτέρῳ κίθαριν καὶ ἀοιδήν,
ἄλλῳ δ' ἐν στήθεσσι τίθει νόον εὐρύοπα Ζεὺς
ἐσθλόν, τοῦ δέ τε πολλοὶ ἐπαυρίσκοντ' ἄνθρωποι,
καί τε πόλεις ἐσάωσε, μάλιστα δέ κ' αὐτὸς ἀνέγνω.’

καὶ τοῦ αὐτοῦ·

5 locum non inveni; quare lacunam inserui 10 vid. Hom. *Ω* 376 11 *νόῳ* Homerus: *νόον* 14 id. *ι* 32 20 id. *N* 730

Sed moniti nobilitatis paternae, hanc intueri, hac se oblectare, huic augendae incumbere debent seseque altera illa nobilitate insignire, ad illudque subinde respicere poetae peritissimi:

'Non decet ut Hector pronus incumbere tectis
ille velit clarus fixusque insidere plumis.'

Illudque Priami de Mercurio elogium ut in eos competat, curent diligenter:

'Corporis admiranda tua est species, sapis atque
mente simul: satus es maiorum stemmate claro.'

Iure quoque Ulyssis illud ad Penelopen proferre possint, voluptate pestifera superata:

'Sic itidem Circes retinebar in aedibus altis,
coniugii taedas cuperet dum meque maritum:
ast animum potuit nequaquam flectere nostrum.'

Quam enim praeclarum non ab assentatoribus, at ex animo a probis laudatisque viris audire, quod audiit Hector a Polydamante:

'Namque alii deus ut curae sint Martia facta,
ast alii dedit ut sapiat, sit providus, atque
cum sibi tumque aliis, ac oppida servet ab hoste;
atque haec ipse tenes in primis, optime ductor.'

Et illud eiusdem:

‘λαῶν οἷσιν ἄνασσε, πατὴρ δ' ὣς ἤπιος ἦεν.’

ἀλλὰ παρ' Εὐριπίδῃ, φής, οὐκ Ἠλέκτρα δικαίως χλευάζει τὴν εὐγένειαν λέγουσα τὸν ἔνδοξον Ἀγαμέμνονα, εἰ ἄρα ἔνδοξον, ἐξ Ἀτρέως γεγονέναι καὶ διηγουμένη τὴν Ταντάλου τοῦ Διὸς αἰκίαν τιμωρουμένων τῶν θεῶν; ἀλλὰ μὴν οὐ δίκαιόν ἐστι τὴν ἑνὸς ἢ δυεῖν ἀλαζονείαν τῇ εὐγενείᾳ πράγματα παρέχειν· οὐδ' ἐκείνη φησὶ τὰς ἀτυχίας ὀνειδίζειν, καὶ φάσκουσα δὲ μηδὲν κακόν, μηδένα νόσον εἶναι, οὗ τὸ φορτίον οὐ φέρῃ ἡ τῶν ἀνθρώπων φύσις, εἰς τὴν ἀνθρωπίνην μᾶλλον εἰσέβλεπε μοῖραν. οὐ κάκιστα δὲ ὁ Ἀρχίλοχος·

‘τοῖος ἀνθρώποισι (γὰρ) θυμός, Γλαῦκε Λεπτίνεω πάι,
γίγνεται θνητοῖς, ὁκοίην Ζεὺς ἐπ' ἡμέρην ἄγῃ.’

τὸ Αἰσώπου βατραχίδιον πρὸς τὴν μητέρα ἐξογκουμένην καὶ ἐρωτῶσαν, εἰ ὁ τοὺς ἀπούσης αὐτῆς γόνους βεβορὼς μείζων ἦν, ἀπέκρινεν ‘οὐδ' ἂν μέση διαρραγῇς’ φησίν ‘ὦ μῆτερ, ἐκείνῳ τύχῃς ἴση·’ οὕτως οὐδ' οἱ ἀγενεῖς λεγέτωσαν ὅσα βούλονται, βασκαινέτωσαν τῇ εὐγενείᾳ, οὐδέποτε τῶν εὐγενῶν κρείττονες ἔσονται, οὔτε πάρισοι, μὴ προύργου ποιήσαντες τὴν ἀρετήν. πόθεν δή; ἢ ἐξ ἴσης ἀνθρώπων μοίρας; ἢ φύσει τινί; ἢ

‘ὅν τε διὰ βροτοὶ ἄνδρες ὁμῶς ἄφατοί τε φατοί τε
ῥητοί τ' ἄρρητοί τε, Διὸς μεγάλοιο ἕκητι;’

1 Hom. ε 12 2 εὐριπίδην: corr. W, sed fort. relinquendus erat accusativus (‘apud *Euripidem*’) cf. p. 62, 55

'Ceu mitis pater hic populo imperitare solebat.'

At apud Euripidem, ais, Electra an non iure ridet nobilitatem, dum ex Atreo illustrem (si modo illustrem) Agamemnonem ait natum, dumque Iove nati Tantali poenam refert? Sed enim non unius aut alterius insolentiam nobilitati nocere aequum fuerit, nec illa se ait exprobrare infortunia. Cumque refert nullum esse malum aut morbum, cuius non ferat onus hominis natura: ad communem hominum sortem potius respexit. Nec vero pessime Archilochus:

'Talis hominibus enim
animus inest, o Glauce, Leptine sate,
mortalibus, qualem in dies deus excitat.'

Ranuncula Aesopica, matre intumescente et rogante, maiorne esset, qui se absente vorasset partus suos: 'Non si media dirumparis, mater, aequalis illi eris' respondit. Ita nec ignobiles dicant quod volent, detrahant nobilitati, obloquantur, nunquam superiores erunt nobilibus, non aequales, nisi virtutis specimen ediderint. Unde id tandem? An inaequali sorte hominum? an genio aliquo? an Iovis magni consilio, ut ait Hesiodus, accidit ut alii ob-

---

9 *μηδένα νόσον*!! 10 *φορτίον*] *ἄχθος* mg. cod. ib. *φέροι* Duebnerus interpretem corrigens 13 vid. Bergk. 2 p. 402 ib. *γὰρ*] del. W, sed ex latina conversione irrepsit 15 *γίνεται θν. ὁκοῖον* Z. *ἐφ' ἡμέραν ἄγει*: correxi ex Bergkio 16 *ἐξογκωμένην*: correxi 22 *ἔσονται οὔτε κρείττους* mg. 23 *ἴσης*] contrarium requiritur 25 ex Hes. OD 3. 4 supplevi quos versio latina servavit versus

ἢ τοῖς Αἰσωπικοῖς μύθοις πάλιν προσέχοντες, τὰ ἡ ἐργάσιμος ἡμέρα τῇ ἑορτῇ ἀντήρητο, ὡς ὑφ' αὐτῆς ἐπιπεπονημένων, ῥαθύμως διὰ λαιμαργίας ἀναλίσκουσαν· 'φέρε δή' ἔφη, 'τὰς μοίρας ἀλλήλαις μεταβάλλωμεν'. ἡ δ' ἀπέκρινεν 'οὐ θέμις τὸ ὑπὸ Διὸς ἐπιτελούμενόν μοι τῶν ἱερῶν κλῆρον καταλείπειν· συμφέρειν τῷ Διὶ ἑκὰς τῶν μυστηρίων ἀποτρέπειν τὸν βέβηλον ὄχλον'. (*Λείπει τὰ ἑξῆς.*)

1 *τὰ*] *ἃ* Duebnerus; malim *ὅταν* (cum) 2 *ἐργάσιμος* *: *ἐργάτις ἐργάσιμος* 3 *ἀναλισκούσῃ* Wolfius. cf. p. 320 f. 5 *τὸ*] *τὸν*?

scuri, alii inclyti sint? an (ut ad fabulas Aesopicas redeamus) cum festo diei profestus insultaret et quae summis laboribus quaereret, illum per socordiam atque ingluviem consumere quereretur, ferret hanc conditionem? mutarent sortem, ex profesto festus fieret. Respondit a Iove sortem sacrorum sibi commissam nefas esse relinqui: interesse Iovis procul arceri a mysteriis profanum vulgus. *Desunt reliqua.*

ΠΕΡΙ ΠΟΤΑΜΩΝ ΚΑΙ ΟΡΩΝ ΕΠΩΝΥΜΙΑΣ

ΚΑΙ ΤΩΝ ΕΝ ΑΥΤΟΙΣ ΕΥΡΙΣΚΟΜΕΝΩΝ.

I. ΥΔΑΣΠΗΣ.

1. *Ὑδάσπης ποταμός ἐστι τῆς Ἰνδίας νεανικῶς καταφερόμενος εἰς τὴν Σαρωνιτικὴν Σύρτιν· ἐκαλεῖτο δὲ πρότερον Ἰνδός· μετωνομάσθη δὲ δι' αἰτίαν τοιαύτην. Χρυσίππη διὰ μῆνιν Ἀφροδίτης εἰς ἐπιθυμίαν ἐμπεσοῦσα τοῦ γεννήσαντος Ὑδάσπου καὶ μὴ στέγουσα τοὺς παρὰ φύσιν ἔρωτας νυκτὸς βαθείας τῷ προειρημένῳ συνῆλθε, τῆς τροφοῦ συνεργούσης. οὐκ εὐτυχήσας δὲ περὶ τῶν συμβεβηκότων ὁ βασιλεὺς τὴν μὲν ἐνεδρεύσασαν αὐτὸν γραῦν ζῶσαν κατέχωσεν, τὴν δὲ θυγατέρα σταυρώσας διὰ λύπης ὑπερβολὴν ἔρριψεν ἑαυτὸν εἰς ποταμὸν Ἰνδόν, ὃς ἀπ' αὐτοῦ Ὑδάσπης μετωνομάσθη.*

2. *Γεννᾶται δ' ἐν αὐτῷ λίθος Λύχνις καλού-*

5 *Ὑδάσπης ποταμός* H ib. *ἐστι — — Σύρτιν*] idem huc transposuit; vulgo (*ἔστι δὲ τῆς Ἰνδίας* cett.) legebantur post *μετωνομάσθη* 6 *Σαρωνικὴν* Maussacus ib. *ἐκαλεῖτο — — τοιαύτην* H 11 *συνεργούσης* Hemsterhusius: *συνελθούσης* 12 *οὐκ εὐτυχήσας*] *κατηχήσας* idem. *κατηχηθεὶς* W. *ἀθυμήσας* Schol. Malim *κατηχ*[*Ηθεὶς δὲ καὶ ἀθυμ*]*Ήσας* cf. p. 92, 38 17 *λυχνίτης* Maussacus

μενος· ἐλαιώδης δ' ἐστὶ τῇ χρόᾳ καὶ ζεστὸς πάνυ· σελήνης αὐξομένης εὑρίσκεται πρὸς μελῳδίαν αὐλῶν· χρῶνται δ' οἱ ἐν ἐξοχῇ τυγχάνοντες αὐτῷ.

3. *Εὑρίσκεται δ' αὐτοῦ παρὰ τὰς καλουμένας Πύλας βοτάνη παρόμοιος ἡλιοτροπίῳ· ταύτην λειοτριβοῦντες τῷ χυλῷ τοῖς καύμασιν ἀλείφονται, καὶ φέρουσιν ἀκινδύνως τῆς περισσοτέρας θερμασίας τὴν ἀναθυμίασιν.*

4. *Οἱ δ' ἐγχώριοι, τὰς ἀσεβῶς ἀναστρεφομένας παρθένους σταυροῖς προσηλώσαντες, εἰς αὐτὸν βάλλουσι, τῇ σφῶν διαλέκτῳ τὸν Ἀφροδίτης ὕμνον ᾄδοντες.*

5. *Κατορύσσουσι δὲ κατ' ἐνιαυτὸν γραῦν κατάκριτον παρὰ τὸν ὀνομαζόμενον λόφον Θηρογόνου· ἅμα γὰρ τὴν πρεσβῦτιν κατορυχθῆναι ἑρπετῶν πλῆθος ἐκ τῆς ἀκρωρείας ἐξέρχεται καὶ τὰ περιιπτάμενα τῶν ἀλόγων ζῴων κατεσθίει· καθὼς ἱστορεῖ Χρύσερμος ἐν π' Ἰνδικῶν. μέμνηται δὲ τούτων ἀκριβέστερον Ἀρχέλαος ἐν ιγ' περὶ Ποταμῶν.*

6. *Παράκειται δ' αὐτῷ ὄρος Ἐλέφας καλούμενον δι' αἰτίαν τοιαύτην· Ἀλεξάνδρου τοῦ Μακεδόνος μετὰ στρατεύματος εἰς Ἰνδίαν ἐλθόντος καὶ τῶν*

1 *καὶ ζεστὸς πάνυ*] *καὶ πάνυ ναστὸς* H. *καὶ ξεστὸς πάνυ* Dodwellus. Sed vulgata bene se habere vid. *Ζεστὸς* enim non solum de fervore sed etiam de calore (= *θερμὸς*) et dicebatur et adhuc dicitur. cf. Diog. Laert. 6, 23: *ἐπὶ ψάμμου ζεστῆς*   4 *δ' αὐτοῦ*] *δ' ἐν αὐτῷ* H   10 *παρθένους*] *πόρνας* Schol.   14 *θηρογονου*: corr. H   15 *κατορυχθῆναι*] sive *καταχωσθῆναι* H   17 *ἀλόγων*] *ἄλλων* W   ib. *κατεσθίει*] auditur *τὴν γραῦν*   20 *παράκειται* H: *ὑπόκειται*

ἐγχωρίων κρίσιν ἐχόντων ἀντιπολεμεῖν αὐτῷ, Πώρου τοῦ βασιλέως τῶν τόπων ἐλέφας αἰφνιδίως οἰστροπλὴξ γενόμενος ἐπὶ τὸν Ἡλίου λόφον ἀνέβη καὶ ἀνθρωπίνῃ φωνῇ χρησάμενος εἶπεν 'δέσποτα βασιλεῦ, τὸ γένος ἀπὸ Γηγασίου κατάγων, μηδὲν ἐξ ἐναντίας Ἀλεξάνδρου ποιήσῃς· Διὸς γάρ ἐστι Γηγάσιος'. καὶ τελέσας τὸν λόγον ἔθανεν. ἀκούσας δὲ τούτων ὁ Πῶρος ψοφοδεὴς τοῖς Ἀλεξάνδρου γόνασι προσέπεσεν, εἰρήνην αἰτούμενος· τυχὼν δὲ ὧν ἤθελε τὸ ὄρος Ἐλέφαντα μετωνόμασεν· καθὼς ἱστορεῖ Δέρκυλλος ἐν γ' περὶ Ὀρῶν.

II. ΙΣΜΗΝΟΣ.

1. Ἰσμηνὸς ποταμός ἐστι τῆς Βοιωτίας κατὰ πόλιν Θήβας· ἐκαλεῖτο δὲ τὸ πρότερον Κάδμου ποὺς ἀπ' αἰτίας τοιαύτης. Κάδμος τὸν κρηνοφύλακα δράκοντα τοξεύσας καὶ εὑρὼν ὥσπερ πεφαρμακευμένον φόνου τὸ ὕδωρ περιήρχετο τὴν χώραν ζητῶν πηγήν· γενόμενος δὲ κατὰ τὸ Κωρύκαιον ἄντρον, κατὰ πρόνοιαν Ἀθηνᾶς τὸν δεξιὸν πόδα βαθύτερον εἰς πηλὸν ἤρεισεν· ποταμοῦ δ' ἀναδοθέντος ἐκ τοῦ τύπου, ὁ ἥρως βουθυτήσας Κάδμου πόδα προσηγόρευσεν αὐτόν. μετὰ δέ τινα χρόνον Ἰσμηνός, Ἀμ-

5 *Γηγασίου*] *Πηγασίου* H 6 *Γηγάσιος* seclusit H. *Διὸς γὰρ ἥττων* (vel *χείρων*) *ἐστὶν Γηγάσιος* C. Muellerus 8 *ψοφωδηεος* P ib. *τοῖς* Piccolos: *τοῦ* 16 *ὥσπερ*] del. W 17 *φόνου* Reinesius: *φοβου* codex. *φόνῳ* Muellerus 18 *κωρύκιον*: corr. Geleniana 20 *τόπου*: corr. Bernardi

φίονος καὶ Νιόβης παῖς, ὑπ' Ἀπόλλωνος τοξευθεὶς καὶ ἀλγηδόνι συνεχόμενος ἑαυτὸν ἔβαλεν εἰς τὸν προειρημένον ποταμόν, ὃς ἀπ' αὐτοῦ Ἰσμηνὸς ὠνομάσθη· καθὼς ἱστορεῖ Σώστρατος ἐν β' περὶ Ποταμῶν.

2. Παράκειται δ' αὐτῷ Κιθαιρὼν ὄρος, ὀνομαζόμενον δὲ πρότερον Ἀστέριον δι' αἰτίαν τοιαύτην. Βοιωτοῦ τοῦ Ποσειδῶνος, ἐκ δυεῖν γυναικῶν τῶν ἐπισήμων θέλοντος γῆμαι τὴν ὠφελιμωτέραν, καὶ ἐν ταῖς ἀκρωρείαις λόφου τινὸς ἀνωνύμου νυκτὸς περιμένοντος ἀμφοτέρας, αἰφνιδίως ἐξ οὐρανοῦ κατενεχθεὶς ἀστὴρ ἐνέπεσε τοῖς Εὐρυθεμίστης ὤμοις καὶ ἀφανὴς ἐγένετο. Βοιωτὸς δὲ τὸ σημαινόμενον νοήσας τὴν μὲν κόρην ἔγημε, τὸ δ' ὄρος ὠνόμασεν Ἀστέριον ἀπὸ τοῦ συγκυρήματος. ὕστερον δ' ἐκλήθη Κιθαιρὼν δι' αἰτίαν τοιαύτην. Τισιφόνη, μία τῶν Ἐρινύων, εἰς ἐπιθυμίαν ἐμπεσοῦσα παιδὸς εὐπρεποῦς, Κιθαιρῶνος τοὔνομα, καὶ μὴ στέγουσα τὴν ἐπίτασιν τῶν ἐρώτων, λόγους αὐτῷ περὶ συνόδων ἀπέστειλεν· ὁ δὲ τὸ καταπληκτικὸν τῆς προειρημένης φοβηθεὶς οὐδ' ἀποκρίσεως αὐτὴν ἠξίωσεν· ἡ δ' ἀποτυχοῦσα τῆς προαιρέσεως ἐκ τῶν πλοκάμων ἕνα τῶν δρακόντων ἀπέσπασεν καὶ ἐπὶ τὸν ὑπερήφανον ἔβαλεν· ὁ δ' ὄφις τοῖς κόλποις περισφίγξας αὐτὸν ἀνεῖλεν Ἀστερίου ποιμαίνοντα ἐν ταῖς ἀκρωρείαις.

10 νυκτὸς] add. βαθείας H 11 αἰφνίδιος: corr. H 12 ἔπεσεν: corr. W 17 ἐριννῦων codex hic et infra 25 ποιμαίνοντος: corr. Maussacus

κατὰ δὲ πρόνοιαν θεῶν τὸ ὄρος ἀπ' αὐτοῦ μετωνομάσθη Κιθαιρών, καθὼς ἱστορεῖ Λέων ὁ Βυζάντιος ἐν τοῖς Βοιωτιακοῖς.

3. *Ἑρμησιάναξ δὲ ὁ Κύπριος ἱστορίας μέμνηται τοιαύτης. Ἑλικὼν καὶ Κιθαιρών, ἀδελφοὶ τυγχάνοντες, διαφόρους ἔσχον τῶν τρόπων τὰς διαθέσεις· ὁ μὲν γὰρ Ἑλικών, πραότερος ὑπάρχων καὶ προσηνής, συμπαθῶς ἐγηροβόσκει τοὺς γονεῖς· ὁ δὲ Κιθαιρών, πλεονέκτης τυγχάνων καὶ θέλων εἰς ἑαυτὸν μεταστῆσαι τὴν οὐσίαν, πρῶτον μὲν ἐφόνευσε τὸν γεννήσαντα, τὸν δ' ἀδελφὸν ἐξ ἐνέδρας κατακρημνίζων καὶ αὐτὸς συγκατηνέχθη· κατὰ δὲ θεῶν πρόνοιαν εἰς ὁμώνυμα ὄρη μεταμορφωθέντες ἐγένοντο Κιθαιρὼν μὲν διὰ τὴν ἀσέβειαν Ἐρινύων μυχός, Ἑλικὼν δὲ διὰ τὴν φιλοστοργίαν Μουσῶν ἐνδιαίτημα.*

III. ΕΒΡΟΣ.

1. *Ἕβρος ποταμός ἐστι τῆς Θρᾴκης, ** προσηγορίαν εἰληφὼς ἀπὸ τῆς συστροφῆς τῆς καταφορᾶς τοῦ ὕδατος. ** Κάσανδρος δὲ ὁ βασιλεὺς τῶν τόπων, γήμας Κροτονίκην, ἐγέννησεν ἐξ αὐτῆς υἱὸν Ἕβρον· ἀποταξάμενος δὲ τῇ συμβιώσει τῆς προτέρας*

8 *γηροβοσκεῖ*: corr. W 14 *μυχός* Barthius: *μῦθος* 15 *τὴν* H 18 lac. significavit Duebnerus. Suppleo: *ΠΡΟ-[τερον Ῥόμβος καλούμενος, τὴν ΠΡΟ]σηγορίαν* cett. 19 *εἰληφὼς* Bastius: *εἰφὴ ὡς* 20 lac. dedit Duebnerus; supplet H ita: *μετωνομάσθη δὲ δι' αἰτίαν τοιαύτην.* Nihil mutandum censet Muellerus ib. *δὲ*] del. H 21 *κροτωνίκην*: corr. H. *Κρατονίκην* Muellerus

γυναικὸς ἐπέγημε τῷ τέκνῳ Δαμασίππην τὴν Ἄτρακος· ἥτις εἰς ἐπιθυμίαν ἐμπεσοῦσα τοῦ προγόνου λόγους αὐτῷ περὶ συνόδων ἀπέστειλεν. ὁ δ' ὡς Ἐρινὺν φυγὼν τὴν μητρυιὰν προσηυκαίρει κυνηγίαις. ἀποτυχοῦσα δὲ τῆς προαιρέσεως ἡ ἀσελγὴς κατεψεύσατο τοῦ σώφρονος, ὡς βιάσασθαι αὐτὴν θελήσαντος. Κάσανδρος δὲ τῷ ζήλῳ συμπεριενεχθεὶς μεθ' ὁρμῆς ἐπὶ τὴν ὕλην ἠνέχθη καὶ σπασάμενος τὸ ξίφος ἐδίωκε τὸν υἱόν, ὡς ἐπίβουλον τῶν πατρῴων γάμων. ὁ δὲ υἱὸς περικατάληπτος γενόμενος ἑαυτὸν ἔρριψεν εἰς ποταμὸν Ῥόμβον, ὃς ἀπ' αὐτοῦ Ἕβρος μετωνομάσθη· καθὼς ἱστορεῖ Τιμόθεος ἐν ια' περὶ Ποταμῶν.

2. Ὄρος δ' αὐτῷ παράκειται Παγγαῖον, τὴν προσηγορίαν ἔχον δι' αἰτίαν τοιαύτην. ὁ Παγγαῖος, Ἄρεως καὶ Κριτοβούλης παῖς, τῇ θυγατρὶ κατ' ἄγνοιαν συγγενόμενος καὶ ἀθυμίᾳ συσχεθεὶς ἔδραμεν εἰς Καρμάνιον ὄρος, καὶ διὰ λύπης ὑπερβολὴν σπασάμενος τὸ ξίφος ἑαυτὸν ἀνεῖλε· κατὰ δὲ πρόνοιαν θεῶν ὁ τόπος μετωνομάσθη Παγγαῖος.

3. Γεννᾶται δὲ ἐν αὐτῷ τῷ προειρημένῳ ποταμῷ βοτάνη παρόμοιος ὀριγάνῳ, ἧς τὰ ἄκρα δρεψάμενοι Θρᾷκες ἐπιτιθέασι πυρὶ μετὰ τὸν κόρον τῆς δημητριακῆς τροφῆς, καὶ τὴν ἀναφερομένην ἀναθυμίασιν

4 κυνηγίαις Maussacus: γυναικιαις 8 ἠνέχθη H: ἤχθη 9 ὡς] ὡς τὸν idem 12 καθὼς — — Ποταμῶν] transponit post καταφέρονται (p. 288, 3) idem 14 secundam § posuit post tertiam idem 15 ὁ] del. H 17 καὶ] om. W 18 Καρμανόριον suspicatur H 21 τῷ προειρημένῳ ποταμῷ] del. idem

δεχόμενοι ταῖς ἀναπνοιαῖς, καροῦνται καὶ εἰς βαθὺν ὕπνον καταφέρονται.

4. *Γεννᾶται δὲ καὶ ἐν τῷ Παγγαίῳ ὄρει βοτάνη, κιθάρα καλουμένη διὰ ταύτην τὴν αἰτίαν. αἱ διασπαράξασαι τὸν Ὀρφέα τὰ μέλη τοῦ προειρημένου εἰς ποταμὸν ἔβαλον Ἕβρον· καὶ ἡ μὲν κεφαλὴ τοῦ θνητοῦ κατὰ πρόνοιαν θεῶν εἰς δράκοντα μετέβαλε τὴν μορφὴν τοῦ σώματος, ἡ δὲ λύρα κατηστερίσθη κατὰ προαίρεσιν Ἀπόλλωνος, ἐκ δὲ τοῦ ῥεύσαντος αἵματος ἀνεφάνη βοτάνη κιθάρα καλουμένη. τῶν δὲ Διονυσίων τελουμένων, αὕτη κιθάρας ἀναδίδωσιν ἦχον· οἱ δ' ἐγχώριοι νεβρίδας περιβεβλημένοι καὶ θύρσους κρατοῦντες ὕμνον ᾄδουσιν·*

'μὴ τότε φρονήσῃς, ὅταν ἔσῃ μάτην φρονῶν·'

καθὼς ἱστορεῖ Κλειτώνυμος ἐν τῷ γ' τῶν Θρᾳκικῶν.

IV. ΓΑΓΓΗΣ.

1. *Γάγγης ποταμός ἐστι τῆς Ἰνδίας, τὴν προσηγορίαν λαβὼν δι' αἰτίαν τοιαύτην. Ἰνδῷ τις Καλαυρία νύμφη ἐγέννησεν υἱὸν κάλλει περίβλεπτον, τοὔνομα Γάγγην. οὗτος καρηβαρήσας τῇ μητρὶ κατ' ἄγνοιαν συνεγένετο. τῇ δ' ἐπιούσῃ τῶν ἡμερῶν*

1 malim *ἀναπνοαῖς* 4 *αἵ* W 7 lac. inseruit Duebnerus post *μετέβαλε* 8 *τοῦ σώματος*] *τοῦ σχήματος* W. Post *τὰ μέλη* (lin. 5) transponit Muellerus ib. *κατεστηρίχθη*: corr. W 13 *ὕμνον αἴδουσιν. κρατοῦντες*: corr. Salmasius 14 *καὶ τότε φρονήσει ὅταν ἐσηματην φρονῶν*: corr. Hauptius; om. Nauck. 15 *Θρᾳκικῶν* Reinesius: *τραγικῶν* 21 *τῇ δ' ἐπιούσῃ τῶν ἡμερῶν* Heringa: *τῇ διοπι-*

παρὰ τῆς τροφοῦ μαθὼν τὴν ἀλήθειαν διὰ λύπης ὑπερβολὴν ἑαυτὸν ἔρριψεν εἰς ποταμὸν Χλιαρὸν καλούμενον, ὃς ἀπ' αὐτοῦ Γάγγης μετωνομάσθη.

2. *Γεννᾶται δὲ παρ' αὐτῷ βοτάνη παραπλησία βουγλώσσῳ, ἣν λειοτριβοῦντες τὸν χυλὸν αὐτῆς τηροῦσι, καὶ νυκτὸς βαθείας τοὺς φωλεοὺς τῶν τίγρεων περιρραίνουσιν· αἱ δὲ διὰ τὴν δύναμιν τῆς ἐκχυθείσης ὑγρασίας προχωρῆσαι μὴ δυνάμεναι θνήσκουσι· καθὼς ἱστορεῖ Καλλισθένης ἐν γ' τῶν Κυνηγετικῶν.*

3. *Παράκειται δ' αὐτῷ ὄρος Ἀνατολὴ καλούμενον δι' αἰτίαν τοιαύτην. Ἀναξιβίαν νύμφην Ἥλιος θεασάμενος χορείαις προσευκαιροῦσαν εἰς ἐπιθυμίαν αὐτῆς ἐνέπεσε καὶ μὴ στέγων τὴν ἐπίτασιν τῶν ἐρώτων ἐπεδίωκε τὴν προειρημένην βιάσασθαι βουλόμενος· ἡ δὲ περικατάληπτος γενομένη κατέφυγεν ἐπὶ τὸ τῆς Ὀρθίας Ἀρτέμιδος τέμενος, ὅπερ ἦν ἐν ὄρει Κορύφῃ καλουμένῳ, καὶ ἀφανὴς ἐγένετο· κατόπιν δ' ἀκολουθήσας ὁ θεὸς καὶ μηδαμοῦ τὴν ἀγαπωμένην εὑρών, διὰ λύπης ὑπερβολὴν ἐκεῖθεν ἀνέτειλεν· οἱ δ' ἐγχώριοι τὴν ἀκρώρειαν Ἀνατολὴν μετωνόμασαν ἀπὸ τοῦ συγκυρήματος· καθὼς ἱστορεῖ Καιμάρων ἐν δεκάτῳ Ἰνδικῶν.*

θουσῃ ὁ δὲ μεθ' ἡμέρας codex i. e. duae lectiones confusae (*τῇ δ' ἐπιούσῃ* et *ὁ δὲ μεθ' ἡμ.*) 4 *ἐν αὐτῷ* H, *παρ' αὐτὸν* Duebnerus 5 *λειοτριβοῦντες* Maussacus: *ἀεὶ τρίβοντες* 8 *ὑγρασίας* W: *πρασίας* 9 *κυνηγητικῶν* codex 13 *χορείαις* W: *χωρίοις* 14 *τὴν ἐπίτασιν τῶν ἐρώτων* *: *τῶν ἐρώτων* cf. p. 81, 32 15 *ἀπεδίωξε*: corr. H 18 *κορυφὴ*: correxi

V. ΦΑΣΙΣ.

1. *Φᾶσις ποταμός ἐστι τῆς Σκυθίας, παραρρέων πόλιν· ἐκαλεῖτο δὲ τὸ πρότερον Ἀρκτοῦρος, τὴν προσηγορίαν εἰληφὼς διὰ τὴν χωροθεσίαν τῶν κατεψυγμένων τόπων· μετωνομάσθη δὲ δι' αἰτίαν τοιαύτην. Φᾶσις, Ἡλίου καὶ Ὠκυρρόης τῆς Ὠκεανοῦ παῖς, τὴν μητέρα μοιχευομένην ἐπ' αὐτοφώρῳ καταλαβὼν ἀνεῖλεν· κατὰ δ' ἐπιφάνειαν Ἐρινύων οἰστροπλὴξ γενόμενος ἑαυτὸν ἔρριψεν εἰς τὸν Ἀρκτοῦρον, ἀπ' αὐτοῦ δὲ Φᾶσιν μετωνομασμένον.*

2. *Γεννᾶται δ' ἐν τῷ ποταμῷ ῥάβδος ὀνομαζομένη λευκόφυλλος· εὑρίσκεται δὲ τοῖς μυστηρίοις τῆς Ἑκάτης περὶ τὸν ὄρθρον πρὸς παιανισμὸν ἔνθεον αὐτοῦ περὶ τὴν ἀρχὴν τοῦ ἔαρος· ἣν οἱ ζηλότυποι τῶν ἀνδρῶν δρεπόμενοι ῥίπτουσι περὶ τὸν παρθένιον θάλαμον καὶ ἀνόθευτον τηροῦσι τὸν γάμον. ἐὰν δέ τις προπετέστερον ἀποστραφῇ τῶν ἀσεβεστέρων διὰ μέθην καὶ εἰς τὸν τόπον εἰσέλθῃ, τῶν σωφρονούντων ἀφαρπάζεται λογισμῶν καὶ εὐθὺς ὁμολογεῖ πᾶσιν ὅσα παρανόμως ἢ ἔπραξεν ἢ μέλλει πράττειν. οἱ δὲ παρατυγχάνοντες, συλλαμβάνοντες, ῥίπτουσιν ἐμβεβυρσωμένον εἰς τὸ καλούμενον Στόμιον τῶν ἀσεβῶν. ἔστι δὲ στρογγυλοειδές, φρέατι παραπλήσιον· ἐκδίδωσι δὲ τὸ βληθὲν μετὰ λ' ἡμέρας εἰς τὴν Μαιῶτιν λίμνην, σκωλήκων*

2 *φάσις*: corr. H 3 *πόλιν*] add. *Φᾶσιν* Maussacus 6 *ωκυρόης* codex 7 *ἐπαυτοφόρῳ* idem 10 *δὲ*] *δὴ* Piccolos 13 *πανισμὸν*: corr. Gaulminus 17 *δέ* Gelenius ib. *τις* idem: *τι* ib. *ἐπιστραφῇ* W, *ἀναστραφῇ* H

γέμον. γῦπες δ' αἰφνιδίως ἐπιφανέντες ἀόρατοι τὸν ἐγκείμενον διαρπάζουσιν, ὡς ἱστορεῖ Κτήσιππος ἐν β' Σκυθικῶν.

3. *Παράκειται δ' αὐτῷ τὸ Καυκάσιον ὄρος· ἐκαλεῖτο δὲ τὸ πρότερον Βορέου Κοίτη δι' αἰτίαν τοιαύτην. Βορέας δι' ἐρωτικὴν ἐπιθυμίαν Χιόνην ἁρπάσας, τὴν Ἀρκτούρου θυγατέρα, κατήνεγκεν εἴς τινα λόφον Νιφάντην καλούμενον, καὶ ἐγέννησεν ἐκ τῆς προειρημένης υἱὸν Ὕρπακα, τὸν διαδεξάμενον Ἡνιόχου τὴν βασιλείαν· μετωνομάσθη δὲ τὸ ὄρος Κοίτη Βορέου. προσηγορεύθη δὲ Καύκασος διὰ περίστασιν τοιαύτην. μετὰ τὴν γιγαντομαχίαν Κρόνος, ἐκκλίνων τὰς Διὸς ἀπειλάς, ἔφυγεν εἰς τὴν ἀκρώρειαν Βορέου Κοίτης, καὶ εἰς κροκόδειλον μεταμορφωθεὶς ἔλαθεν· ὁ δὲ Προμηθεὺς ἕνα τῶν ἐγχωρίων ποιμένα, Καύκασον, ἀναταμὼν καὶ κατανοήσας αὐτοῦ τὴν διάθεσιν τῶν σπλάγχνων εἶπεν οὐ μακρὰν εἶναι τοὺς πολεμίους. ὁ δὲ Ζεὺς ἐπιφανεὶς τὸν μὲν πατέρα δήσας πλεκτῷ ἐρίῳ κατεταρτάρωσε, τὸ δ' ὄρος εἰς τιμὴν τοῦ ποιμένος Καύκασον μετονομάσας προσέδησεν αὐτῷ τὸν Προμηθέα καὶ ἠνάγκασεν αὐτὸν ὑπὸ σπλαγχνοφάγου ἀετοῦ βασανίζεσθαι, ὅτι παρηνόμησεν εἰς τὰ σπλάγχνα, ὡς ἱστορεῖ Κλεάνθης ἐν γ' Θεομαχίας.*

1 *ἀόρατοι*] *ἀθρόοι* H 2 *τὸ μὲν κείμενον*: corr. Duebnerus ib. *ὡς*] *καθὼς* H 4 *δὲ αὐτῷ* H: *δὲ* 6 *Χιόνην* idem: *χώνην* 8 *Νιφάτην* Ukertius 15 *ἔλαθεν· ὁ δὲ Προμηθεὺς* add. Hemsterhusius 16 *ἀναταμὼν* idem: *ἀναπαύων* 20 *Καύκασος μετωνομασθεὶς*: corr. Gelenius 24 *Θεομαχίας* H: *θεομαχίας γεγραφώς*

4. *Γεννᾶται δ' ἐν αὐτῷ βοτάνη Προμήθειος καλουμένη, ἣν Μήδεια συλλέγουσα καὶ λειοτριβοῦσα πρὸς ἀντιπαθείας τοῦ πατρὸς ἐχρήσατο, καθὼς ἱστορεῖ ὁ αὐτός.*

VI. ΑΡΑΡ.

1. *Ἄραρ ποταμός ἐστι τῆς Κελτικῆς, τὴν προσηγορίαν εἰληφὼς παρὰ τὸ ἡρμόσθαι τῷ Ῥοδανῷ· καταφέρεται γὰρ εἰς τοῦτον κατὰ τὴν χώραν τῶν Ἀλλοβρόγων. ἐκαλεῖτο δὲ πρότερον Βρίγουλος· μετωνομάσθη δὲ δι' αἰτίαν τοιαύτην. Ἄραρ κυνηγεσίας χάριν εἰς ὕλην προχωρήσας καὶ εὑρὼν τὸν ἀδελφὸν Κελτίβηρον ὑπὸ θηρίων ἀνηλωμένον διὰ λύπης ὑπερβολὴν ἑαυτὸν καιρίως πλήξας ἔβαλεν εἰς τὸν ποταμὸν Βρίγουλον, ὃς ἀπ' αὐτοῦ μετωνομάσθη Ἄραρ.*

2. *Γεννᾶται δ' ἐν αὐτῷ μέγας ἰχθὺς κλουπαῖα προσαγορευόμενος ὑπὸ τῶν ἐγχωρίων· οὗτος, αὐξανομένης τῆς σελήνης, λευκός ἐστι· μειουμένης δέ, μέλας γίνεται παντελῶς· ὑπεραυξήσας δ' ἀναιρεῖται ὑπὸ τῶν ἰδίων ἀκανθῶν.*

3. *Εὑρίσκεται δ' ἐν τῇ κεφαλῇ αὐτοῦ λίθος χόνδρῳ παρόμοιος ἁλός, ὃς κάλλιστα ποιεῖ πρὸς τεταρταίας νόσους, τοῖς ἀριστεροῖς μέρεσι τοῦ σώματος*

16 *κλουπαῖα* Stobaeus 100, 14: *σκολόπιδος* codex. *κλοπίας* Io. Lydus et Anonymus. *σκολοπίας* Muellerus 17 *αὐξομένης* ceteri excerptores 21 *εὑρίσκεται δ' ἐν αὐτῷ λίθος ἐν τῇ κεφαλῇ χόνδρῳ παρόμοιος ὃς*: corr. H. ex Stobaeo 22 *τεταρταίους*: corr. Stobaeus

προσδεδεμένος, τῆς σελήνης μειουμένης, καθὼς ἱστορεῖ Καλλισθένης ὁ Συβαρίτης ἐν ιγ' Γαλατικῶν, παρ' οὗ τὴν ὑπόθεσιν εἴληφε Τιμαγένης ὁ Σύρος.

4. *Παράκειται δ' αὐτῷ ὄρος Λούγδουνον καλούμενον· μετωνομάσθη δὲ δι' αἰτίαν τοιαύτην. Μώμορος καὶ Ἀτεπόμαρος, ὑπὸ Σεσηρονέως τῆς ἀρχῆς ἐκβληθέντες, κατὰ χρησμοῦ προσταγὴν εἰς τοῦτον τὸν λόφον ἦλθον πόλιν κτίσαι θέλοντες· τῶν δὲ θεμελίων ὀρυσσομένων, αἰφνιδίως κόρακες ἐπιφανέντες καὶ διαπτερυξάμενοι τὰ πέριξ ἐπλήρωσαν δένδρα. Μώμορος δέ, οἰωνοσκοπίας ἔμπειρος ὑπάρχων, τὴν πόλιν Λούγδουνον προσηγόρευσεν· λοῦγον γὰρ τῇ σφῶν διαλέκτῳ τὸν κόρακα καλοῦσι, δοῦνον δὲ τόπον ἐξέχοντα· καθὼς ἱστορεῖ Κλειτοφῶν ἐν ιγ' Κτίσεων.*

VII. ΠΑΚΤΩΛΟΣ.

1. *Πακτωλὸς ποταμός ἐστι τῆς Λυδίας κατὰ πόλιν Σάρδεις· ἐκαλεῖτο δὲ πρότερον Χρυσορρόας. Χῖος ὁ Ἀπόλλωνος καὶ Ἀγαθίππης παῖς, τὴν μηχανικὴν τέχνην ἀσκήσας καὶ σπάνει βίου συνεχόμενος, νυκτὸς βαθείας τοὺς θησαυροὺς Κροίσου τοῦ βασι-*

1 *προσδεσμενόμενος* idem 4 *λούσδουλος*: corr. Maussacus 7 *κατὰ χρησμοῦ — ἦλθον* H: *εἰς τοῦτον κατὰ προσταγὴν τὸν λόφον* 13 *δοῦνον* Maussacus: *λοῦγλον*, sed *λ* posterius in ras. a m. pr. 14 *τόπον* H. Leo: *τὸν* 18 *χρυσορόας. χίος*: corr. Maussacus. *Χρυσορρόας δι' αἰτίαν τοιαύτην. Χρυσορρόας* H. 'Fortassis *Χῖος* ortum est ex *υἱὸς* quae fuerit var. lectio vocis *ὁ παῖς*' Muellerus 19 *ἀπαθίππης*: corr. H

λέως ἀνέῳξε καὶ τὸν χρυσὸν ἐκκομίζων διεδίδου τοῖς οἰκείοις· καταδιωχθεὶς δὲ ὑπὸ τῶν φρουρῶν καὶ περικατάληπτος γενόμενος ἑαυτὸν ἔρριψεν εἰς ποταμὸν **, ὃς ἀπ' αὐτοῦ Χρυσορρόας μετωνομάσθη.

2. Πακτωλὸς δὲ μετεκλήθη διὰ τήνδε τὴν περίστασιν. Πακτωλός, οειολιος καὶ Λευκοθέης παῖς, ἐν τοῖς Ἀφροδίτης μυστηρίοις Δημοδίκην τὴν ἀδελφὴν κατ' ἄγνοιαν βιασάμενος καὶ περὶ τῶν συμβεβηκότων κατηχηθεὶς διὰ λύπης ὑπερβολὴν ἑαυτὸν ἔρριψεν εἰς ποταμὸν Χρυσορρόαν, ὃς ἀπ' αὐτοῦ Πακτωλὸς προσηγορεύθη.

Γεννᾶται δ' ἐν αὐτῷ ψῆγμα Δαρείου χρυσίου, καταφερόμενον εἰς τὸν εὐδαίμονα κόλπον.

3. Γεννᾶται δ' ἐν αὐτῷ καὶ λίθος ἀρουραφύλαξ καλούμενος· ἔστι δ' ἀργύρῳ παρόμοιος· εὑρίσκεται δὲ δυσχερῶς τῷ καταφερομένῳ ψήγματι συναναμιγνύμενος· ἔχει δὲ δύναμιν τοιαύτην. οἱ ἐν ἐξοχῇ τυγχάνοντες τῶν Λυδῶν συναγοράζουσιν αὐτὸν καὶ πρὸ τῆς εἰσόδου τῶν θησαυρῶν τιθέασι καὶ διαφυλάττουσιν ἀκινδύνως τὸν διατιθέμενον χρυσόν. ὁσάκις γὰρ ἂν φῶρες ἐπέλθωσιν, σάλπιγγος ἦχον ἀναδίδωσιν ὁ λίθος· οἱ δέ, ὡς ὑπὸ δορυφόρων

2 καταλειφθεὶς δὲ ὑπὸ τῶν φρ. καὶ καταληπτός: corr. H 4 lac. add. Duebnerus, H monente 7 οειολιος] Διὸς H. υἱὸς Διὸς iuxta Διὸς παῖς Muellerus. Scr. vid. ὁ Διὸς (cf. p. 293, 19), ut ολι repetitio correctior syllabarum οει sit 13 Δαρείου] post κόλπον ponit H. Δαρεικοῦ Muellerus 14 καταφερόμενος sic codex 15 ἀργυροφύλαξ H, θησαυροφύλαξ Muellerus 19 αὐτὸν Gelenius: αὐτοῦ 22 ἂν W: ἄνω

διωκόμενοι, κατὰ κρημνῶν φέρονται. καὶ καλεῖται ὁ τόπος τῶν βιαιοθανατησάντων Πακτωλοῦ φρουρά.

4. Γεννᾶται δὲ βοτάνη πορφυράνθεμος, καλουμένη χρυσόπολις· πρὸς αὐτὴν γὰρ αἱ ἀστυγείτονες πόλεις τὸν ἀκέραιον χρυσὸν δοκιμάζουσιν. ἅμα γὰρ αὐτὸν χωνευθῆναι βάπτουσι τὴν βοτάνην· καὶ ἐὰν μὲν ἀνόθευτον τὸ χρυσίον ᾖ, τὰ φύλλα χρυσοῦται· ἐὰν δ' ἐφθαρμένον ὑπάρχῃ, τὴν ἠλλαγμένην ὑγρασίαν ἀποπτύει καὶ διατηρεῖ τῆς ὕλης τὴν οὐσίαν· καθὼς ἱστορεῖ Χρύσερμος ἐν γ' περὶ Ποταμῶν.

5. Παράκειται δ' αὐτῷ ὄρος Τμῶλος, παντοδαπῶν θηρίων πλῆρες· ἐκαλεῖτο δὲ πρότερον Καρμανόριον ἀπὸ Καρμάνορος, τοῦ Διονύσου καὶ Ἀλεξιρροίας παιδός, ὃς κυνηγετῶν ἀπέθανεν ὑπὸ κάπρου πληγείς· ὕστερον δὲ μετωνομάσθη Τμῶλος διὰ τοιαύτην αἰτίαν. Τμῶλος, Ἄρεος καὶ Θεογόνης υἱός, βασιλεὺς Λυδίας, ἐν Καρμανορίῳ κυνηγετῶν ὄρει καὶ θεασάμενος Ἀρρίππην παρθένον τῇ Ἀρτέμιδι συναναστρεφομένην εἰς ἐπιθυμίαν αὐτῆς ἐνέπεσε καὶ πλεονεκτούμενος ὑπὸ τοῦ ἔρωτος ἐπεδίωκεν αὐτὴν βιάσασθαι βουλόμενος· ἡ δὲ περικατάληπτος γενομένη ἀπέφυγεν εἰς τὸν ναὸν τῆς Ἀρτέμιδος. καταφρονήσας δὲ τῆς δεισιδαιμονίας ὁ τύραννος ἐν

3 δὲ] δὲ ἐν αὐτῷ καὶ H 4 χρυσόπολις H e Tzetze: χρυσοπόλη 9 καὶ — — τὴν οὐσίαν] hic posuit H. Legebantur post χρυσοῦται 12 πλήρης: corr. H ib. καρμανώριον: corr. idem 13 κάρμωνος: corr. idem 17 καρμανίῳ: corr. idem 18 ἀρρίπην: corr. idem 19 ἔπεσεν: corr. idem 22 γινομένη: corr. idem ib. κατέφυγεν idem

τῷ τεμένει τὴν κόρην ἔφθειρεν· ἡ δ' ἀθυμίᾳ συσχεθεῖσα βρόχῳ τὸν βίον περιέγραψεν. ἀναξιοπαθήσασα δ' ἐπὶ τοῖς πραχθεῖσιν ἡ θεὸς οἰστροπλῆγα τῷ προειρημένῳ ταῦρον ἐπέσκηψεν, ὑφ' οὗ ῥιφεὶς εἰς ὕψος καὶ εἰς σκόλοπας κατενεχθεὶς μετὰ βασάνων ἔθανε. Θεοκλύμενος δ' ὁ τοῦ προειρημένου παῖς, τὸν γεννήσαντα θάψας, τὸ ὄρος ἀπ' αὐτοῦ μετωνόμασεν.

6. Γεννᾶται δ' ἐν αὐτῷ λίθος κισήρει παρόμοιος καὶ σπανίως εὑρίσκεται· τετράκις γὰρ τῆς ἡμέρας ἀλλάσσει τὴν χρόαν· βλέπεται δὲ ὑπὸ παρθένων τῶν μήπω χρόνον φρονήσεως ἐχουσῶν· αἱ δὲ ὥραν ἔχουσαι γάμου ἐὰν δρῶσιν αὐτόν, οὐδὲν ἀδικοῦνται παρὰ τῶν ὑβρίζειν θελόντων· καθὼς ἱστορεῖ Κλειτοφῶν ....

VIII. ΛΥΚΟΡΜΑΣ.

1. Λυκόρμας ποταμός ἐστι τῆς Αἰτωλίας· μετωνομάσθη δ' Εὔηνος δι' αἰτίαν τοιαύτην. Ἴδας ὁ Ἀφαρέως παῖς δι' ἐρωτικὴν ἐπιθυμίαν Μάρπησσαν ἁρπάσας ἀπήνεγκεν εἰς Πλευρῶνα. κατηχηθεὶς δὲ περὶ τῶν συμβεβηκότων ὁ Εὔηνος ἐπεδίωκε τὸν ἐπίβουλον τῆς ἰδίας θυγατρός· γενόμενος δὲ κατὰ Λυκόρμαν καὶ τῆς συλλήψεως ἀπελπίσας ἑαυτὸν εἰς ποταμὸν ἔβαλεν, ὃς ἀπ' αὐτοῦ Εὔηνος μετωνομάσθη.

2 παρέτριψεν: corr. W 4 ἐνέσκηψεν H 6 δ' ὁ H: δὲ 12 μὴ τῷ χρόνῳ: corr. W 15 lac. signa add. 17 Λύκαρμος: corr. Gelenius 18 εἶδας: corr. Maussacus 20 Πλεύρωνα: correxi 23 λυκάρμαν codex ib. εἰς τοῦτον τὸν ποταμὸν H

2. *Γεννᾶται δ' ἐν αὐτῷ βοτάνη σάρισσα προσαγορευομένη, λόγχῃ παρόμοιος, ποιοῦσα πρὸς ἀμβλυωπίας ἄριστα· καθὼς ἱστορεῖ Ἀρχέλαος ἐν α' περὶ Ποταμῶν.*

3. *Παράκειται δ' αὐτῷ ὄρος Μύηνον καλούμενον ἀπὸ Μυήνου τοῦ Τελέστορος καὶ Ἀλφεσιβοίας παιδός. οὗτος γὰρ ὑπὸ τῆς μητρυιᾶς φιλούμενος καὶ μὴ θέλων μιαίνειν τὴν κοίτην τοῦ γεννήσαντος εἰς Ἄλφιον ὄρος ἀνεχώρησε. Τελέστωρ δέ, τῷ ζήλῳ τῆς γυναικὸς συσχηματισθείς, ** τὴν ἐρημίαν μετὰ τῶν δορυφόρων κατὰ τοῦ τέκνου ληψόμενος ἐδίωκε. Μύηνος δέ, φθάσας τοῦ πατρὸς τὰς ἀπειλάς, κατεκρήμνισεν ἑαυτόν· τὸ δ' ὄρος κατὰ πρόνοιαν θεῶν ἀπ' αὐτοῦ Μύηνον μετωνομάσθη.*

4. *Γεννᾶται δ' ἐν αὐτῷ λευκόιον ἄνθος, ὃ μητρυιᾶς ὀνομασθείσης μαραίνεται· καθὼς ἱστορεῖ Δέρκυλλος ἐν γ' περὶ Ὀρῶν.*

IX. ΜΑΙΑΝΔΡΟΣ.

1. *Μαίανδρος ποταμός ἐστι τῆς Ἀσίας· ἐκαλεῖτο δὲ πρότερον Ἀναβαίνων· μόνος γὰρ ἐκ πάντων τῶν*

1 *βοτάνη σάρισσα προσαγορευομένη* idem: *βοτάνη ἡ* cf. Stob. 100, 15 3 *καθὼς — — Ποταμῶν*] om. codex, effecit ea H ex Stob. l. l. 6 *τῆς παιδός*: corr. Gelenius 9 *ἀνεχώρησε*] add. *ἀποτυχοῦσα — — θελήσαντος* ex p. 82, 12 H ib. *τῷ ζήλῳ* Dodwellus: *ὁ ζηλωτὴς* 10 *συσχηματισθείς*] *συσχεθείς* W, *συμπεριενεχθείς* H. Lac. quam Duebner addidit explevit H voce *περιερχόμενος*, voce *εἰς* Muellerus 11 *καταληψόμενος τὸ τέκνον* H 19 *ἔστι* H ib. *Ἀσίας*] *Φρυγίας* idem, *Καρίας* Muellerus

ποταμῶν ἀπὸ τῶν ἰδίων ἀρχόμενος πηγῶν εἰς ἑαυτὸν παλινδρομεῖ. προσηγορεύθη δὲ Μαίανδρος ἀπὸ Μαιάνδρου, τοῦ Κερκάφου καὶ Ἀναξιβίας παιδός, ὃς πρὸς Πεσσινουντίους πόλεμον ἔχων ηὔξατο τῇ Μητρὶ τῶν θεῶν, ἐὰν ἐγκρατὴς γένηται τῆς νίκης, θύσειν τὸν πρῶτον αὐτῷ συγχαρέντα ἐπὶ ταῖς ἀνδραγαθίαις τρόπαια φέροντι. ὑποστρέψαντι δὲ τῷ προειρημένῳ πρῶτος συνεχάρη συναντήσας ὁ παῖς Ἀρχέλαος μετὰ τῆς μητρὸς καὶ τῆς ἀδελφῆς. ὁ δὲ τῆς προειρημένης δεισιδαιμονίας ἀναμνησθεὶς κατ' ἀνάγκην τοῖς βωμοῖς προσήγαγε τοὺς προσήκοντας. ἀθυμήσας δ' ἐπὶ τοῖς πραχθεῖσιν ἔρριψεν ἑαυτὸν εἰς ποταμὸν Ἀναβαίνοντα, ὃς ἀπ' αὐτοῦ Μαίανδρος προσηγορεύθη· καθὼς ἱστορεῖ Τιμόλαος ἐν α' Φρυγιακῶν. μέμνηται δὲ τούτων καὶ Ἀγαθοκλῆς ὁ Σάμιος ἐν τῇ Πεσσινουντίων πολιτείᾳ.

2. Δημόστρατος δὲ ὁ Ἀπαμεὺς ἱστορίας μέμνηται τοιαύτης. Μαίανδρος ἀκμὴν στρατηγὸς χειροτονηθεὶς ἐξ ἐναντίας Πεσσινουντίων καὶ παρ' ἐλπίδας τῆς νίκης ἐγκρατὴς γενόμενος, τὰ ἀναθήματα τῆς Μητρὸς τῶν θεῶν διέδωκε τοῖς στρατιώταις· κατὰ δὲ πρόνοιαν τῆς θεᾶς τῶν σωφρονούντων λογισμῶν αἰφνιδίως ἀπαλλοτριωθεὶς προσαπέκτεινε τὴν γυναῖκα καὶ τὸν υἱόν· πρὸς ὀλίγον δὲ σωφρο-

6 ἐπὶ H   7 φέρων: corr. W   11 τοῖς H   ib. κατήγαγεν: corr. W   17 Ἀπαμιεὺς corr. H   18 ἀκμηστρατηγὸς: corr. Rutgersius, ἀρχιστράτηγος susp. Muellerus   20 ἀναθέματα: corr. ed. Lips. 1778   23 ἀπέκτεινε H   24 fort. τῇ γυναικὶ καὶ τὸν υἱόν   ib. πρὸς Muellerus

νήσας καὶ εἰς μετάνοιαν ἐπὶ τοῖς πραχθεῖσι χωρήσας ἑαυτὸν ἔβαλεν εἰς ποταμόν, ὃς ἀπ' αὐτοῦ Μαίανδρος προσωνομάσθη.

3. Γεννᾶται δ' ἐν αὐτῷ λίθος κατ' ἀντίφρασιν Σώφρων καλούμενος, ὃν ἐὰν βάλῃς τινὸς εἰς κόλπον, ἐμμανὴς γίνεται καὶ φονεύει τινὰ τῶν συγγενῶν· ἐξιλασάμενος δὲ τὴν Μητέρα τῶν θεῶν ἀπαλλάσσεται τοῦ πάθους· καθὼς ἱστορεῖ Δημάρατος ἐν γ' περὶ Ποταμῶν. μέμνηται δὲ τούτων καὶ Ἀρχέλαος ἐν α' περὶ Λίθων.

4. Παράκειται δ' αὐτῷ ὄρος Σίπυλον, τὴν προσηγορίαν ἔχον ἀπὸ Σιπύλου, τοῦ Ἀγήνορος καὶ Διωξίππης παιδός. οὗτος γὰρ μητροκτονήσας κατ' ἄγνοιαν καὶ ὑπ' Ἐρινύων οἰστρηλατηθεὶς εἰς τὸ Κεραύνιον ὄρος ἦλθε καὶ διὰ λύπης ὑπερβολὴν βρόχῳ τὸν βίον περιέγραψεν. τὸ δ' ὄρος κατὰ πρόνοιαν θεῶν ἀπ' αὐτοῦ Σίπυλον ὠνομάσθη.

5. Γεννᾶται δ' ἐν αὐτῷ λίθος παρόμοιος κυλίνδρῳ· ὃν οἱ εὐσεβεῖς υἱοί, ὅταν εὕρωσιν, ἐν τῷ τεμένει τῆς Μητρὸς τῶν θεῶν τιθέασι καὶ οὐδέποτε χάριν ἀσεβείας ἁμαρτάνουσιν, ἀλλὰ φιλοπάτορες ὑπάρχουσι καὶ πρὸς τοὺς προσήκοντας συμπαθοῦσιν· ὡς ἱστορεῖ Ἀγαθαρχίδης ὁ Σάμιος ἐν δ' περὶ Λίθων. μέμνηται δὲ τούτων ἀκριβέστερον Δημάρατος ἐν δ' Φρυγίας.

2 ποταμόν] 'nomen fluvii intercidit' H 5 Σώφρων Maussacus: τέφρων 19 υἱὸν: corr. Gelenius 21 ἁμαρτάνουσιν Aristoteles (de Mir. Auscult. 162): ἁμάρτουσιν 23 περὶ Gelenius: ἢ 24 δημάρετος: corr. Maussacus

X. ΜΑΡΣΥΑΣ.

1. *Μαρσύας ποταμός ἐστι τῆς Φρυγίας κατὰ πόλιν Κελαινὰς κείμενος· προσηγορεύετο δὲ πρότερον πηγὴ Μίδα δι᾽ αἰτίαν τοιαύτην. Μίδας βασιλεὺς Φρυγῶν περιερχόμενος τὰ ἐρημότερα τῆς χώρας καὶ ἀνυδρίᾳ συνεχόμενος ἥψατο τῆς γῆς καὶ χρυσῆν ἀνέδωκε πηγήν, τοῦ ὕδατος χρυσοῦ γενομένου· καὶ ὑπόδιψος ὢν καὶ τῶν ὑποτεταγμένων θλιβομένων ἀνεκαλέσατο τὸν Διόνυσον· γενόμενος δ᾽ ἐπήκοος ὁ θεὸς δαψιλὲς ὕδωρ ἀνέτειλε. κορεσθέντων δὲ τῶν Φρυγῶν, Μίδας τὸν ἐκ τῆς κρήνης καταρρέοντα ποταμὸν Μίδα πηγὴν ἐκάλεσε. μετωνομάσθη δὲ Μαρσύας διὰ τοιαύτην αἰτίαν. νικηθέντος ὑπ᾽ Ἀπόλλωνος Μαρσύου καὶ ἐκδαρέντος, ἐκ τοῦ ῥεύσαντος αἵματος ἐγεννήθησαν Σάτυροί τε καὶ ποταμὸς ὁμώνυμος, Μαρσύας καλούμενος· καθὼς ἱστορεῖ Ἀλέξανδρος Κορνήλιος ἐν γ΄ Φρυγιακῶν.*

2. *Εὐημερίδας δὲ ὁ Κνίδιος ἱστορίας μέμνηται τοιαύτης. ὁ ἀσκὸς Μαρσύου τῷ χρόνῳ δαπανηθεὶς καὶ κατενεχθεὶς ἔπεσεν ἀπὸ τῆς γῆς εἰς τὴν Μίδα κρήνην· καὶ κατ᾽ ὀλίγον καταφερόμενος ἁλιεῖ τινι προσηνέχθη· κατὰ δὲ χρησμοῦ προσταγὴν Πεισίστρατος ὁ Λακεδαιμόνιος, παρὰ τὰ λείψανα τοῦ*

3 *κελη̣νας*: corr. Maussacus ib. *κείμενος*] del. H
5 *ἐρχόμενος*: corr. W 6 *καὶ χρυσῆν*] *ἢ χρυσῆν* Piccolos
9 *ἐπεκαλέσατο* susp. H 22 *ἁλιεῖ*] *αἰγιαλῷ* W 24 *τὰ* H

Σατύρου πόλιν κτίσας, Νώρικον αὐτὴν προσηγόρευσεν ἀπὸ τοῦ συγκυρήματος· νώρικον δὲ οἱ Φρύγες τῇ σφῶν διαλέκτῳ τὸν ἀσκὸν καλοῦσι.

3. *Γεννᾶται δ' ἐν τῷ ποταμῷ τούτῳ βοτάνη αὐλὸς ὀνομαζομένη, ἣν ἐὰν πρὸς ἄνεμον σείσῃ τις, μουσικὴν ἔχει μελῳδίαν· καθὼς ἱστορεῖ Δέρκυλλος ἐν α' Σατυρικῶν.*

4. *Παράκειται δ' αὐτῷ ὄρος Βερεκύνθιον καλούμενον, τὴν προσηγορίαν ἔχον ἀπὸ Βερεκύνθου τοῦ πρώτου ἱερέως γενομένου τῆς Μητρὸς τῶν θεῶν.*

5. *Γεννᾶται δ' ἐν αὐτῷ λίθος καλούμενος μάχαιρα· ἔστι γὰρ σιδήρῳ παραπλήσιος· ὃν ἐὰν εὕρῃ τις τῶν μυστηρίων ἐπιτελουμένων τῆς θεᾶς, ἐμμανὴς γίνεται· καθὼς ἱστορεῖ Ἀγαθαρχίδης ἐν τοῖς Φρυγιακοῖς.*

XI. ΣΤΡΥΜΩΝ.

1. *Στρυμὼν ποταμός ἐστι τῆς Θρᾴκης κατὰ πόλιν Ἠδωνίδα· προσηγορεύετο δὲ πρότερον Παλαιστῖνος ἀπὸ Παλαιστίνου τοῦ Ποσειδῶνος. οὗτος γὰρ πρὸς τοὺς ἀστυγείτονας ἔχων πόλεμον καὶ εἰς ἀσθένειαν ἐμπεσὼν τὸν υἱὸν Ἁλιάκμονα στρατηγὸν ἔπεμψεν· ὁ δὲ προπετέστερον μαχόμενος ἀνῃρέθη.*

1 *νόρικον* hic et infra: corr. Maussacus 2 *ἀπὸ τοῦ συγκυρήματος*] hic ponit W, legebatur post *πόλιν* 12 *σιδήρου παραπλήσιον*: corr. Maussacus 17 *κατὰ Ἀμφίπολιν πόλιν* Muellerus. Malim *κατὰ πόλιν Ἀμφίπολιν* 17 *ἠδονίδα*: corr. Maussacus 21 *ἀλιάκμωνα*: corr. H

περὶ δὲ τῶν συμβεβηκότων ἀκούσας Παλαιστῖνος καὶ λαθὼν τοὺς δορυφόρους διὰ λύπης ὑπερβολὴν ἑαυτὸν ἔρριψεν εἰς ποταμὸν Κόνοζον, ὃς ἀπ' αὐτοῦ Παλαιστῖνος ὠνομάσθη. Στρυμὼν δὲ ** Ἄρεως παῖς καὶ Ἡλίκης, ἀκούσας περὶ τῆς Ῥήσου τελευτῆς καὶ ἀθυμίᾳ συσχεθείς, ἑαυτὸν ἔρριψεν εἰς ποταμὸν Παλαιστῖνον, ὃς ἀπ' αὐτοῦ Στρυμὼν μετωνομάσθη.

2. Γεννᾶται δ' ἐν αὐτῷ λίθος παυσίλυπος καλούμενος· ὃν ἐὰν εὕρῃ τις πενθῶν, παύεται παραχρῆμα τῆς κατεχούσης αὐτὸν συμφορᾶς· καθὼς ἱστορεῖ Ἰάσων ὁ Βυζάντιος ἐν τοῖς Θρᾳκικοῖς.

3. Παράκεινται δ' αὐτῷ ὄρη Ῥοδόπη καὶ Αἷμος. οὗτοι ἀδελφοὶ τυγχάνοντες καὶ εἰς ἐπιθυμίαν ἀλλήλων ἐμπεσόντες, ὁ μὲν αὐτὴν Ἥραν προσηγόρευσεν, ἡ δὲ τὸν ἀγαπώμενον Δία. μισοπονήρως δ' οἱ ἀτιμούμενοι θεοὶ τὴν πρᾶξιν ἐνεγκόντες εἰς ὁμώνυμα ὄρη μετέβαλον ἀμφοτέρους.

4. Γεννῶνται δ' ἐν αὐτοῖς λίθοι φιλάδελφοι λεγόμενοι, κοραξοὶ τὴν χρόαν, ἀνθρωπόμιμοι· οὗτοι τεθέντες χωρὶς ἀλλήλων καὶ ὀνομασθέντες διαλύονται παραχρῆμα καὶ ιδιας· καθὼς ἱστορεῖ Θράσυλλος

1 ἀκούσας] κατηχηθεὶς idem 2 καὶ] seclusit Duebnerus 4 lac. a Duebnero addita explenda vid. ita: προσηγορεύθη δι' αἰτίαν τοιαύτην. Στρυμὼν Ἄρεως cett. Ita fere H 5 Ῥήσσου: corr. ed. Lips. 1788 11 ὁ Maussacus ib. τραγικοῖς: corr. Reinesius 15 δ' οἱ Dodwellus: οἱ δ' 16 πρᾶξιν] add. βαρέως codex 19 κορακοὶ: corr. G. Dindorfius 20 διαδύονται διὰ τῶν περιεχόντων καὶ συγγίνονται ἀλλήλοις ἰδίᾳ W, διαλύουσι παραχρῆμα τὴν ἰδίασιν H, quae hariolationes sunt 21 καὶ ιδιας] καὶ ἰδίᾳ Maussacus, κατ' ἰδίαν Piccolos. κατ' ἶνας?

*Μενδήσιος ἐν γ' περὶ Λίθων· μέμνηται δὲ τούτων ἀκριβέστερον ** ἐν τοῖς Θρᾳκικοῖς.*

XII. ΣΑΓΑΡΙΣ.

1. *Σάγαρις ποταμός ἐστι τῆς Φρυγίας· προσηγορεύετο δὲ πρότερον Ξηροβάτης ἀπὸ τοιούτου συγκυρήματος· τῷ γὰρ θερινῷ καταστήματι ξηρὸς δρᾶται πολλάκις· ἐκλήθη δὲ Σάγαρις δι' αἰτίαν τοιαύτην. Σάγαρις, Μύγδονος καὶ Ἀλεξιρρόης παῖς, τὰ μυστήρια τῆς Μητρὸς τῶν θεῶν ἐξουθενίζων, τοὺς ἱερεῖς καὶ Γάλλους αὐτῆς ὕβρισεν. ἡ δὲ μισοπονήρως ἐνεγκοῦσα τὴν πρᾶξιν τῷ προειρημένῳ μανίαν ἐνέσκηψεν. ὁ δὲ τῶν φρονίμων λογισμῶν ἐκστὰς ἑαυτὸν ἔβαλεν εἰς ποταμὸν Ξηροβάτην, ὃς ἀπ' αὐτοῦ Σάγαρις μετωνομάσθη.*

2. *Γεννᾶται δ' ἐν αὐτῷ λίθος αὐτόγλυφος καλούμενος· εὑρίσκεται γὰρ τετυπωμένην ἔχων τὴν Μητέρα τῶν θεῶν. τοῦτον τὸν λίθον σπανίως εὑρισκόμενον ἐὰν εὕρῃ τις τῶν ἀποτεμνομένων, οὐ ξενίζεται, ἀλλ' εὐψύχως φέρει τῆς παρὰ φύσιν πράξεως τὴν ὄψιν· καθὼς ἱστορεῖ Ἀρητάδης ἐν τοῖς Φρυγιακοῖς.*

2 loco nominis auctoris, quod excidit, lac. posuit Duebnerus ib. *τραγικοῖς*: corr. Reinesius 4 *προσηγόρευτο*: corr. Maussacus 5 *ξηραβάτης*: corr. hic et infra H ib. *τοιούτου*] *τοῦ* idem 8 *Μύγδονος* H: *μυνδώνιος* ib. *ἀλεξιρόης*: corr. Maussacus ib. *παῖς, τὰ* W: *πλεῖστα* 10 *καὶ Γάλλους*] del. H 18 *ἐὰν εὕρῃ τις*] erat ante *σπανίως*, transposuit H ib. *τῶν* idem 19 *ἐμψύχως*: corr. Maussacus 20 *ἀρετάζης*: corr. Muellerus

3. *Παράκειται δ' αὐτῷ ὄρος Βαλληναῖον καλούμενον, ὅπερ ἐστὶ μεθερμηνευόμενον βασιλικόν, τὴν προσηγορίαν ἔχον ἀπὸ Βαλληναίου, τοῦ Γανυμήδους καὶ Μηδεσικάστης παιδός. οὗτος γάρ, τὸν γεννήσαντα θεασάμενος ἀποτηκόμενον, τοῖς ἐγχωρίοις καὶ Βαλληναῖον ἑορτὴν κατέδειξε μέχρι νῦν καλούμενον.*

4. *Γεννᾶται δ' ἐν αὐτῷ λίθος καλούμενος ἀστήρ. οὗτος εἴωθε νυκτὸς βαθείας πυρὸς δίκην λάμπειν, τοῦ φθινοπώρου τὴν ἀρχὴν λαμβάνοντος· προσαγορεύεται δὲ τῇ διαλέκτῳ τῶν ἐγχωρίων Βαλλήν· ὅπερ μεθερμηνευόμενόν ἐστι βασιλεύς· καθὼς ἱστορεῖ Ἑρμησιάναξ Κύπριος ἐν β' Φρυγιακῶν.*

XIII. ΣΚΑΜΑΝΔΡΟΣ.

1. *Σκάμανδρος ποταμός ἐστι τῆς Τρῳάδος· ἐκαλεῖτο δὲ πρότερον Ξάνθος, μετωνομάσθη δὲ δι' αἰτίαν τοιαύτην. Σκάμανδρος, Κορύβαντος καὶ Δημοδίκης παῖς, τῶν τῆς Ῥέας μυστηρίων τελουμένων, αἰφνιδίως θεασάμενος τὴν θεὸν ἐμμανὴς ἐγένετο, καὶ μεθ' ὁρμῆς ἐπὶ Ξάνθον τὸν ποταμὸν ἐνεχθεὶς ἑαυτὸν εἰς τοῦτον ἔβαλεν, ὃς ἀπ' αὐτοῦ Σκάμανδρος μετωνομάσθη.*

2. *Γεννᾶται δ' ἐν αὐτῷ βοτάνη σεῖστρος καλουμένη, παραπλήσιος ἐρεβίνθῳ, κόκκους δ' ἔχει σειομένους, ὅθεν τὴν προσηγορίαν ἔλαβε· ταύτην οἱ*

4 *μηδησιγίστης*: corr. H 5 *ἀποτεμνόμενον* W 18 *τὴν θεὸν* H, sed malim ante *θεασάμενος* ponere 22 *σίστρος*: corr. Maussacus

κατέχοντες οὔτε φαντασίαν οὔτε θεὸν ὀφθέντα φοβοῦνται· καθὼς ἱστορεῖ Δημόστρατος ἐν β' περὶ Ποταμῶν.

3. *Παράκειται δ' αὐτῷ ὄρος Ἴδη, τὸ πρότερον δ' ἐκαλεῖτο Γάργαρον· ὅπου Διὸς καὶ Μητρὸς θεῶν βωμοὶ τυγχάνουσιν. Ἴδη δὲ μετωνομάσθη δι' αἰτίαν τοιαύτην. Αἰγέσθιος, ὁ γεννηθεὶς ἐκ τοῦ Διός, κερνοφόρου κόρης Ἴδης ἐρασθείς, συνῆλθε τῇ προειρημένῃ καὶ ἐγέννησεν ἐξ αὐτῆς τοὺς προειρημένους Ἰδαίους Δακτύλους. γενομένης δ' αὐτῆς ἄφρονος ἐν τῷ τῆς Ῥέας ἀδύτῳ, Αἰγέσθιος εἰς τιμὴν τῆς προειρημένης τὸ ὄρος Ἴδην μετωνόμασεν.*

4. *Γεννᾶται δ' ἐν αὐτῷ λίθος Κρύφιος, ὃς μόνοις τοῖς μυστηρίοις τῶν θεῶν φαίνεται· καθὼς ἱστορεῖ Ἡράκλειτος Σικυώνιος ἐν β' περὶ Λίθων.*

XIV. ΤΑΝΑΪΣ.

1. *Τάναϊς ποταμός ἐστι τῆς Σκυθίας· ἐκαλεῖτο δὲ πρότερον Ἀμαζόνιος διὰ τὸ τὰς Ἀμαζόνας λούεσθαι ἐν αὐτῷ· μετωνομάσθη δὲ δι' αἰτίαν τοιαύτην. Τάναϊς, Βηρωσσοῦ καὶ Λυσίππης, μιᾶς τῶν Ἀμαζόνων, παῖς, σωφρονέστατος ὑπάρχων τὸ γυναικεῖον γένος ἐμίσει, μόνον Ἄρη σεβόμενος· ἐν ἀτιμίᾳ δ' εἶχε καὶ τὸ γαμεῖν. ἡ δ' Ἀφροδίτη ἐπι-*

5 *τάρταρον*: corr. Gelenius 7 *ἐκ τοῦ διοσφορου κόρης*: corr. H, sed de *κερνοφόρου* dubito 9 *τοὺς εἰρημένους* Gelenius 10 *ἄφρονος*] *ἀφανοῦς* W 13 *μόνοις* H: *μόνος* 17 *ἔστι ποταμὸς*: corr. Gelenius 23 *τὸ* idem: *τοὺς*

θυμίαν αὐτῷ τῆς μητρὸς ἐνέσκηψεν. ὁ δὲ κατ' ἀρχὰς μὲν ἀντεμάχετο τῷ πάθει· νικώμενος δὲ ὑπὸ τῆς ἀνάγκης τῶν οἴστρων καὶ εὐσεβὴς διαμεῖναι βουλόμενος, ἑαυτὸν ἔρριψεν εἰς τὸν Ἀμαζόνιον ποταμόν, ὃς ἀπ' αὐτοῦ Τάναϊς μετωνομάσθη.

2. *Γεννᾶται δ' ἐν αὐτῷ φυτὸν Ἁλίνδα καλούμενον· παρόμοια δ' ἔχει τὰ φύλλα κράμβης. τοῦτο λειοτριβοῦντες οἱ τὴν χώραν κατοικοῦντες ἀλείφονται τῷ χυλῷ καὶ θερμαινόμενοι τὸ ψῦχος εὐρώστως καρτεροῦσιν. καλοῦσι δὲ τῇ σφῶν διαλέκτῳ ** Βηρωσσοῦ ἔλαιον.*

3. *Γεννᾶται δ' ἐν αὐτῷ καὶ λίθος κρυστάλλῳ παραπλήσιος, ὢν ἀνθρωπόμιμος, ἐστεμμένος. ὅταν δ' ἀποθάνῃ βασιλεύς, ἀρχαιρεσίας παρὰ τὸν ποταμὸν τελοῦσιν· καὶ ὃς ἂν εὑρεθῇ τὸν λίθον ἐκεῖνον ἔχων, παραχρῆμα βασιλεὺς γίνεται καὶ τὰ σκῆπτρα παραλαμβάνει τοῦ τελευτήσαντος· καθὼς ἱστορεῖ Κτησιφῶν ἐν γ' περὶ Φυτῶν· μέμνηται δὲ τούτων καὶ Ἀριστόβουλος ἐν α' περὶ Λίθων.*

4. *Παράκειται δ' αὐτῷ ὄρος, τῇ διαλέκτῳ τῶν ἐνοικούντων προσαγορευόμενον Βριξάβα, ὅπερ μεθερμηνευόμενον Κριοῦ μέτωπον· ὠνομάσθη δὲ διὰ τοιαύτην αἰτίαν. Φρῖξος ἀποβαλὼν παρὰ τὸν Εὐ-*

1 *αὐτῶν*: corr. Gelenius 6 *ἀλίνδα* H 8 *ἀλείφοντες*: corr. W 9 *χυλῷ* H: *ξύλῳ* 10 post *διαλέκτῳ* vocem scythicam excidisse monet H; unde lac. add. Duebnerus 13 *ὢν ἀνθρωπόμιμος* H: *ἀνθρωπομίμως* 15 *εὑρεθῇ* Gelenius: *εὕρῃ*, quo servato H del. *ἔχων* 22 *ἐστι Κριοῦ* H 23 *Φρῖξος* scripsi hic et infra: *φρίξος*

ξεινον πόντον Ἕλλην τὴν ἀδελφὴν καὶ διὰ τὰ δίκαια τῆς φύσεως συγκεχυμένος ἐν ταῖς ἀκρωρείαις λόφου τινὸς κατέλυσεν. βαρβάρων δέ τινων θεασαμένων αὐτὸν καὶ μεθ' ὅπλων ἀναβαινόντων, ὁ χρυσόμαλλος κριὸς προκύψας καὶ ἰδὼν τὸ πλῆθος τῶν ἐπερχομένων ἀνθρωπίνῃ φωνῇ χρησάμενος διεγείρει τὸν Φρῖξον ἀναπαυόμενον καὶ ἀναλαβὼν τὸν προειρημένον μέχρι Κόλχων εἰσήνεγκεν. ὁ δὲ λόφος ἀπὸ τοῦ συγκυρήματος Κριοῦ μέτωπον προσηγορεύθη.

5. Γεννᾶται δ' ἐν αὐτῷ βοτάνη, τῇ διαλέκτῳ τῶν βαρβάρων Φρίξα καλουμένη, ὅπερ μεθερμηνευόμενόν ἐστι μισοπόνηρος· πηγάνῳ δ' ἐστὶ παρόμοιος· ἣν οἱ πρόγονοι κρατοῦντες οὐδὲν ὑπὸ μητρυιῶν ἀδικοῦνται· μάλιστα δὲ φύεται παρὰ τὸ Βορέου προσαγορευόμενον ἄντρον. συλλεγομένη δ' ἐστὶ ψυχροτέρα χιόνος· ὅταν δέ τινι ἐκ μητρυιᾶς ἐπιβουλὴ γένηται, φλόγας ἀναδίδωσι· καὶ τοῦτο σύσσημον ἔχοντες οἱ φοβούμενοι τὰς ἐπιγεγαμημένας ἐκκλίνουσι τῶν ἐπικειμένων φόβων τὰς ἀνάγκας· καθὼς ἱστορεῖ Ἀγάθων ὁ Σάμιος ἐν β' Σκυθικῶν.

XV. ΘΕΡΜΩΔΩΝ.

Θερμώδων ποταμός ἐστι τῆς Σκυθίας, τὴν προσηγορίαν εἰληφὼς ἀπὸ τοῦ συγκυρήματος· ἐκαλεῖτο

6 διήγειρε H 11 αὐτῷ Gelenius: τῷ τόπῳ, mediis vocis τόπῳ litteris lineola transfixis 14 ὑπὸ τῶν μητρυιῶν H, sed cf. lin. 17 ἐκ μητρυιᾶς 15 τὸ H 19 σύσημον: corr. Maussacus 20 φόνων H 23 τῆς idem

δὲ πρότερον Κρύσταλλος· ἐκεῖνος γὰρ καὶ θέρους πήσσεται, τῆς τοποθεσίας τὴν τοιαύτην ἰδέαν διεξαγούσης· μετωνομάσθη δὲ δι' αἰτίαν τοιαύτην ***.

XVI. ΝΕΙΛΟΣ.

1. *Νεῖλος ποταμός ἐστι τῆς Αἰγύπτου κατὰ πόλιν Ἀλεξάνδρειαν· ἐκαλεῖτο δὲ τὸ πρότερον Μέλας ἀπὸ Μέλανος τοῦ Ποσειδῶνος· ὕστερον δ' Αἴγυπτος ἐπεκλήθη δι' αἰτίαν τοιαύτην. Αἴγυπτος, Ἡφαίστου καὶ Λευκίππης παῖς, βασιλεὺς ὑπῆρχε τῶν τόπων· δι' ἐμφύλιον δὲ πόλεμον μὴ ἀναβαίνοντος τοῦ Νείλου καὶ λιμῷ συνεχομένων τῶν ἐγχωρίων, ἔχρησεν ὁ Πύθιος τὴν εὐφορίαν, ἐὰν ὁ βασιλεὺς ἀποτροπαίοις θεοῖς τὴν θυγατέρα θύσῃ. θλιβόμενος δὲ ὑπὸ τῶν κακῶν ὁ τύραννος τοῖς βωμοῖς Ἀγανίππην προσήγαγε. τῆς δὲ διασπασθείσης ὁ Αἴγυπτος δι' ὑπερβολὴν τῆς λύπης ἑαυτὸν ἔρριψεν εἰς ποταμὸν Μέλανα, ὃς ἀπ' αὐτοῦ Αἴγυπτος μετωνομάσθη. προσηγορεύθη δὲ Νεῖλος δι' αἰτίαν τοιαύτην. Γαρμαθώνη, τῶν κατ' Αἴγυπτον βασίλισσα τόπων, ἀποβαλοῦσα τὸν υἱὸν αὐτῆς Χρυσο-*

1 *Κρύσταλλος*] add. *τὴν προσηγορίαν εἰληφὼς ἀπὸ τοῦ συγκυρήματος* idem ib. *θέρους* idem ex Eustathio ad Dion. 780: *θερει* 2 *ἰδίαν διαγούσης*: corr. Maussacus ex eodem 3 *τοιαύτην*] accessit ex Eustathio. Post h. v. in codice spatium vacuum 32 versuum est 8 *μετεκλήθη* H 11 *Νείλου*] *Μέλανος* H 12 *ἀφορίαν*: corr. Gelenius 13 *ἀποτρόπαιον*: corr. H 19 *Ἁρμαθόη* vel *Ἀργανθώνη* H 20 *τῶν τόπων* codex ib. *ἀποβάλλουσα*: corr. Leo Allatius

χόαν, ἀκμὴν ἔφηβον, μετὰ τῶν οἰκετῶν ἐθρήνει συμπαθῶς τὸν προειρημένον. Ἴσιδος δ' αἰφνιδίως ἐπιφανείσης τὴν λύπην πρὸς καιρὸν ὑπερέθετο καὶ προσποιητὴν χαρὰν σκηψαμένη τὴν θεὸν ὑπεδέξατο φιλανθρώπως. ἡ δὲ τὴν διάθεσιν τούτων ἀμείψασθαι βουλομένη τῆς εὐσεβείας Ὄσιριν παρεκέλευσεν, ὅπως ἀναγάγῃ τὸν υἱὸν αὐτῆς ἐκ τῶν καταχθονίων τόπων. τούτου δὲ ταῖς δεήσεσι τῆς γυναικὸς συμπεριενεχθέντος, Κέρβερος, ὃν ἔνιοι καλοῦσι Φοβερόν, ὑλάκτησε· Νεῖλος δέ, τῆς Γαρμαθώνης ἀνήρ, αἰφνιδίως ἔνθεος γενόμενος ἑαυτὸν ἔρριψεν εἰς ποταμὸν καλούμενον Αἴγυπτον, ὃς ἀπ' αὐτοῦ Νεῖλος μετωνομάσθη.

2. Γεννᾶται δ' ἐν αὐτῷ λίθος κυάμῳ παρόμοιος, ὃν ἂν κύνες ἴδωσιν, οὐχ ὑλακτοῦσι· ποιεῖ δὲ ἄριστα πρὸς τοὺς δαιμονιζομένους· ἅμα γὰρ αὐτὸν προστεθῆναι ταῖς ῥισὶν ἀπέρχεται τὸ δαιμόνιον. γεννῶνται δὲ καὶ ἄλλοι λίθοι, κόλλωτες καλούμενοι· τούτους κατὰ τὴν ἀνάβασιν τοῦ Νείλου συλλέγουσαι χελιδόνες κατασκευάζουσι τὸ προσαγορευόμενον Χελιδόνιον τεῖχος, ὅπερ ἐπέχει τοῦ ὕδατος τὸν ῥοῖζον καὶ οὐκ ἐᾷ κατακλυσμῷ φθείρεσθαι τὴν χώραν· καθὼς ἱστορεῖ Θράσυλλος ἐν τοῖς Αἰγυπτιακοῖς.

1 ἀκμῇ: corr. W 4 χαρὶν σκέψαμένη: corr. Bastius 5 τὴν διάθεσιν τούτων] in aëre pendent, sed fort. scr. τὴν διάθ. ταύτην, unde τῆς εὐσεβείας pendeat 10 δ' ὁ τῆς? 12 καλούμενον] suspectum Herchero 15 ἄριστα] accessit ex Stob. 100, 16 16 αὐτὸν ex eodem 17 ἐξέρχεται Stobaeus 18 δὲ] δ' ἐν αὐτῷ H 19 ἀνάβασιν W: ἀσέβειαν codex. εἴσω βίαν? 23 Θράσυλλος] add. ὁ Μενδήσιος H

3. *Παράκειται δ' αὐτῷ ὄρος Ἄργιλλον καλούμενον ἀπ' αἰτίας τοιαύτης. Ζεὺς δι' ἐρωτικὴν ἐπιθυμίαν ἐκ Λύκτου, πόλεως Κρητικῆς, Ἄργην νύμφην ἁρπάσας, ἀπήνεγκεν εἰς ὄρος τῆς Αἰγύπτου Ἄργιλλον καλούμενον καὶ ἐγέννησεν ἐξ αὐτῆς υἱὸν καλούμενον Διόνυσον, ὃς ἀκμάσας εἰς τιμὴν τῆς μητρὸς τὸν λόφον Ἄργιλλον μετωνόμασε· στρατολογήσας δὲ Πᾶνας καὶ Σατύρους τοῖς ἰδίοις σκήπτροις Ἰνδοὺς ὑπέταξε· νικήσας δὲ καὶ Ἰβηρίαν Πᾶνα κατέλιπεν ἐπιμελητὴν τῶν τόπων, ὃς τὴν χώραν ἀπ' αὐτοῦ Πανίαν μετωνόμασεν, ἣν οἱ μεταγενέστεροι παραγώγως Σπανίαν προσηγόρευσαν· καθὼς ἱστορεῖ Σωσθένης ἐν ιγ' Ἰβηρικῶν.*

XVII. ΕΥΡΩΤΑΣ.

1. *Εὐρώτας ** Ἵμερος, Ταϋγέτης νύμφης καὶ Λακεδαίμονος παῖς, διὰ μῆνιν Ἀφροδίτης κατ' ἄγνοιαν ἐν παννυχίδι τὴν ἀδελφὴν Κλεοδίκην βιασάμενος ἔφθειρε· τῇ δ' ἐπιούσῃ τῶν ἡμερῶν κατηχηθεὶς περὶ τῶν συμβεβηκότων καὶ ἀθυμήσας, διὰ λύπης ὑπερβολὴν ἔρριψεν ἑαυτὸν εἰς ποταμὸν Μαραθῶνα, ὃς ἀπ' αὐτοῦ Ἵμερος μετωνομάσθη. ὕστερον δ' Εὐρώτας ἐκλήθη δι' αἰτίαν τοιαύτην. Λακε-*

1 *Ἄργιλλον*] falsum vid. Herchero 7 *Ἄργιλλον*] *Ἄργεννον* Muellerus. *Ἀργαῖον*? 8 *τοῖς* H 15 lac. add. Duebnerus. H supplet ita: *Εὐρώτας ποταμός ἐστι τῆς Λακωνικῆς κατὰ πόλιν Σπάρτην· ἐκαλεῖτο δὲ πρότερον Ἵμερος ἀπ' αἰτίας τοιαύτης. Ἵμερος Ταϋγέτης κτλ.*

δαιμονίων πρὸς Ἀθηναίους πόλεμον ἐχόντων καὶ τὴν πανσέληνον περιμενόντων, Εὐρώτας, ὁ τῶν προειρημένων στρατηγός, καταφρονήσας πάσης δεισιδαιμονίας συνέβαλε τὴν παράταξιν, καίπερ ὑπ' ἀστραπῶν τε καὶ κεραυνῶν κωλυόμενος· ἀποβαλὼν δὲ τὸ στράτευμα καὶ λύπῃ συσχεθεὶς ἑαυτὸν ἔρριψεν εἰς τὸν ποταμὸν τὸν Ἵμερον, ὃς ἀπ' αὐτοῦ Εὐρώτας μετωνομάσθη.

2. Γεννᾶται δ' ἐν αὐτῷ λίθος περικεφαλαίᾳ παρόμοιος, θρασύδειλος προσαγορευόμενος. ἅμα γὰρ σάλπιγγος ἀκούειν ἐπὶ τὴν ὄχθην προχωρεῖ· τῶν δ' Ἀθηναίων ὀνομασθέντων καὶ εἰς τὸν βυθὸν ἅλλεται. κεῖνται δὲ πολλοὶ καθιερωθέντες ἐν τῷ ναῷ τῆς Χαλκιοίκου Ἀθηνᾶς· καθὼς ἱστορεῖ Νικάνωρ ὁ Σάμιος ἐν β' περὶ Ποταμῶν.

3. Παράκειται δ' αὐτῷ ὄρος Ταΰγετον προσονομαζόμενον, τὴν προσηγορίαν εἰληφὸς ἀπὸ Ταϋγέτης νύμφης, ἣν ὁ Ζεὺς βιασάμενος ἔφθειρεν· ἡ δὲ λύπῃ συσχεθεῖσα βρόχῳ τὸν βίον περιέγραψεν ἐν ἀκρωρείαις ὄρους Ἀμυκλαίου, ὅπερ ἀπ' αὐτῆς Ταΰγετον προσωνομάσθη.

4. Γεννᾶται δ' ἐν αὐτῷ βοτάνη καλουμένη Χαρισία, ἣν αἱ γυναῖκες, ἔαρος ἀρχομένου, τοῖς τραχήλοις περιάπτουσι καὶ ὑπὸ τῶν ἀνδρῶν συμπα-

7 τὸν utrumque del. H 11 ἀκουει: corr. H 12 καὶ] i. e. *etiam*, del. H 18 νύμφης Gelenius: τῆς νύμφης ib. ἡ δὲ W: τῇ δὲ 19 παρέγραψεν: corr. Wesselingius 20 ἀμυκλέου: corr. H 22 Χαρισία Aristoteles de Mir. Ausc. 163: χαρίσιον 23 αἱ H

θέστερον ἀγαπῶνται· καθὼς ἱστορεῖ Κλεάνθης ἐν α΄ περὶ Ὀρῶν. μέμνηται δὲ τούτων ἀκριβέστερον Σωσθένης ὁ Κνίδιος, παρ' οὗ τὴν ὑπόθεσιν εἴληφεν Ἑρμογένης.

XVIII. ΙΝΑΧΟΣ.

1. Ἴναχος ποταμός ἐστι τῆς Ἀργείας χώρας· ἐκαλεῖτο δὲ τὸ πρότερον Καρμάνωρ ** Ἁλιάκμων δέ, τῷ γένει Τιρύνθιος, ἐν τῷ Κοκκυγίῳ ποιμαίνων ὄρει καὶ κατ' ἄγνοιαν τῇ Ῥέᾳ συγγινόμενον τὸν Δία θεασάμενος, ἐμμανὴς ἐγένετο καὶ μεθ' ὁρμῆς ἐνεχθεὶς ἔβαλεν ἑαυτὸν εἰς ποταμὸν Καρμάνορα, ὃς ἀπ' αὐτοῦ Ἁλιάκμων μετωνομάσθη· προσηγορεύθη δ' Ἴναχος δι' αἰτίαν τοιαύτην. Ἴναχος, Ὠκεανοῦ παῖς, φθαρείσης τῆς θυγατρὸς αὐτοῦ Ἰοῦς ὑπὸ Διός, τὸν θεὸν βλασφήμοις λοιδορίαις ἐπέπληττε κατόπιν ἀκολουθῶν· ὁ δ' ἀναξιοπαθήσας ἔπεμψεν αὐτῷ Τισιφόνην, μίαν τῶν Ἐρινύων, ὑφ' ἧς ἐξοιστρηλατούμενος ἔβαλεν ἑαυτὸν εἰς ποταμὸν Ἁλιάκμονα, ὃς ἀπ' αὐτοῦ Ἴναχος μετωνομάσθη.

2. Γεννᾶται δ' ἐν αὐτῷ βοτάνη Κύνουρα καλουμένη, πηγάνῳ προσόμοιος· ἣν αἱ γυναῖκες, ὅταν

7 locum redintegrandum H putat ita: *Καρμάνωρ ἀπὸ Καρμάνορος τοῦ — — παιδός, ὕστερον δέ Ἁλιάκμων μετεκλήθη δι' αἰτίαν τοιαύτην. Ἁλιάκμων τῷ γένει κτλ.* Possis brevius hunc in modum: *Καρμάνωρ, Ἁλιάκμων δὲ [μετεκλήθη δι' αἰτίαν τοιαύτην. Ἁλιάκμων] τῷ γένει κτλ.* 9 *Ῥέᾳ*] *Ἥρᾳ* Hemsterhusius ib. *συγγινόμενος*: corr. Gelenius 17 *ὑφ'* H: *ἀφ'* 20 ita Stobaeus Flor. 100, 10: *κύουρα*

ἀκινδύνως ἐκτρῶσαι θελήσωσιν, ἐν οἴνῳ βεβρεγμένην τοῖς ὀμφαλοῖς ἐπιτιθέασιν.

3. Εὑρίσκεται δ' ἐν αὐτῷ καὶ λίθος βηρύλλῳ παρόμοιος· ὃν ἐὰν κρατήσωσιν οἱ ψευδομαρτυρεῖν ἐθέλοντες, μέλας γίνεται. κεῖνται δὲ πολλοὶ ἐν τῷ τεμένει τῆς Προσυμναίας Ἥρας, καθὼς ἱστορεῖ Τιμόθεος ἐν τοῖς Ἀργολικοῖς· μέμνηται δὲ τούτων καὶ Ἀγάθων ὁ Σάμιος ἐν β' περὶ Ποταμῶν. Ἀγαθοκλῆς δ' ὁ Μιλήσιος ἐν τοῖς περὶ Ποταμῶν φησι τὸν Ἴναχον διὰ πανουργίαν ὑπὸ τοῦ Διὸς κεραυνωθέντα ξηρὸν γενέσθαι.

4. Παράκεινται δ' αὐτῷ ὄρη Μυκῆναί τε καὶ Ἀπέσαντος καὶ Κοκκύγιον καὶ Ἀθηναῖον, τὰς προσηγορίας εἰληφότα διὰ τοιαύτην αἰτίαν. τὸ μὲν Ἀπέσαντον ἐκαλεῖτο πρότερον Σεληναῖον. Ἥρα γάρ, παρ' Ἡρακλέους δίκας βουλομένη λαβεῖν, συνεργὸν παρέλαβε τὴν Σελήνην· ἡ δ' ἐπῳδαῖς χρησαμένη μάγοις ἀφροῦ κίστην ἐπλήρωσεν, ἐξ ἧς γεννηθέντα λέοντα μέγιστον Ἶρις ταῖς ἰδίαις ζώναις ἐπισφίγξασα κατήνεγκεν εἰς ὄρος Ὀφέλτιον· ὁ δὲ ποιμένα τινὰ τῶν ἐγχωρίων Ἀπέσαντον σπαράξας ἀνεῖλεν· κατὰ δὲ θεῶν πρόνοιαν ὁ τόπος Ἀπέσαντος ἀπ' αὐτοῦ μετωνομάσθη· καθὼς ἱστορεῖ Δημόδοκος ἐν α' Ἡρακλείας.

5. Γεννᾶται δ' ἐν αὐτῷ βοτάνη σελήνη καλουμένη· τὸν δὲ καταφερόμενον ἀπ' αὐτῆς ἀφρὸν περὶ

1 θελήσουσιν: corr. Gelenius; θέλωσιν Stobaeus 9 δ' ὁ Muellerus: δὲ 13 ἀπαίσαντος: corr. H hic et infra ib. κοκκύκιον: corr. Gelenius

τὴν ἀρχὴν τοῦ θέρους οἱ ποιμένες αἴροντες ἀλείφουσι τοὺς πόδας καὶ οὐδὲν ὑπὸ τῶν ἑρπετῶν ἀδικοῦνται.

6. Μυκῆναι δ' ἐκαλοῦντο τὸ πρότερον Ἄργιον ἀπ' Ἄργου τοῦ πανόπτου· μετωνομάσθη δὲ Μυκῆναι δι' αἰτίαν τοιαύτην. Περσέως Μέδουσαν ἀποκτείναντος, Σθενὼ καὶ Εὐρυάλη, ὡς τῆς προειρημένης ἀδελφαὶ τῆς πεφονευμένης, τὸν ἐπίβουλον ἐπεδίωκον· γενόμεναι δὲ κατὰ τοῦτον τὸν λόφον καὶ ἀπελπίσασαι τῆς συλλήψεως διὰ τὴν συμπάθειαν μυκηθμὸν ἀνέδωκαν· οἱ δ' ἐγχώριοι τὴν ἀκρώρειαν ἀπὸ τοῦ συγκυρήματος Μυκήνας μετωνόμασαν· καθὼς ἱστορεῖ Κτησίας Ἐφέσιος ἐν α' Περσηίδος.

7. Χρύσερμος δὲ ὁ Κορίνθιος ἐν α' Πελοποννησιακῶν ἱστορίας μέμνηται τοιαύτης. Περσέως φερομένου μετεώρου καὶ κατὰ τὸν λόφον γενομένου τοῦτον, ἐξέπεσεν αὐτοῦ τῆς λαβῆς τοῦ ξίφους ὁ μύκης. Γοργοφόνος δέ, ὁ βασιλεὺς Ἐπιδαυρίων, ἐκπεσὼν τῆς ἀρχῆς ἔλαβε χρησμὸν ἐκπεριελθεῖν τὰς Ἀργολικὰς πόλεις καί, ὅπου ἂν εὕρῃ ξίφους μύκητα, ἐκεῖ κτίσαι πόλιν. γενόμενος δὲ κατὰ τὸ Ἄργιον ὄρος καὶ εὑρὼν τὴν ἐλεφαντίνην λαβὴν πόλιν ἔκτισεν, ἣν ἀπὸ τοῦ συγκυρήματος προσηγόρευσε Μυκήνας.

8. Γεννᾶται δ' ἐν αὐτῷ λίθος κορύβας καλού-

7 θεννὼ: corr. Gelenius 17 τοῦ ξίφους ὁ μύκης] cf. Hecat. fr. 360 19 ἐμπεριελθεῖν: corr. Hemsterhusius, περιελθεῖν Piccolos 20 ἂν H: ἐὰν ib. μύκηνα: corr. Gelenius

μενος, τῇ χρόᾳ κοραξός· ὃν ἐὰν εὕρῃς καὶ ἔχῃς ἐν τῷ σώματι περικείμενον, κατ' οὐδὲν φοβῇ τὰς τερατώδεις ὄψεις.

9. Τὸ δ' ὄρος ** Ἀπέσαντος τοῦ Ἀκρισίου· κυνηγετῶν γὰρ κατ' ἐκεῖνον τὸν τόπον καὶ πατήσας ἑρπετὸν δηλητήριον ἐτελεύτησεν· ὁ δὲ βασιλεὺς τὸν υἱὸν θάψας τὸν λόφον Ἀπέσαντον μετωνόμασε, καλούμενον Σελινούντιον.

10. Ὄρος δὲ Κοκκύγιον ὠνομάσθη δι' αἰτίαν τοιαύτην. Ζεύς, Ἥρας τῆς ἀδελφῆς ἐρασθεὶς καὶ δυσωπούμενος τὴν ἀγαπωμένην, ** ἐγέννησεν ἐξ αὐτῆς ἄρρεν· τό γ' οὖν καλούμενον ὄρος Λυρκήιον ἀπὸ τοῦ συγκυρήματος Κοκκύγιον ὠνομάσθη· καθὼς ἱστορεῖ Ἀγαθώνυμος ἐν Περσίδι.

11. Φύεται δ' ἐν αὐτῷ δένδρον παλίουρος καλούμενον· ἐφ' ᾧ ἄν τι καθίσῃ τῶν ἀλόγων ζῴων, ὡς ὑπὸ ἰξοῦ κατέχεται, πάρεξ κόκκυγος· τούτου γὰρ φείδεται· καθὼς ἱστορεῖ Κτησιφῶν ἐν α' περὶ Δένδρων.

4 hanc § post quintam ponit cum aliis H et deinde supplet: — — *δὲ ἱστορίας μέμνηται τοιαύτης. Ἀπέσαντος ὁ Ἀκρισίου κυνηγετῶν κατ' ἐκεῖνον κτλ.* Suppleverim: *τὸ δ' ὄρος [Ἀπέσαντον μετωνομάσθη ἀπὸ] Ἀπέσαντος τοῦ Ἀκρισίου κτλ.* 7 *τὸν* H 9 *ὠνομάσθη* H: *διονομάσθη* 11 lac., quam Duebnerus dedit, supplet H ita: *εἰς κόκκυγα μετέβαλε τὴν μορφὴν τοῦ σώματος· δεχθεὶς δὲ ὑπὸ τῆς Ἥρας εἰς τοὺς κόλπους συνεγένετο τῇ προειρημένῃ καὶ ἐγέννησεν κτλ.* Sed possis et brevius et rectius 12 *ἄρρεν*] *Ἄρη* vel fort. *Ἄρην* Muellerus ib. *γ' οὖν*] *δὲ* H ib. *λυκήιον*: em. idem 14 *Περσηίδι* idem 15 *παλίνουρος*: corr. idem 18 *ἱστορεῖ* idem

12. *Ἀθηναῖον δ' ὄρος ἔλαβε τὴν προσηγορίαν ἀπ' Ἀθηνᾶς· μετὰ γὰρ τὴν τοῦ Ἰλίου πόρθησιν Διομήδης, εἰς Ἄργος ὑποστρέψας, εἰς τὸν Κεραύνιον ἀνέβη λόφον καὶ τέμενος Ἀθηνᾶς κατασκευάσας τὸ ὄρος ἀπὸ τῆς θεᾶς Ἀθηναῖον μετωνόμασε.*

13. *Γεννᾶται δ' ἐν τῇ ἀκρωρείᾳ ῥίζα παρόμοιος πηγάνῳ· ἣν ἐὰν γυνὴ φάγῃ τις κατ' ἄγνοιαν, ἐμμανὴς γίνεται· καλεῖται δ' Ἀδράστεια· καθὼς ἱστορεῖ Πλησίμαχος ἐν β' Νόστων.*

XIX. ΑΛΦΕΙΟΣ.

1. *Ἀλφειὸς ποταμός ἐστι τῆς Ἀρκαδίας κατὰ Πῖσαν τῆς Ὀλυμπίας· ἐκαλεῖτο δὲ τὸ πρότερον Στύμφηλος ἀπὸ Στυμφήλου τοῦ Ἄρεως καὶ Δορμοθέας παιδός. οὗτος γὰρ τὸν υἱὸν τὸν φίλιππον Ἀλκμαίωνα ἀποβαλὼν καὶ ἀθυμίᾳ συσχεθεὶς ἑαυτὸν ἔρριψεν εἰς ποταμὸν Νύκτιμον, ὃς καὶ ἀπ' αὐτοῦ Στύμφηλος μετωνομάσθη. Ἀλφειὸς δ' ἐκλήθη δι' αἰτίαν τοιαύτην. Ἀλφειός, εἷς τῶν τὸ γένος ἀφ' Ἡλίου καταγόντων, ἁμιλληθεὶς Κερκάφῳ τῷ ἀδελφῷ περὶ ἀρχῆς ἀνεῖλε τὸν προειρημένον καὶ ὑπὸ Ποινῶν ἐλαυνόμενος ἔβαλεν ἑαυτὸν εἰς ποταμὸν Νύκτιμον, ὃς καὶ ἀπ' αὐτοῦ Ἀλφειὸς μετωνομάσθη.*

9 *Λυσίμαχος* W; *Πανσίμαχος* vel *Τλησίμαχος* H 13 *Δωροθέας* H 16. 22. *καὶ*] del. idem 18 *τὸ γένος τῶν*: corr. Gelenius 19 *καταγαγόντων*: corr. H 20 *ἀρχῆς* W: *ἀρετῆς* ib. *τὸν εἰρημένον*: corr. H 21 *Ποινῶν* Hemsterhusius: *ποιμένων* 22 *Νύκτιμον*] *Στύμφηλον* H

2. *Γεννᾶται δ' ἐν τῷ ποταμῷ τούτῳ βοτάνη κεγχρῖτις προσαγορευομένη, μελικήρῳ παρόμοιος· ἣν οἱ ἰατροὶ καθέψοντες πιεῖν διδόασι τοῖς ἀπηλλοτριωμένας ἔχουσι τὰς φρένας καὶ ἀπαλλάττουσιν αὐτοὺς τῆς μανίας, καθὼς ἱστορεῖ Κτησίας ἐν α' περὶ Ποταμῶν.*

3. *Παράκειται δ' ὄρος Κρόνιον καλούμενον ἀπ' αἰτίας τοιαύτης. μετὰ τὴν Γιγαντομαχίαν Κρόνος τὰς Διὸς ἀπειλὰς ἐκκλίνων εἰς ὄρος παρεγένετο Κτοῦρον, ὃ ἀπ' αὐτοῦ Κρόνιον μετωνόμασεν· λαθὼν δὲ πρὸς ὀλίγον καιρὸν καὶ ἀφορμῆς δραξάμενος διῆρεν εἰς Καύκασον τῆς Σκυθίας.*

4. *Γεννᾶται δ' ἐν τῷ ὄρει τούτῳ κύλινδρος καλούμενος λίθος ἀπὸ τοῦ συγκυρήματος· ὁσάκις γὰρ ἂν ἀστράψῃ Ζεὺς ἢ βροντήσῃ, τοσαυτάκις ἀπὸ τῆς ἀκρωρείας διὰ φόβον κυλίεται· καθὼς ἱστορεῖ Δέρκυλλος ἐν α' περὶ Λίθων.*

XX. ΕΥΦΡΑΤΗΣ.

1. *Εὐφράτης ποταμός ἐστι τῆς Παρθίας κατὰ Βαβυλῶνα πόλιν· ἐκαλεῖτο δὲ τὸ πρότερον Μῆδος ἀπὸ Μήδου, τοῦ Ἀρταξέρξου παιδός. οὗτος γὰρ δι' ἐρωτικὴν ἐπιθυμίαν τὴν Κορδύου θυγατέρα βιασάμενος Ῥωξάνην διέφθειρε· τῇ δ' ἐπιούσῃ τῶν ἡμερῶν ζητούμενος ὑπὸ τοῦ βασιλέως πρὸς κόλασιν*

10 *Κτοῦρον*] *Ἀρκτοῦρον* idem; *Κύτωρον* Muellerus ib. ὃ H: *ὃν* 22 *ἐρωτικὴν* H 23 *ἔφθειρε* idem

καὶ φόβῳ συσχεθεὶς ἑαυτὸν ἔβαλεν εἰς ποταμὸν Ξαράνδαν, ὃς ἀπ' αὐτοῦ Μῆδος ὠνομάσθη. προσηγορεύθη δ' Εὐφράτης δι' αἰτίαν τοιαύτην. Εὐφράτης, Ἀρανδάκου παῖς, τὸν υἱὸν Ἀξούρταν εὑρὼν μετὰ τῆς μητρὸς ἀναπαυόμενον καὶ ὑπολαβὼν ὑπάρχειν τῶν πολιτῶν τινα, διὰ ζήλου μισοπονηρίαν σπασάμενος τὸ ξίφος ἐλαιμοτόμησεν αὐτόν· τῆς δ' ἀνελπίστου πράξεως γενόμενος αὐτόπτης διὰ λύπης ὑπερβολὴν ἑαυτὸν ἔβαλεν εἰς ποταμὸν Μῆδον, ὃς ἀπ' αὐτοῦ Εὐφράτης μετωνομάσθη.

2. *Γεννᾶται δ' ἐν αὐτῷ λίθος ἀετίτης καλούμενος· ὃν αἱ μαῖαι ταῖς δυστοκούσαις ἐπὶ τὰς γαστέρας ἐπιτιθέασι, καὶ παραχρῆμα τίκτουσιν ἄτερ ἀλγηδόνος.*

3. *Γεννᾶται δ' ἐν αὐτῷ καὶ βοτάνη Ἄξαλλα καλουμένη, μεθερμηνευομένη θερμόν· ταύτην οἱ τεταρταΐζοντες ὅταν ἐπὶ τοῦ στήθους θῶσιν, ἀπαλλάττονται παραχρῆμα τῆς ἐπισημασίας· καθὼς ἱστορεῖ Χρύσερμος Κορίνθιος ἐν ιγ' περὶ Ποταμῶν.*

4. *Παράκειται δ' αὐτῷ ὄρος Δριμύλον καλούμενον· ἐν ᾧ γεννᾶται λίθος σαρδώνυχι παρόμοιος, ᾧ οἱ βασιλεῖς ἐν ταῖς βασιλείαις χρῶνται· ποιεῖ δ' ἄριστα πρὸς ἀμβλυωπίας εἰς ὕδωρ θερμὸν βαλλό-*

2 *Ξαραύδαν* Quatremère 4 *Φαρανδάκου* H 8 *αὐτόπτης* W: *αἴτιος* 11 *ἀετίτης* Stobaeus Flor. 100, 11: *ἀστιγὴς* 15 idem: *ἔξαλλα* 17 *τιθῶσιν* idem 20 *δρίμυλλον* idem 21 *ᾧ* Maussacus: *ὃν* 22 *ἐν ταῖς βασιλείαις*] *ἐν τοῖς βαλανείοις* Bernardus 23 Stobaeus: *ἀμβλυωπίαν*

μενος· καθὼς ἱστορεῖ Νικίας ὁ Μαλλώτης ἐν τοῖς περὶ Λίθων.

XXI. ΚΑΙΚΟΣ.

1. Κάικος ποταμός ἐστι τῆς Μυσίας· ἐκαλεῖτο δὲ τὸ πρότερον Ἀστραῖος ἀπ' Ἀστραίου τοῦ Ποσειδῶνος. οὗτος γάρ, παννυχίδος Ἀθηνᾷ τελουμένης, Ἀλκίππην τὴν ἀδελφὴν κατ' ἄγνοιαν βιασάμενος ἔφθειρε καὶ ἀφείλετο τῆς προειρημένης τὸν δακτύλιον. τῇ δ' ἐπιούσῃ τῶν ἡμερῶν ἐπιγνοὺς τὴν σφραγῖδα τῆς ὁμαίμου διὰ λύπης ὑπερβολὴν ἔβαλεν ἑαυτὸν εἰς ποταμὸν Ἄδουρον, ὃς ἀπ' αὐτοῦ Ἀστραῖος μετωνομάσθη· προσηγορεύθη δὲ Κάικος δι' αἰτίαν τοιαύτην. Κάικος, Ἑρμοῦ καὶ Ὠκυρρόης παῖς νύμφης, Τίμανδρον, ἕνα τῶν εὐγενῶν, φονεύσας καὶ τοὺς προσήκοντας αὐτῷ φοβούμενος ἑαυτὸν ἔρριψεν εἰς τὸν Ἀστραῖον, ὃς ἀπ' αὐτοῦ Κάικος μετωνομάσθη.

2. Γεννᾶται δ' ἐν τῷ ποταμῷ μήκων, ἔχων ἀντὶ καρποῦ λίθον· ἐκ τούτων μέλανά τινα τυγχάνει παρόμοια πυροῖς, ἅπερ οἱ Μυσοὶ ῥιπτοῦσιν εἰς ἠροτριωμένην χώραν· κἂν μὲν ἀφορία μέλλῃ γίνεσθαι, ἐμμένει τῷ τόπῳ τὸ βληθέν· ἐὰν δ' εὐκαρπίαν σημαίνῃ, τὰ λιθάρια δίκην ἀκρίδων ἅλλεται.

1 μαλιώτης: corr. Maussacus 4 ἐστι accessit e Stobaeo 100, 17 16 Ἀστραῖον Maussacus: πανραῖον 19 λίθων: corr. Geleniana; πλῆθος λιθαρίων Muellerus 20 πυροῖς H: λύροις ib. οἱ Μυσοὶ Geleniana: ἥμισυ 22 μένει: corr. H

3. *Φύεται δ᾽ ἐν αὐτῷ καὶ βοτάνη ἡλιφάρμακον καλουμένη, ἣν οἱ ἰατροὶ τοῖς αἱμορραγοῦσι ἐπιτιθέασι καὶ τῶν φλεβῶν μεσολαβοῦσι τὴν ἔκρυσιν· καθὼς ἱστορεῖ Τιμαγόρας ἐν α΄ περὶ Ποταμῶν.*

4. *Παράκειται δ᾽ αὐτῷ ὄρος Τεύθρας καλούμενον ἀπὸ Τεύθραντος, τοῦ Μυσῶν βασιλέως· ὃς κυνηγεσίας χάριν εἰς Θράσυλλον ὄρος ἀναβὰς καὶ θεασάμενος ὑπερμεγέθη κάπρον ἐδίωκεν αὐτὸν μετὰ τῶν δορυφόρων· ὁ δὲ φθάσας κατέφυγεν ὡς ἱκέτης εἰς τὸ τῆς Ὀρθωσίας Ἀρτέμιδος ἱερόν· βιαζομένων δὲ πάντων εἰς τὸν ναὸν εἰσελθεῖν, ὁ σῦς ἀνθρωπίνῃ φωνῇ χρησάμενος ἐξάκουστον ἀνέκραγεν ‘φεῖσαι, βασιλεῦ, τοῦ θρέμματος τῆς θεᾶς’· μετεωρισθεὶς δὲ Τεύθρας ἀνεῖλε τὸ ζῷον. Ἄρτεμις δὲ μισοπονήρως ἐνεγκοῦσα τὴν πρᾶξιν τὸν μὲν κάπρον ἀνεζωπύρησε, τῷ δὲ παραιτίῳ τοῦ συγκυρήματος ἀλφὸν μετὰ μανίας ἔπεμψε. δυσωπούμενος δὲ τὸ πάθος ἐν ταῖς ἀκρωρείαις διέτριβεν. Λυσίππη δέ, τοῦ προειρημένου μήτηρ, κατηχηθεῖσα περὶ τῶν συμβεβηκότων εἰς τὴν ὕλην ἔδραμε, συνεπισπωμένη μάντιν τὸν Κοιράνου Πολύϊδον· παρ᾽ οὗ πᾶσαν πολυπραγμονήσασα τὴν ἀλήθειαν βουθυσίαις τῆς θεᾶς ἐξιλάσατο τὴν μισοπονηρίαν, καὶ ἀπολαβοῦσα*

1 *ἐν αὐτῷ* accessit ex Stobaeo ib. *ἡλιφάρμακον* Duebnerus: *φάρμακος* codex; *ἡλιφάρμακος* Stobaeus; *ἐλελίσφακος* H 2 *ταῖς αἱμορροούσαις τιθέασιν*: em. Stobaeus 3 idem: *ἔκκρισιν* 5 *καλούμενον* add. idem 12 *φεῖσαι* ed. Lips. 1778: *φεῖσε* 15 *τὸ*: corr. Geleniana ib. *κάπρον*] *ταῦρον* Aristot. Mirab. c. 175 17 *δὲ*] *δὲ Τεύθρας* H 19 *τοῦ*] *ἡ τοῦ* H 21 *κυράνου*: corr. idem

τὸν υἱὸν σωφρονοῦντα βωμὸν ἱδρύσατο Ἀρτέμιδος Ὀρθωσίας· κατεσκεύασε δὲ καὶ κάπρον χρύσεον, εἰς προτομὴν ἀνθρώπου ἠσκημένον. οὗτος μέχρι νῦν διωκόμενος ὑπὸ κυνηγῶν, εἰσελθὼν εἰς τὸν ναὸν φωνὴν ἀναδίδωσι ʽφείδεσθεʼ. Τεύθρας δὲ παρ᾽ ἐλπίδα τὴν ἀρχέτυπον μορφὴν ἀναλαβὼν τὸ ὄρος μετωνόμασε Τεύθραντα.

5. *Γεννᾶται δ᾽ ἐν αὐτῷ λίθος ἀντιπαθὴς καλούμενος, ὃς κάλλιστα ποιεῖ πρὸς ἀλφοὺς καὶ λέπρας δι᾽ οἴνου τριβόμενος καὶ τοῖς πάσχουσιν ἐπιτιθέμενος· καθὼς ἱστορεῖ Κτησίας ὁ Κνίδιος ἐν β′ περὶ Ὀρῶν.*

XXII. ΑΧΕΛΩΙΟΣ.

1. *Ἀχελῷος ποταμός ἐστι τῆς Αἰτωλίας· ἐκαλεῖτο δὲ πρότερον Θέστιος δι᾽ αἰτίαν τοιαύτην. Θέστιος, Ἄρεως καὶ Πεισιδίκης παῖς, διά τινα περίστασιν οἰκιακὴν ἀποδημήσας εἰς Σικυῶνα καὶ ἱκανὸν χρόνον διατρίψας ὑπέστρεψεν εἰς τὸ πατρῷον ἔδαφος· εὑρὼν δὲ τὸν υἱὸν Καλυδῶνα μετὰ τῆς μητρὸς ἀναπαυόμενον καὶ μοιχὸν εἶναι δόξας κατ᾽ ἄγνοιαν ἐγονοκτόνησε· τῆς δ᾽ ἀνελπίστου πράξεως αὐτόπτης γενόμενος ἑαυτὸν ἔρριψεν εἰς ποταμὸν Ἄξενον, ὃς ἀπ᾽ αὐτοῦ Θέστιος μετωνομάσθη. προσηγορεύθη*

2 *εἱς* W   3 fort. *οὗτος μέχρι νῦν οἷον διωκόμενος ὑπὸ κυνηγῶν βιαζομένων εἰσελθεῖν εἰς τὸν ναὸν κτλ.*   5 *φείδεσθε* W: *ἴδεσθε*   9 *λεπρούς*: corr. Geleniana   10 *καὶ* — — *ἐπιτιθέμενος* accessit ex Stobaeo   11 *ὁ* *   17 *οἰκειακὴν*: corr. H

δ' Ἀχελῷος ἀπὸ τοιαύτης αἰτίας. Ἀχελῷος, Ὠκεανοῦ καὶ Ναΐδος νύμφης παῖς, τῇ θυγατρὶ Κλειτορίᾳ κατ' ἄγνοιαν συνερχόμενος καὶ ἀθυμίᾳ συσχεθεὶς ἑαυτὸν ἔβαλεν εἰς ποταμὸν Θέστιον, ὃς ἀπ' αὐτοῦ Ἀχελῷος μετωνομάσθη.

2. Γεννᾶται δ' ἐν τῷ ποταμῷ τούτῳ βοτάνη ζάγκλον καλουμένη, παρόμοιος ἐρίῳ. ταύτην τρίψας ἂν εἰς οἶνον βάλῃς, ὕδωρ γίνεται καὶ τὴν μὲν ὀσμὴν ἔχει τὴν δὲ δύναμιν οὐκ ἔχει.

3. Εὑρίσκεται δὲ ἐν αὐτῷ καὶ λίθος πελιδνὸς τῷ χρώματι, λινουργὸς καλούμενος ἀπὸ τοῦ συγκυρήματος· ἐὰν γὰρ βάλῃς αὐτὸν εἰς ὀθόνιον, δι' ἔρωτος ἕνωσιν τὸ σχῆμα λαμβάνει καὶ ἄργιον γίνεται· καθὼς ἱστορεῖ Ἀντισθένης ἐν γ' Μελεαγρίδος. μέμνηται δὲ τούτων ἀκριβέστερον Διοκλῆς ὁ Ῥόδιος ἐν τοῖς Αἰτωλικοῖς.

4. Παράκειται δ' αὐτῷ ὄρος Καλυδὼν καλούμενον, τὴν προσηγορίαν εἰληφὸς ἀπὸ Καλυδῶνος, τοῦ Ἄρεως καὶ Ἀστυνόμης παιδός. οὗτος γὰρ κατ' ἄγνοιαν λουομένην ἰδὼν Ἄρτεμιν, τὴν μορφὴν τοῦ σώματος μετέβαλεν εἰς πέτραν· κατὰ δὲ πρόνοιαν θεῶν τὸ ὄρος καλούμενον Γυρὸν ἀπ' αὐτοῦ Καλυδὼν μετωνομάσθη.

5. Γεννᾶται δ' ἐν αὐτῷ βοτάνη μύωψ προσαγορευομένη· ἣν ἐάν τις εἰς ὕδωρ βαλὼν νίψηται τὸ

2 κληστορίᾳ: correxi 7 ζάκλον: corr. Maussacus ib. παρόμοιον: corr. idem ib. ἐρίῳ] δρεπάνῳ H; malim θερ(ε)ίῳ sc. δρεπάνῳ cf. θεριστήριον 10 ἐν αὐτῷ idem 13 ἄργιον] ἀράχνιον W, ὀθόνιον ἀραιὸν H. Fort. ἄρτιον i. e. συνηρμοσμένον vid. Thesaurus 24 μύωψ H: ἡ μύωψ

πρόσωπον, ἀποβάλλει τὴν ὅρασιν, Ἄρτεμιν δ' ἐξιλασάμενος ἀνακτᾶται τὸ φῶς· καθὼς ἱστορεῖ Δέρκυλλος ἐν γ' Αἰτωλικῶν.

XXIII. ΑΡΑΞΗΣ.

1. *Ἀράξης ποταμός ἐστι τῆς Ἀρμενίας, τὴν προσηγορίαν εἰληφὼς ἀπ' Ἀράξου τοῦ Πύλου. οὗτος γὰρ πρὸς Ἄρβηλον τὸν πάππον ὑπὲρ σκήπτρων ἁμιλλώμενος αὐτὸν κατετόξευσε· ποινηλατούμενος δὲ ὑπ' Ἐρινύων ἑαυτὸν ἔρριψεν εἰς ποταμὸν Βάκτρον, ὃς ἀπ' αὐτοῦ Ἀράξης μετωνομάσθη, καθὼς ἱστορεῖ Κτησιφῶν ἐν α' Περσικῶν. Ἀράξης, Ἀρμενίων βασιλεύς, πρὸς τοὺς πλησιοχώρους Πέρσας πόλεμον ἔχων καὶ τῆς παρατάξεως παρελκομένης χρησμὸν ἔλαβεν αὐτὸν ἔσεσθαι τῆς νίκης ἐγκρατῆ, ἐὰν θεοῖς ἀποτροπαίοις θύσῃ δύο τὰς εὐγενεστάτας παρθένους. ὁ δὲ διὰ φιλότεκνον εὔνοιαν τῶν ἰδίων θυγατέρων φεισάμενος ἑνὸς τῶν ὑποτεταγμένων κόρας περιβλέπτους τοῖς βωμοῖς προσαγαγὼν ἀνεῖλε· Μνησάλκης δέ, ὁ τῶν φονευθεισῶν πατήρ, βαρέως ἤνεγκε τὴν πρᾶξιν, πρὸς καιρὸν στέξας τὴν ὕβριν· ἀφορμῆς δὲ δραξάμενος ἐξ ἐνέδρας τὰς τοῦ τυράννου θυγατέρας ἀπέκτεινε καὶ καταλιπὼν τὸ πατρῷον ἔδαφος εἰς Σκυθίαν ἔπλευσεν. Ἀράξης δὲ περὶ τῶν*

8 *αὐτῷ*: corr. Geleniana 11 post *Περσικῶν* excidisse nomen alterius auctoris cum hac formula: — — *δὲ* — — *ἱστορίας μέμνηται τοιαύτης* monet H cum W 18 *τὰς κόρας* H ib. *προσαγαγὼν* R: *προσάγων*

συμβεβηκότων κατηχηθεὶς καὶ ἀθυμίᾳ συσχεθεὶς ἑαυτὸν ἔρριψεν εἰς ποταμὸν Ἅλμον, ὃς ἀπ᾽ αὐτοῦ Ἀράξης μετωνομάσθη.

2. *Γεννᾶται δ᾽ ἐν αὐτῷ βοτάνη Ἀράξα καλουμένη τῇ διαλέκτῳ τῶν ἐγχωρίων, ἥτις μεθερμηνευομένη λέγεται μισοπάρθενος· ἅμα γὰρ εὑρεθῆναι τὴν προειρημένην ὑπὸ παρθένων αἵματος ποιησαμένη καταφορὰν μαραίνεται.*

3. *Καὶ λίθος δὲ γεννᾶται σικύωνος καλούμενος, μελάγχρους. οὗτος, ὅταν τις χρησμὸς ἀνθρωποκτόνος ἐκπέσῃ, τοῖς βωμοῖς τῶν ἀποτροπαίων θεῶν ὑπὸ δυεῖν ἐπιτίθεται παρθένων· τοῦ δὲ ἱερέως αὐτοῦ τῇ μαχαίρᾳ θιγόντος, αἵματος ἔκρυσις γίνεται δαψιλής. καὶ τούτῳ τῷ τρόπῳ τὴν δεισιδαιμονίαν τελέσαντες μετ᾽ ὀλολυγμῶν ἀναχωροῦσι, τὸν λίθον πρὸς τὸν ναὸν προσενέγκαντες· καθὼς ἱστορεῖ Δωρόθεος ὁ Χαλδαῖος ἐν β΄ περὶ Λίθων.*

4. *Παράκειται δ᾽ αὐτῷ ὄρος Δίορφον καλούμενον ἀπὸ Διόρφου τοῦ γηγενοῦς, περὶ οὗ φέρεται ἱστορία τοιαύτη. Μίθρας υἱὸν ἔχειν βουλόμενος καὶ τὸ τῶν γυναικῶν γένος μισῶν πέτρᾳ τινὶ προσεξέθορεν· ἔγκυος δὲ ὁ λίθος γενόμενος, μετὰ τοὺς ὡρισμένους χρόνους ἀνέδωκε νέον, τοὔνομα Δίορφον· ὃς ἀκμάσας καὶ εἰς ἅμιλλαν ἀρετῆς τὸν Ἄρη προκαλεσάμενος ἀνῃρέθη· οὗτος κατὰ πρόνοιαν θεῶν εἰς ὁμώνυμον ὄρος μετεμορφώθη.*

11 *ἐκπέσῃ* W: *ἐμπέσῃ* 13 *ἔκλυσις*: corr. Reinesius 14 *τρόπῳ* W: *χρόνῳ* 18. 19 *Δίμορφον — Διμόρφου* H 21 *προσεξέθερεν*: corr. Dodwellus

5. *Γεννᾶται δ' ἐν αὐτῷ δένδρον ῥοιᾷ παραπλήσιον, καρπὸν δ' ἄφθονον τρέφει μήλων, τὴν γεῦσιν ἔχοντα σταφυλῇ παρόμοιον. ἐκ ταύτης τῆς ὀπώρας πέπειρον ἐάν τις καθελὼν ὀνομάσῃ τὸν Ἄρη, γίνεται κρατούμενος χλωρός· καθὼς ἱστορεῖ Κτησιφῶν ἐν ιγ' περὶ Δένδρων.*

XXIV. ΤΙΓΡΙΣ.

1. *Τίγρις ποταμός ἐστι τῆς Ἀρμενίας, τὸν ῥοῦν καταφέρων εἴς τε τὸν Ἀράξην καὶ τὴν Ἀρσακίδα λίμνην· ἐκαλεῖτο δὲ τὸ πρότερον Σόλλαξ, ὅπερ μεθερμηνευόμενόν ἐστι κατωφερής· ὠνομάσθη δὲ Τίγρις δι' αἰτίαν τοιαύτην. Διόνυσος κατὰ πρόνοιαν Ἥρας ἐμμανὴς γενόμενος περιήρχετο γῆν τε καὶ θάλατταν, ἀπαλλαγῆναι τοῦ πάθους θέλων· γενόμενος δ' ἐν τοῖς κατ' Ἀρμενίαν τόποις καὶ τὸν προειρημένον ποταμὸν διελθεῖν μὴ δυνάμενος ἐπεκαλέσατο τὸν Δία· γενόμενος δ' ἐπήκοος ὁ θεὸς ἔπεμψεν αὐτῷ τίγριν, ἐφ' ἧς ἀκινδύνως προσενεχθεὶς εἰς τιμὴν τῶν συμβεβηκότων τὸν ποταμὸν Τίγριν μετωνόμασε, καθὼς ἱστορεῖ Θεόφιλος ἐν α' περὶ Λίθων. Ἑρμησιάναξ δὲ ὁ Κύπριος ἱστορίας μέμνηται τοιαύτης. Διόνυσος ἐρασθεὶς Ἀλφεσιβοίας νύμφης καὶ μήτε δώροις μήτε δεήσεσι πεῖσαι δυνά-*

10 *Σύλαξ* Eustathius ad Dion. 976 18 *πρόσω ἐνεχθεὶς* W, *πέραν ἐνεχθεὶς* H. *προενεχθεὶς*? sed cf. p. 300, 23 21 *Λίθων*] *Τίγρεων* vel *Θηρίων* suspic. H

μενος τὴν προειρημένην, εἰς τίγριν μετέβαλε τὴν μορφὴν τοῦ σώματος· καὶ φόβῳ πείσας τὴν ἀγαπωμένην ἀνέλαβεν αὐτήν, καὶ διὰ τοῦ ποταμοῦ κομίσας ἐγέννησεν υἱὸν Μῆδον· ὃς ἀκμάσας εἰς τιμὴν τοῦ συγκυρήματος τὸν ποταμὸν Τίγριν μετωνόμασε, καθὼς ἱστορεῖ Ἀριστώνυμος ἐν γ΄ ....

2. Γεννᾶται δ' ἐν αὐτῷ λίθος Μυνδὰν καλούνος, πάνυ λευκός· ὃν ἐὰν κατέχῃ τις, οὐδὲν ὑπὸ θηρίων ἀδικεῖται· καθὼς ἱστορεῖ Λέων ὁ Βυζάντιος ἐν γ΄ περὶ Ποταμῶν.

3. Παράκειται δ' αὐτῷ ὄρος Γαυρὰν καλούμενον ἀπὸ Γαυρὰν τοῦ Ῥωξάνους σατράπου, ὃς εὐσεβὴς ὢν πρὸς τοὺς θεοὺς τῆς ἀμοιβαίας ἔτυχε χάριτος· μόνος ἐκ πάντων τῶν Περσῶν τριακοσίοις ἔτεσι ζήσας καὶ ἄτερ νόσου τινὸς τελευτήσας ἐν ταῖς ἀκρωρείαις τοῦ Γαυρανοῦ ταφῆς ἠξιώθη πολυτελοῦς· κατὰ δὲ πρόνοιαν θεῶν τὸ ὄρος ἀπ' αὐτοῦ Μαυσωρὸν μετωνομάσθη.

4. Γεννᾶται δ' ἐν αὐτῷ βοτάνη, ἡ κριθῇ ἐστι παρόμοιος ἀγρίᾳ· ταύτην οἱ ἐγχώριοι θερμαίνοντες ἐν ἐλαίῳ καὶ ἀλειφόμενοι οὐδέποτε νοσοῦσι μέχρι ἀνάγκης τοῦ θανάτου· καθὼς ἱστορεῖ Σώστρατος ἐν α΄ Μυθικῆς Ἱστοριῶν Συναγωγῆς.

1 εἰς τὴν προειρημένην τίγριν: corr. Piccolos 3 post ποταμοῦ excidisse antiquum Tigridis nomen monet H 6 'excidit nomen libri' idem 11. 12 Γαυρανὸς — — ἀπὸ Γαυρανοῦ Maussacus 13 τῆς] del. H 14 μόνος γὰρ idem 16 Γαυρανοῦ — — Μαυσωρὸν] Μαυσωροῦ — — Γαυρανὸς W 20 corr. Stobaeus 100, 19: θερμαίνοντες ἐλέῳ καταλειφόμενοι 21 μέχρι τῆς Stobaeus 23 ἱστορίας ἀγωγῆς codex

XXV. ΙΝΔΟΣ.

1. Ἰνδὸς ποταμός ἐστι τῆς Ἰνδίας, ῥοίζῳ μεγάλῳ καταφερόμενος εἰς τὴν τῶν Ἰχθυοφάγων γῆν· ἐκαλεῖτο δὲ πρότερον Μαυσωλὸς ἀπὸ Μαυσωλοῦ τοῦ Ἡλίου· μετωνομάσθη δὲ δι' αἰτίαν τοιαύτην. τῶν τοῦ Διονύσου μυστηρίων τελουμένων καὶ τῶν ἐγχωρίων τῇ δεισιδαιμονίᾳ προσευκαιρούντων, Ἰνδός, τῶν ἐπισήμων νέος, τὴν Ὀξυάλκου τοῦ βασιλέως θυγατέρα Δαμασαλκίδαν κανηφοροῦσαν βιασάμενος ἔφθειρε· ζητούμενος δὲ ὑπὸ τοῦ τυράννου πρὸς κόλασιν διὰ φόβον ἑαυτὸν ἔβαλεν εἰς ποταμὸν Μαυσωλόν, ὃς ἀπ' αὐτοῦ Ἰνδὸς μετωνομάσθη.

2. Γεννᾶται δ' ἐν αὐτῷ λίθος ** προσαγορευόμενος· ὃν ὅταν φορῶσιν αἱ παρθένοι, κατ' οὐδένα τρόπον τοὺς φθορέας φοβοῦνται.

3. Φύεται δ' ἐν αὐτῷ καὶ βοτάνη καρπύλη καλουμένη, βουγλώσσῳ παρόμοιος· ποιεῖ δ' ἄριστα πρὸς ἰκτερικοὺς διὰ ὕδατος χλιαροῦ διδομένη τοῖς πάσχουσι· καθὼς ἱστορεῖ Κλειτοφῶν ὁ Ῥόδιος ἐν α' Ἰνδικῶν.

4. Παράκειται δ' αὐτῷ ὄρος Λίλαιον προσαγορευόμενον ἀπὸ Λιλαίου ποιμένος. οὗτος γὰρ δεισιδαίμων ὑπάρχων καὶ μόνην σεβόμενος τὴν Σελή-

5 τῶν W 8 Σευάλκου H, Ὀξυδράκου Muellerus 9 Δαμασάνδραν H ib. κανηφουροῦσαν codex 11 ἔβαλλεν: corr. Geleniana 13 'excidit nomen lapidis' W 16 ἐν αὐτῷ] accessit ex Stobaeo 100, 20 ib. καρπύλη καλουμένη] ex eodem 18 διὰ idem: μετὰ ib. τοῖς πάσχουσι] additum ex eodem 20 α' Stobaeus: ι' 23 μόνην H: μόνος

νην, νυκτὸς βαθείας ἐξετέλει τὰ μυστήρια τῆς προειρημένης. βαρέως δὲ οἱ λοιποὶ θεοὶ τὴν ἀτιμίαν φέροντες ἔπεμψαν αὐτῷ δύο λέοντας ὑπερμεγέθεις, ὑφ' ὧν διασπαραχθεὶς τὸν βίον ἐξέλιπεν. Σελήνη δὲ τὸν εὐεργέτην μετέβαλεν εἰς ὁμώνυμον ὄρος.

5. Γεννᾶται δ' ἐν αὐτῷ λίθος κλειτορὶς ὀνομαζόμενος· ἔστι δὲ λίαν μελάγχρους· ὃν κόσμου χάριν οἱ ἐγχώριοι φοροῦσιν ἐν τοῖς ὠταρίοις, καθὼς ἱστορεῖ Ἀριστοτέλης ἐν δ' περὶ Ποταμῶν.

1 ἐκτελεῖ: corr. W 2 τὴν idem 4 ἐξέλειπεν: corr. Gr. Latina 1624 6 κλιτορὶς: corr. H 8 σωταρίοις: corr. Reinesius

ΠΕΡΙ ΤΟΥ ΒΙΟΥ ΚΑΙ ΤΗΣ ΠΟΙΗΣΕΩΣ ΟΜΗΡΟΥ.

Α.

1. *Περιττὸν ἂν ἴσως δόξειέ τισι πολυπραγμονεῖν περὶ Ὁμήρου, ποίων τε ἦν γονέων καὶ πόθεν· ἐπεὶ μηδ' αὐτὸς ἠξίωσεν εἰπεῖν περὶ αὐτοῦ, ἀλλ' οὕτως ἐγκρατῶς ἔσχεν, ὡς μηδὲ τὴν ἀρχὴν τοῦ ὀνόματος ἐπιμνησθῆναι. ἐπεὶ δὲ ὡς πρὸς εἰσαγωγὴν τῶν ἀρχομένων παιδεύεσθαι χρήσιμος ἡ πολυπειρία, πειρασόμεθα εἰπεῖν ὅσα ἱστόρηται τοῖς παλαιοῖς περὶ αὐτοῦ.*

2. *Ἔφορος μὲν οὖν ὁ Κυμαῖος, ἐν συντάγματι τῷ ἐπιγραφομένῳ Ἐπιχωρίῳ Κυμαῖον αὐτὸν ἀποδεικνύναι πειρώμενος, φησὶν ὅτι Ἀπελλῆς καὶ Μαίων καὶ Δῖος ἀδελφοὶ Κυμαῖοι τὸ γένος· ὧν Δῖος μὲν διὰ χρέα μετῴκησεν εἰς Ἄσκρην κώμην τῆς Βοιωτίας κἀκεῖ γήμας Πυκιμήδην ἐγέννησεν Ἡσίοδον· Ἀπελλῆς δὲ τελευτήσας ἐν τῇ πατρίδι Κύμῃ κατέλιπε θυγατέρα Κριθηίδα τοὔνομα, προστησάμενος αὐτῇ τὸν ἀδελφὸν Μαίονα· ὃς διακορεύσας τὴν προειρημένην καὶ τὴν ἀπὸ τῶν πολιτῶν ἐπὶ τῷ γε-*

11 Ἔφορος] vid. Mueller. Fragm. I p. 277.

γονότι δείσας κατάγνωσιν, ἔδωκεν αὐτὴν πρὸς γάμον Φημίῳ τῷ Σμυρναίῳ, διδασκάλῳ γραμμάτων. φοιτῶσα δὲ αὐτὴ ἐπὶ τοὺς πλυνούς, οἳ ἦσαν παρὰ τῷ Μέλητι, ἀπεκύησε τὸν Ὅμηρον ἐπὶ τῷ ποταμῷ, καὶ διὰ τοῦτο Μελησιγενὴς ἐκλήθη· μετωνομάσθη δὲ Ὅμηρος, ἐπειδὴ τὰς ὄψεις ἐπηρώθη· οὕτω δὲ ἐκάλουν οἵ τε Κυμαῖοι καὶ οἱ Ἴωνες τοὺς τὰς ὄψεις πεπηρωμένους παρὰ τὸ δεῖσθαι τῶν ὁμηρευόντων, ὅ ἐστι τῶν ἡγουμένων. καὶ ταῦτα μὲν Ἔφορος.

3. Ἀριστοτέλης δὲ ἐν τῷ τρίτῳ περὶ Ποιητικῆς ἐν Ἴῳ φησὶ τῇ νήσῳ, καθ' ὃν καιρὸν Νηλεὺς ὁ Κόδρου τῆς Ἰωνικῆς ἀποικίας ἡγεῖτο, κόρην τινὰ τῶν ἐπιχωρίων γενομένην ὑπό τινος δαίμονος τῶν συγχορευτῶν ταῖς Μούσαις ἐγκύμονα, αἰδεσθεῖσαν τὸ συμβὰν διὰ τὸν ὄγκον τῆς γαστρός, ἐλθεῖν εἴς τι χωρίον τὸ καλούμενον Αἴγιναν· εἰς ὃ καταδραμόντας λῃστὰς ἀνδραποδίσαι τὴν προειρημένην καὶ ἀγαγόντας εἰς Σμύρναν οὖσαν ὑπὸ Λυδοῖς τότε τῷ βασιλεῖ τῶν Λυδῶν ὄντι φίλῳ τοὔνομα Μαίονι χαρίσασθαι· τὸν δὲ ἀγαπήσαντα τὴν κόρην διὰ τὸ κάλλος γῆμαι· ἣν διατρίβουσαν παρὰ τῷ Μέλητι καὶ συσχεθεῖσαν ὑπὸ τῆς ὠδῖνος ἔτυχεν ἀποκυῆσαι τὸν Ὅμηρον ἐπὶ τῷ ποταμῷ. ὃν ἀναλαβὼν ὁ Μαίων ὡς ἴδιον ἔτρεφε, τῆς Κριθηίδος μετὰ τὴν κύησιν εὐθέως τελευτησάσης. χρόνου δὲ οὐ πολλοῦ διελθόντος καὶ αὐτὸς ἐτελεύτησε. τῶν δὲ Λυδῶν κα-

5 Μελησιγένης hic et infra Westermannus 10 Ἀριστοτέλης] vid. Rose Fragm. 76 22 καὶ et ἔτυχεν cum uno codice del. Duebnerus

ταπονουμένων ὑπὸ τῶν Αἰολέων καὶ κρινάντων καταλιπεῖν τὴν Σμύρναν, κηρυξάντων τῶν ἡγεμόνων τὸν βουλόμενον ἀκολουθεῖν ἐξιέναι τῆς πόλεως, ἔτι νήπιος ὢν Ὅμηρος ἔφη καὶ αὐτὸς βούλεσθαι ὁμηρεῖν· ὅθεν ἀντὶ Μελησιγενοῦς Ὅμηρος προσηγορεύθη.

4. *Γενόμενος δὲ ἐν ἡλικίᾳ καὶ δόξαν ἐπὶ ποιητικῇ κεκτημένος ἤδη ἐπηρώτα τὸν θεόν, τίνων τε εἴη γονέων καὶ πόθεν· ὁ δὲ ἀνεῖλεν οὕτως·*

'ἔστιν Ἴος νῆσος μητρὸς πατρίς, ἥ σε θανόντα
δέξεται· ἀλλὰ νέων ἀνδρῶν αἴνιγμα φύλαξαι.'

φέρεται δὲ καὶ ἕτερος χρησμὸς τοιοῦτος·

'ὄλβιε καὶ δύσδαιμον· ἔφυς γὰρ ἐπ' ἀμφοτέροισι·
πατρίδα δίζηαι· μητρὸς δέ τοι, οὐ πατρὸς ἔστι
μητρόπολις ἐν νήσῳ ἀπὸ Κρήτης εὐρείης,
Μίνωος γαίης οὔτε σχεδὸν οὔτ' ἀποτηλοῦ.
ἐν τῇ σῇ μοῖρ' ἐστὶ τελευτῆσαι βιότοιο,
εὖτ' ἂν ἀπὸ γλώσσης παίδων μὴ γνῷς ἐπακούσας
δυσξύνετον σκολιοῖσι λόγοις εἰρημένον ὕμνον.
δοιὰς γὰρ ζωῆς μοίρας λάχες, ἣν μὲν ἀμαυρὰν
ἠελίων δισσῶν, ἣν δ' ἀθανάτοις ἰσόμοιρον
ζῶντί τε καὶ φθιμένῳ· φθίμενος δ' ἔτι πολλὸν [ἀγήρως.'

μετ' οὐ πολὺν δὲ χρόνον πλέων ἐς Θήβας ἐπὶ τὰ

11 *ἀλλὰ νέων*] *ἀλλ' ἁλιέων* Westermannus 19 *ὕμνον*] *αἶνον*? 21 *δισσῶν* Eusebius Praep. Ev. 5, 33: *δι' ὅσσων* 23 *Θήβας*] scr. vid. *Ἀθήνας* cum Rosio conferenti Ps.-Herod. Vit. Hom. p. 18, 65 West.

Κρόνια (ἀγὼν δὲ οὗτος ἄγεται παρ' αὐτοῖς μουσικός) ἦλθεν εἰς Ἴον· ἔνθα ἐπὶ πέτρας καθεζόμενος ἐθεάσατο ἁλιεῖς προσπλέοντας, ὧν ἐπύθετο εἴ τι ἔχοιεν. οἱ δὲ ἐπὶ τῷ θηρᾶσαι μὲν μηδὲν φθειρίζεσθαι δὲ διὰ τὴν ἀπορίαν τῆς θήρας οὕτως ἀπεκρίναντο·

'ὅσσ' ἕλομεν λιπόμεσθ', ὅσσ' οὐχ ἕλομεν φερόμεσθα',

αἰνισσόμενοι ὡς ἄρα, οὓς μὲν ἔλαβον τῶν φθειρῶν, ἀποκτείναντες κατέλιπον· οὓς δ' οὐκ ἔλαβον, ἐν τῇ ἐσθῆτι φέροιεν. ὅπερ οὐ δυνηθεὶς συμβαλεῖν Ὅμηρος διὰ τὴν ἀθυμίαν ἐτελεύτησε. θάψαντες δὲ αὐτὸν οἱ Ἰῆται μεγαλοπρεπῶς τοιόνδε ἐπέγραψαν αὐτοῦ τῷ τάφῳ·

'ἐνθάδε τὴν ἱερὴν κεφαλὴν κατὰ γαῖα καλύπτει,
ἀνδρῶν ἡρώων κοσμήτορα θεῖον Ὅμηρον.'

εἰσὶ μέντοι οἳ καὶ Κολοφώνιον αὐτὸν ἀποδεικνύναι πειρῶνται, μεγίστῳ τεκμηρίῳ χρώμενοι πρὸς ἀπόδειξιν τῷ ἐπὶ τοῦ ἀνδριάντος ἐπιγεγραμμένῳ ἐλεγείῳ· ἔχει δὲ οὕτως·

'υἱὲ Μέλητος, Ὅμηρε, σὺ γὰρ κλέος Ἑλλάδι πάσῃ
καὶ Κολοφῶνι πάτρῃ θῆκας ἐς ἀίδιον·
καὶ τάσδ' ἀντιθέῳ ψυχῇ γεννήσαο κούρας
δισσὰς ἡμιθέων γραψάμενος σελίδας.

4 φθειρίσασθαι W 15 vid. Anthol. Pal. 7, 3 21 ibid. 16, 292 22 ἐς Heckerus: ἐν 24 ἡμιθέων] ἐκ στηθέων Anthologia

ὑμνεῖ δ' ἡ μὲν νόστον Ὀδυσσῆος πολύπλαγκτον,
ἡ δὲ τὸν Ἰλιακὸν Δαρδανιδῶν πόλεμον.'

ἄξιον δὲ μηδὲ τὸ ὑπὸ Ἀντιπάτρου τοῦ ἐπιγραμματοποιοῦ γραφὲν ἐπίγραμμα παραλιπεῖν, ἔχον οὐκ ἀσέμνως· ἔχει δὲ οὕτως·

'οἵ μέν σευ Κολοφῶνα τιθηνήτειραν, Ὅμηρε,
οἵ δὲ καλὰν Σμύρναν, οἵ δ' ἐνέπουσι Χίον·
οἵ δ' Ἴον, οἵ δ' ἐβόασαν εὔκλαρον Σαλαμῖνα·
οἵ δέ νυ τὰν Λαπιθᾶν ματέρα Θεσσαλίαν·
ἄλλοι δ' ἄλλο μέλαθρον ἀνίαχον· εἰ δέ με Φοίβου
χρὴ λέξαι πινυτὰν ἀμφαδὰ μαντοσύναν,
πάτρα τοι τελέθει μέγας Οὐρανός, ἐκ δὲ γυναικὸς
οὐ θνατᾶς, ματρὸς δ' ἔπλεο Καλλιόπας.'

5. *Γενέσθαι δὲ αὐτὸν τοῖς χρόνοις οἵ μέν φασι κατὰ τὸν Τρωικὸν πόλεμον, οὗ καὶ αὐτόπτην γενέσθαι· οἵ δὲ μετὰ ἑκατὸν ἔτη τοῦ πολέμου· ἄλλοι δὲ μετὰ πεντήκοντα καὶ ἑκατόν. ἔγραψε δὲ ποιήματα δύο, Ἰλιάδα καὶ Ὀδύσσειαν· ὡς δέ τινες, οὐκ ἀληθῶς λέγοντες, γυμνασίας καὶ παιδιᾶς ἕνεκα καὶ Βατραχομυομαχίαν προσθεὶς καὶ Μαργίτην.*

6. *Τοῦ δὲ Τρωικοῦ πολέμου καθ' Ὅμηρόν τινές φασιν ἀρχὴν εἶναι τὴν τῶν θεῶν κρίσιν, Ἥρας καὶ Ἀθηνᾶς καὶ Ἀφροδίτης, περὶ κάλλους ἐπ' Ἀλεξάνδρου γενομένην· λέγειν γὰρ τὸν ποιητήν*

5 *ἀσέμνως* X: *ἀσμένως* 6 vid. Anthol. Pal. 16, 296
9 *τῶν Λαπιθέων — — Θεσσαλίην* Anthologia 10 *ἄλλοι δ' ἄλλην μαῖαν ἀνίαχον* eadem 11 *πινυτὰς — — μαντοσύνας* eadem

'ὃς νείκεσσε θεάς, ὅτε οἱ μέσσαυλον ἵκοντο,
τὴν δ' ᾔνεσσ', ἥ οἱ πόρε μαχλοσύνην ἀλεγεινήν'.

ἀλλ' οὐ πρέπον ὑπολαμβάνειν θεοὺς ὑπὸ ἀνθρώπων κεκρίσθαι, οὔτε ὑπὸ Ὁμήρου δι' ἄλλων παρίσταται τοῦτο· ὅθεν εὐλόγως ἠθέτηνται οἱ προκείμενοι στίχοι.

7. Ἄμεινον οὖν λέγειν ὅτι Ἀλέξανδρος ὁ τοῦ Πριάμου παῖς, ἐπιθυμήσας Ἑλληνικοῦ βίου μαθεῖν ἀγωγήν, ἔπλευσεν εἰς Σπάρτην· καὶ ἐπιξενωθεὶς Ἑλένῃ, Μενελάου κατὰ τὸν οἶκον οὐκ ὄντος, ἀνέπεισεν αὐτὴν ἀκολουθεῖν· ἐλθὼν δὲ εἰς τὴν Κρανάην καλουμένην νῆσον ἐμίγη πρῶτον τῇ γυναικί, κἀκεῖθεν πλεύσας διὰ Σιδῶνος καὶ Φοινίκης ἧκεν ἐς Ἴλιον· ἐπιγνόντες δὲ οἱ περὶ Ἀγαμέμνονα καὶ Μενέλαον τὸ πεπραγμένον στρατιὰν ἤθροισαν ἐν Αὐλίδι πόλει τῆς Βοιωτίας. ἔνθα καὶ θυόντων αὐτῶν, δράκων ἐπὶ τὸ πλησίον ἀνελθὼν δένδρον στρουθοῦ νεοσσοὺς ὀκτὼ διέφθειρεν, οἷς ἡ μήτηρ ἐνάτη συγκατείλεκτο. ἐμήνυε δὲ τὸ σημεῖον, ὅτι ἐννέα ἔτη πολεμήσαντες τῷ δεκάτῳ αἱροῦσι τὴν Ἴλιον. ἡνίκα δὲ πλεύσαντες ἐπέβησαν τῆς Τροίας, μετὰ πρώτην συμβολήν, καθ' ἣν ἀνῃρέθη Πρωτεσίλαος, Μενέλαόν τε καὶ Ὀδυσσέα πρέσβεις ἀπέστειλαν τὴν Ἑλένην ἀπαιτοῦντες. Τρώων δὲ ἀντειπόντων, πάλιν συμβολὰς ἐποιοῦντο πολέμου· καὶ ἐπι-

1 Hom. Ω 29 2 ἤνησ' Homerus 20 αἱροῦσι] αἱρήσουσι Ernestus, ἀροῦσι W male. Non opus correctione

κρατήσαντες τοὺς μὲν Τρῶας ἐντὸς τειχῶν κατέκλεισαν, αὐτοὶ δ' εἰς δύο μερισθέντες τοὺς μὲν εἴασαν παρεδρεύειν τῇ πόλει, οἱ δέ, στρατηγοῦντος Ἀχιλλέως, τὰς περικειμένας πόλεις ἐπόρθουν, συμμαχίας ἀφαιρούμενοι τοὺς Τρῶας. ἐξ ὧν μίαν ἑλόντες Χρῦσαν γέρας ἔδοσαν Ἀγαμέμνονι Χρυσηίδα, Χρύσου ἱερέως Ἀπόλλωνος θυγατέρα. ὁ δ' ἐλθὼν ἐπὶ τὸν ναύσταθμον, ἵνα λυτρώσηται τὴν παῖδα, καὶ ὑβρισθεὶς ὑπὸ τοῦ Ἀγαμέμνονος ηὔξατο τῷ Ἀπόλλωνι κολάσαι τοὺς Ἕλληνας. ἐπακούσας δὲ τῆς εὐχῆς ὁ θεὸς λοιμὸν ἔπεμψεν αὐτοῖς. καὶ τότε Ἀχιλλέως παραινέσαντος ἀποδοῦναι τὴν Χρυσηίδα, Ἀγαμέμνων ὀργισθεὶς ἠπείλησεν ἀφαιρήσεσθαι τὸ Ἀχιλλέως γέρας Βρισηίδα· τὸν δὲ τὴν μητέρα Θέτιν αἰτήσασθαι παρὰ τοῦ Διὸς ἧτταν Ἑλλήνων. οὗ γενομένου, Πάτροκλος προτραπεὶς ὑπὸ Νέστορος ἱκέτευσεν Ἀχιλλέα δοῦναι κἂν ἐπ' ὀλίγον τὴν πανοπλίαν αὐτῷ, ἵνα τοὺς Τρῶας τῶν νεῶν ἀπώσηται. ἐξελθὼν δὲ Πάτροκλος καὶ γενναίως ἀριστεύσας, μετ' οὐ πολὺ ἀνῃρέθη. χαλεπήνας δ' ὁ Ἀχιλλεὺς ἐπαύσατο μὲν τῆς πρὸς Ἀγαμέμνονα ἔχθρας, λαβὼν δ' ἡφαιστότευκτον πανοπλίαν ἄλλους τε πολλοὺς καὶ τελευταῖον ἀνεῖλε τὸν Ἕκτορα.

8. Ἡ μὲν οὖν τάξις τῶν πραγμάτων ἐστὶν αὕτη· ὁ δὲ ποιητὴς ἀπὸ τοῦ ἐνάτου ἔτους ἤρξατο, ἐπεὶ τὰ πρὸ τῆς Ἀχιλλέως μήνιδος ἦν ἀτονώτερα καὶ πράξεις οὐκ ἔχοντα λαμπρὰς οὐδὲ ἐπαλλήλους. συμμαχοῦντος γὰρ Ἕλλησιν Ἀχιλλέως

‘οὐδέποτε Τρῶες πρὸ πυλάων Δαρδανιδάων
οἴχνεσκον· κείνου γὰρ ἐδείδισαν ὄβριμον ἔγχος’.

ἀποστάντος δὲ τούτου θαρσήσαντες προῆλθον· καὶ τῆς μάχης ἴσης γενομένης πολυπρόσωποί τε καὶ συνεχεῖς τῶν ἡρώων ἀριστεῖαι κατέστησαν.

1 vid. Hom. E 789

ΠΕΡΙ ΤΟΥ ΒΙΟΥ ΚΑΙ ΤΗΣ ΠΟΙΗΣΕΩΣ ΟΜΗΡΟΥ.

B.

1. Ὅμηρον τὸν ποιητὴν χρόνῳ μὲν τῶν πλείστων, δυνάμει δὲ πάντων πρῶτον γενόμενον εἰκότως ἀναγινώσκομεν πρῶτον, ὠφελούμενοι τὰ μέγιστα εἴς τε τὴν φωνὴν καὶ τὴν διάνοιαν καὶ τὴν τῶν πραγμάτων πολυπειρίαν. λέγωμεν δὲ περὶ τῆς τούτου ποιήσεως, πρότερον μνησθέντες διὰ βραχέων τοῦ γένους αὐτοῦ.

2. Ὅμηρον τοίνυν Πίνδαρος μὲν ἔφη Χῖόν τε καὶ Σμυρναῖον γενέσθαι, Σιμωνίδης δὲ Χῖον, Ἀντίμαχος δὲ καὶ Νίκανδρος Κολοφώνιον, Ἀριστοτέλης δ' ὁ φιλόσοφος Ἰήτην, Ἔφορος δ' ὁ ἱστορικὸς Κυμαῖον. οὐκ ὤκνησαν δέ τινες Σαλαμίνιον αὐτὸν εἰπεῖν ἀπὸ Κύπρου, τινὲς δ' Ἀργεῖον, Ἀρίσταρχος δὲ καὶ Διονύσιος ὁ Θρᾷξ Ἀθηναῖον. υἱὸς δ' ὑπ' ἐνίων λέγεται Μαίονος καὶ Κριθηίδος, ὑπὸ δέ τινων Μέλητος τοῦ ποταμοῦ.

3. Ὥσπερ δὲ τὰ τοῦ γένους αὐτῷ διαπορεῖται, οὕτω καὶ περὶ τῶν χρόνων, καθ' οὓς ἐγένετο. καὶ οἱ μὲν περὶ Ἀρίσταρχόν φασιν αὐτὸν γενέσθαι κατὰ

19 αὐτῷ] malim αὐτοῦ

τὴν τῶν Ἰώνων ἀποικίαν, ἥτις ὑστερεῖ τῆς τῶν Ἡρακλειδῶν καθόδου ἔτεσιν ἑξήκοντα, τὰ δὲ περὶ τοὺς Ἡρακλείδας λείπεται τῶν Τρωικῶν ἔτεσιν ὀγδοήκοντα. οἱ δὲ περὶ Κράτητα καὶ πρὸ τῆς Ἡρακλειδῶν καθόδου λέγουσιν αὐτὸν γενέσθαι, ὡς οὐδὲ ὅλα ἔτη ὀγδοήκοντα ἀπέχειν τῶν Τρωικῶν. ἀλλὰ παρὰ τοῖς πλείστοις πεπίστευται μετὰ ἔτη ἑκατὸν τῶν Τρωικῶν γεγονέναι, οὐ πολὺ πρὸ τῆς θέσεως τῶν Ὀλυμπίων, ἀφ' ἧς ὁ κατὰ Ὀλυμπιάδα χρόνος ἀριθμεῖται.

4. *Εἰσὶ δ' αὐτοῦ ποιήσεις δύο, Ἰλιὰς καὶ Ὀδύσσεια, διῃρημένη ἑκατέρα εἰς τὸν ἀριθμὸν τῶν στοιχείων, οὐχ ὑπὸ αὐτοῦ τοῦ ποιητοῦ ἀλλ' ὑπὸ τῶν γραμματικῶν τῶν περὶ Ἀρίσταρχον. ὧν ἡ μὲν Ἰλιὰς ἔχει τὰς ἐν Ἰλίῳ πράξεις Ἑλλήνων τε καὶ βαρβάρων διὰ τὴν Ἑλένης ἁρπαγὴν καὶ μάλιστα τὴν Ἀχιλλέως ἐν τῷ πολέμῳ τούτῳ διαδειχθεῖσαν ἀλκήν, ἡ δ' Ὀδύσσεια τὴν Ὀδυσσέως ἀνακομιδὴν ἐς τὴν πατρίδα ἀπὸ τοῦ Τρωικοῦ πολέμου καὶ ὅσα πλανώμενος ἐν τῷ νόστῳ ὑπέμεινε καὶ ὅπως τοὺς ἐπιβουλεύοντας τῷ οἴκῳ αὐτοῦ ἐτιμωρήσατο. ἐξ ὧν δῆλός ἐστι παριστὰς διὰ μὲν τῆς Ἰλιάδος ἀνδρείαν σώματος, διὰ δὲ τῆς Ὀδυσσείας ψυχῆς γενναιότητα.*

5. *Εἰ δὲ μὴ μόνον ἀρετὰς ἀλλὰ καὶ κακίας ψυχῆς ἐν ταῖς ποιήσεσι παρίστησι, λύπας τε καὶ χαρὰς καὶ φόβους καὶ ἐπιθυμίας, οὐ χρὴ αἰτιᾶσθαι τὸν ποιητήν· ποιητὴν γὰρ ὄντα δεῖ μιμεῖσθαι οὐ μόνον*

7 ἔτη ἑκατὸν μετὰ τὰ τρωικὰ mavult W 27 ποιητὴν W

τὰ χρηστὰ ἤθη ἀλλὰ καὶ τὰ φαῦλα· ἄνευ γὰρ τούτων παράδοξοι πράξεις οὐ συνίστανται, ὧν ἀκούοντα ἔνεστιν αἱρεῖσθαι τὰ βελτίω. πεποίηκε δὲ καὶ τοὺς θεοὺς τοῖς ἀνθρώποις ὁμιλοῦντας οὐ μόνον ψυχαγωγίας καὶ ἐκπλήξεως χάριν, ἀλλ' ἵνα καὶ ἐν τούτῳ παραστήσῃ ὅτι κήδονται καὶ οὐκ ἀμελοῦσι τῶν ἀνθρώπων οἱ θεοί.

6. *Καὶ* τὸ μὲν ὅλον παρ' αὐτῷ διήγησις τῶν πραγμάτων παράδοξος καὶ μυθώδης κατεσκεύασται ὑπὲρ τοῦ πληροῦν ἀγωνίας καὶ θαύματος τοὺς ἐντυγχάνοντας καὶ ἐκπληκτικὴν τὴν ἀκρόασιν καθιστάναι. ὅθεν δοκεῖ τινα παρὰ τὸ εἰκὸς εἰρηκέναι. οὐ γὰρ ἀεὶ τὸ πιθανὸν ἕπεται, ἐν ᾧ τὸ παράδοξον καὶ ἐπηρμένον πρόκειται. διὸ καὶ οὐ μόνον τὰ πράγματα μετεωρίζει καὶ ἐκτρέπει τῆς συνηθείας ἀλλὰ καὶ τοὺς λόγους. ὅτι δ' ἀεὶ τὰ καινὰ καὶ ἔξω τοῦ προχείρου θαυμάζεται καὶ τὸν ἀκροατὴν ἐπάγεται, παντὶ δῆλον. πλὴν καὶ ἐν τοῖς μυθώδεσι τούτοις λόγοις, εἴ τις μὴ παρέργως ἀλλ' ἀκριβῶς ἕκαστα τῶν εἰρημένων ἐπιλέγοιτο, φανεῖται πάσης λογικῆς ἐπιστήμης καὶ τέχνης ἐντὸς γενόμενος καὶ πολλὰς ἀφορμὰς καὶ οἱονεὶ σπέρματα καὶ λόγων καὶ πράξεων παντοδαπῶν τοῖς μεθ' αὐτὸν παρεσχημένος, καὶ οὐ τοῖς ποιηταῖς μόνον ἀλλὰ καὶ τοῖς πεζῶν λόγων συνθέταις ἱστορικῶν τε καὶ θεωρηματικῶν. ἴδωμεν γὰρ πρότερον τὴν τῆς λέξεως αὐτοῦ πολυφωνίαν, ἔπειτα καὶ τὴν ἐν τῇ πραγματείᾳ πολυμάθειαν. πᾶσα μὲν οὖν ποίησις, τάξει τινὶ τῶν λέξεων συντιθεμένων, ῥυθμῷ καὶ μέτρῳ παραλαμ-

βάνεται· ἐπεὶ τὸ λεῖον καὶ εὐεπές, σεμνὸν ἅμα καὶ ἡδὺ γενόμενον, διὰ τοῦ τέρπειν εἰς τὸ προσέχειν ἀπάγεται. ὅθεν συμβαίνει κατὰ τὸ αὐτὸ μὴ μόνον τοῖς ἐκπλήττουσι καὶ θέλγουσι τέρπεσθαι, ἀλλὰ καὶ τοῖς πρὸς ἀρετὴν ὠφελοῦσι πείθεσθαι ῥᾳδίως.

7. Τὰ δ' Ὁμήρου ἔπη τὸ τελειότατον ἔχει μέτρον, τουτέστι τὸ ἑξάμετρον, ὃ καὶ ἡρῷον καλεῖται· ἑξάμετρον μέν, ὅτι εἷς ἕκαστος στίχος ἔχει πόδας ἕξ· ὧν ὁ μέν ἐστιν ἐκ δύο συλλαβῶν μακρῶν, σπονδεῖος καλούμενος· ὁ δ' ἐκ τριῶν, μιᾶς μὲν μακρᾶς δύο δὲ βραχειῶν, ὃς λέγεται δάκτυλος· καί εἰσιν ἀλλήλοις ἰσόχρονοι· αἱ γὰρ δύο βραχεῖαι μιᾶς μακρᾶς χρόνον ἐπέχουσιν· οὗτοι δὲ παρ' ἀλλήλοις συντιθέμενοι πληροῦσι τὸ ἑξάμετρον ἔπος. ἡρῷον δὲ λέγεται, ὅτι διὰ τούτου τὰς τῶν ἡρώων πράξεις διηγεῖται.

8. Λέξει δὲ ποικίλῃ κεχρημένος τοὺς ἀπὸ πάσης διαλέκτου τῶν Ἑλληνίδων χαρακτῆρας ἐγκατέμιξεν. ἐξ ὧν δῆλός ἐστι πᾶσαν γῆν Ἑλλάδα ἐπελθὼν καὶ πᾶν ἔθνος.

9. Καὶ Δωριέων μὲν τῇ συνήθει τῆς βραχυλογίας ἐλλείψει κέχρηται, τὸ δ ῶ μ α λέγων δ ῶ 'αἶψα δέ οἱ δῶ ἀφνειὸν πέλεται'· καὶ τὸ ὅτι ὅ 'ὅ μοι αἰετὸς ἔκτανε χῆνας'· καὶ τὸ ὀ π ί σ ω ἄ ψ, μεταβαλὼν τὸ μὲν ο εἰς τὸ α, τὸ δὲ π καὶ τὸ σ εἰς τὸ συγγενὲς αὐτοῖς· καὶ τὸ ἄ λ λ ο τ ε ἄ λ λ ο 'ἤδη γάρ

3 ἀπάγεται Duebnerus: ἐπάγεται 22 Hom. α 392 23 δέ] τέ idem ib. id. τ 543 26 id. Ξ 249

με καὶ ἄλλο τεῇ ἐπίνυσσεν ἐφετμή'· καὶ τὰ τοιαῦτα. ὁμοίως δὲ καὶ τὰ μέσα συντεμὼν λέγει τοὺς ὁμότριχας καὶ ὁμοετεῖς ὄτριχας καὶ οἰετέας, καὶ τὸν ὁμοπάτριον ὄπατρον, καὶ τὸ τρέμειν τρεῖν, καὶ τὸ τιμῶ τίω. τῶν αὐτῶν δ' ἐστὶ καὶ τὸ ὑπερβιβάζειν τὰ στοιχεῖα, ὡς ἐν τῷ κάρτιστοι ἀντὶ τοῦ κράτιστοι.

10. *Αἰολέων* δὲ χρῆται ἐν τοῖς συνθέτοις τῇ συγκοπῇ, καδδραθέτην λέγων ἀντὶ τοῦ κατέδραθον καὶ ὑββάλλειν ἀντὶ τοῦ ὑποβάλλειν. καὶ ἐπὶ τοῦ παρατατικοῦ χρόνου τὰ τρίτα πρόσωπα λήγοντα παρὰ τοῖς ἄλλοις εἰς τὸ ει διὰ τοῦ η παρὰ τοῖς Αἰολεῦσιν ἐκφέρεται, ὡς ἐν τῷ ἐφίλη, ἐνόη· οὕτω καὶ Ὅμηρος ἐποίησεν 'δίδη μόσχοισι λύγοισιν' ἀντὶ τοῦ ἔδει, ὅ ἐστιν ἐδέσμει· καί 'τοὺς μὲν ἄρ' οὔτ' ἀνέμων διάη μένος ὑγρὸν ἀέντων'. καὶ τὸ ἐναλλάσσειν ἐνίοτε τὸ σ εἰς τὸ δ, ὡς ἐν τῷ λέγειν ὀδμή καὶ ἴδμεν. καὶ τὸ πλεονάζειν ἔν τισιν, ὡς τὸ εὔκηλος ἀντὶ τοῦ ἕκηλος καὶ αὐτάρ ἀντὶ τοῦ ἀτάρ καὶ κεκληγόντες ἀντὶ τοῦ κεκληγότες. καὶ τὸ προστιθέναι τῷ δευτέρῳ προσώπῳ τῶν ῥημάτων τὸ θα, ὡς τὸ φῆσθα καὶ εἴπῃσθα. τὸν δὲ διπλασιασμὸν τῶν συμφώνων οἱ μὲν Δωριεῦσιν οἱ δ' Αἰολεῦσι προσνέμουσιν, οἷόν ἐστιν 'ἔλλαβε πορφύρεος θάνατος' καὶ 'ὁππότερος τάδε ἔργα'.

11. *Ἰώνων* δ' ἴδιον ἔχει τὸ ἀφαιρέσει χρῆσθαι

9 κατεδραθέτην libri editi rectius 14 Hom. Λ 105
15 id. ε 478 24 id. E 83 et passim 25 id. Γ 321

ἐν τοῖς παρῳχηκόσι χρόνοις τῶν ῥημάτων, ὡς τὸ βῆ καὶ τὸ δῶκεν· ἔθος γὰρ ἔχουσι καὶ ἐπὶ τῶν παρῳχημένων χρόνων ἀπὸ τῶν αὐτῶν στοιχείων ἄρχεσθαι, ἀφ' ὧν ἐστι καὶ ὁ ἐνεστώς. καὶ τὸ ὑφαιρεῖν τὸ ε ἐν τῷ ἱρεύς καὶ ἴρηξ. καὶ τὸ προστιθέναι τοῖς τρίτοις προσώποις τῶν ὑποτακτικῶν τὸ σι, οἷόν ἐστι τὸ ἔλθησι καὶ τὸ λάβησι, καὶ ταῖς δοτικαῖς θύρησι, ὕλησι· καὶ τὸ λέγειν οὔνομα καὶ νοῦσον τὸ ὄνομα καὶ τὴν νόσον· καὶ κεινόν καὶ μεῖλαν ἀντὶ τοῦ κενόν καὶ μέλαν. καὶ τὸ μεταβάλλειν τὸ α, ἐπειδὰν ἐκτείνηται, εἰς τὸ η, ὡς τὸ Ἥρη, Ἀθηναίη· ἔστι δ' ὅτε ἐκ τοῦ ἐναντίου τὸ η εἰς τὸ α, ὡς τὸ λελασμένος ἀντὶ τοῦ λελησμένος. καὶ τὸ διαιρεῖν τὰ περισπώμενα ῥήματα, φρονέων καὶ νοέων· καὶ τὰς γενικὰς τὰς εἰς ους ληγούσας, ὡς τὸ Διομήδεος· καὶ τῶν θηλυκῶν τὰς γενικὰς τὰς εἰς ων ληγούσας, ὡς τὸ πυλέων, νυμφέων· καὶ τῶν οὐδετέρων τὰς πληθυντικὰς εὐθείας τὰς εἰς τὸ η ληγούσας, ὡς τὸ στήθεα, βέλεα· καὶ τὰς γενικὰς αὐτῶν ὁμοίως. ἰδίως δὲ λέγουσι καὶ τὸ τετράφαται καὶ τὰ τοιαῦτα.

12. Μάλιστα δὲ τῇ Ἀτθίδι διαλέκτῳ κέχρηται· καὶ γὰρ ἐπίμικτος ἦν. καὶ ἐπεὶ λέγεται παρὰ τοῖς Ἀττικοῖς λεώς ὁ λαός, κατὰ ταύτην τὴν συνήθειαν ἔστι παρ' αὐτῷ ὁ Πηνέλεως καὶ τὸ χρεώς. ἔστι δ' αὐτοῖς σύνηθες καὶ τὸ συναλείφειν ἐνίοτε καὶ

26 χρεώ corr. Duebnerus

ἀντὶ δύο ποιεῖν μίαν συλλαβήν· τὸ ἔπος τοὔπος, καὶ τὸ ἱμάτιον θοἰμάτιον, οἷς ἐστιν ὅμοιον 'Τρῶες δὲ προύτυψαν ἀολλέες' καὶ 'πεδία λωτεῦντα', ἀντὶ τοῦ λωτεύοντα. καὶ τὸ ὑφαιρεῖν τὸ η τῶν τοιούτων εὐκτικῶν, δοκοίης δοκοῖς, τιμῴης τιμῷς, ἔστιν Ἀττικόν· ᾧ ἀκολούθως εἴρηται 'ἄλλοι δὲ διακρινθεῖτε τάχιστα'. ὁμοίως δὲ καὶ τοῦτο Ἀττικόν 'οἱ πλέονες κακίους, παῦροι δέ τε πατρὸς ἀρείους', ὃ λέγομεν κακίονες καὶ ἀρείονες. καὶ τὰς αἰτιατικὰς τῶν τοιούτων μὴ διαιρεῖν, τοὺς βοῦς, τοὺς ἰχθῦς, 'βοῦς περιτεμνομένους' καὶ 'ἰχθῦς ὄρνιθάς τε'. κἀκεῖνο δ' εἴρηται Ἀττικῶς 'οὐδέ τί μιν σθένεϊ ῥηγνῦσι ῥέοντες' ὡς ζευγνῦσι, ὀμνῦσι. καὶ τὸ ἐξαιρεῖν τὰ βραχέα Ἀττικόν, λούεται λοῦται, οἴομαι οἶμαι. οὕτως οὖν καὶ τὸ λύτο ἀντὶ τοῦ ἐλύετο. τῶν αὐτῶν ἐστι καὶ τὸ ἑώρων καὶ ἐωνησάμην, ἐκ περισσοῦ προστιθέντων τὸ ε· ὅθεν ἐστὶ καὶ τὸ ἐῳνοχόει. καὶ τὸ συναιρεῖν τὸ ι ἐπὶ τῶν τοιούτων, ᾐόνες, Νηρῇδες· οὕτω καὶ τὸ 'σφὼ δὲ μάλ' ἠθέλετον'· καὶ ἐπὶ τῆς εἰς ι καθαρὸν ληγούσης δοτικῆς παρατελευτῶντος τοῦ α, κέραϊ, γέραϊ, σέλαϊ. ἔτι δὲ καὶ τοῦτο Ἀττικόν, τὸ λέγειν ἔστων καὶ ἐπέσθων ἀντὶ τοῦ ἔστωσαν καὶ ἐπέσθωσαν. ἔστι δὲ καὶ ἡ τῶν δυϊκῶν χρῆσις τῆς

3 Hom. *N* 136 ib. προὔτυψαν Vind. solus, προὔκυψαν ceteri omnes ib. Hom. *M* 283 6 id. *Γ* 102 7 διακρινθῆτε: corr. Homerus 8 id. *β* 277 11 id. *ω* 112 ib. id. *μ* 331 12 id. *P* 751 19 id. *Λ* 782 24 τῆς Ἀττικῆς συνηθείας supplet Duebnerus. Potius τῆς αὐτῆς συνηθείας

συνηθείας, καὶ Ὅμηρος χρῆται συνεχῶς. καὶ τὸ τοῖς θηλυκοῖς ἀρσενικὰ ἄρθρα ἢ μετοχὰς ἢ ἐπίθετα συντάσσειν, ὡς τὼ χεῖρε, τὼ γυναῖκε· καὶ παρὰ Πλάτωνι δ' ἰδέα ἄγοντε καὶ φέροντε· καὶ ἡ σοφὸς γυνὴ καὶ ἡ δίκαιος· οὕτως οὖν καὶ Ὅμηρος ἐπὶ Ἥρας καὶ Ἀθηνᾶς ἔφη 'οὐκ ἂν ἐφ' ὑμετέρων ὀχέων πληγέντε κεραυνῷ', καὶ 'ἤτοι Ἀθηναίη ἀκέων ἦν' καὶ 'κλυτὸς Ἱπποδάμεια'.

13. Καὶ περὶ τὴν σύνταξιν δὲ πολλὰ ἰδιώματα ἐχουσῶν τῶν διαλέκτων, ὅταν εἴπῃ ὁ ποιητής 'ἀλλ' ἄγ' ὀίστευσον Μενελάου κυδαλίμοιο', Ἀττικὴν δείκνυσι τὴν συνήθειαν. ὅταν δ' εἴπῃ 'δέξατό οἱ σκῆπτρον' καὶ 'Θέμιστι δὲ καλλιπαρῄῳ δέκτο δέπας', ἐν τούτοις δωρίζει.

14. Ὅπως μὲν οὖν τὰς πάντων Ἑλλήνων φωνὰς ἀθροίζων ποικίλον ἀπεργάζεται τὸν λόγον καὶ χρῆται ποτὲ μὲν ταῖς ξέναις, ὥσπερ εἰσὶν αἱ προειρημέναι, ποτὲ δὲ ταῖς ἀρχαίαις, ὡς ὅταν λέγῃ ἄορ καὶ σάκος, ποτὲ δὲ ταῖς κοιναῖς καὶ συνήθεσιν, ὡς ὅταν λέγῃ ξίφος καὶ ἀσπίδα, δῆλον. καὶ θαυμάσειέ τις, ὅτι καὶ κοιναὶ λέξεις παρ' αὐτῷ σῴζουσι τὸ σεμνὸν τοῦ λόγου.

15. Ἐπεὶ δ' ὁ ἐγκατάσκευος λόγος φιλεῖ τὴν τοῦ συνήθους ἐξαλλαγήν, ὑφ' ἧς ἐναργέστερος ἢ σεμνότερος ἢ πάντως τερπνότερος γίνεται, καὶ ἡ μὲν τῶν

6 Hom. Θ 455 7 id. Δ 22 8 id. Β 742 10. id. Δ 100 12 id. Β 186 13 id. Ο 87 14 δωρίζει X: γνωρίζει 20 δῆλον] om. optimi, quo omisso corrigendum supra (lin. 15) οὕτως pro ὅπως ib. καὶ] malim κἂν

λέξεων ἐκτροπὴ καλεῖται Τρόπος, ἡ δὲ τῆς συνθέσεως Σχῆμα, καὶ ἔστι τὰ εἴδη τούτων ἐν τῇ Τεχνολογίᾳ ἀναγεγραμμένα, θεασώμεθα τί τούτων Ὁμήρῳ παραλέλειπται ἢ τί ἕτερον ὑπὸ τῶν μετ' αὐτὸν εὕρηται, ὃ ἐκεῖνος οὐκ εἶπε πρῶτος.

16. Τῶν τοίνυν τρόπων Ὀνοματοποιία καὶ πάνυ συνήθης ἐστὶν αὐτῷ. οἶδε γὰρ καὶ τὴν παλαιὰν ἀρχὴν τῶν ὀνομάτων, ὅτι οἱ πρῶτοι τὰ πράγματα ὀνομάσαντες πολλὰ ἀπὸ τοῦ συμβεβηκότος προσηγόρευσαν καὶ τὰς ἀνάρθρους φωνὰς τοῖς ἐγγραμμάτοις ἐξετύπωσαν, ὡς τὸ φυσᾶν καὶ τὸ πρίζειν καὶ τὸ μυκᾶσθαι καὶ τὸ βροντᾶν καὶ τὰ τούτοις ὅμοια. ὅθεν καὶ αὐτὸς ἐποίησέ τινα ὀνόματα οὐκ ὄντα πρότερον, πρὸς τὰ σημαινόμενα τυπώσας, οἷον τὸν δοῦπον καὶ τὸν ἄραβον καὶ τὸν βόμβον καὶ τὸ ῥόχθει καὶ τὸ ἀνέβραχε καὶ τὸ σίζε καὶ τὰ τοιαῦτα, ὧν οὐκ ἂν εὕροι τις εὐσημότερα. καὶ πάλιν ἄλλας κοινὰς λέξεις ἐπ' ἄλλων πραγμάτων κειμένας ἐπ' ἄλλα μετέθηκεν, οἷόν ἐστι καὶ τοῦτο 'φλέγμα κακὸν φορέουσα', ὃ σημαίνει τὴν κατὰ τὸ φλέγειν ἐνέργειαν· καὶ τὸν πυρετόν ἀντὶ τοῦ πυρός. οἷς ὅμοιόν ἐστι καὶ τὸ 'χαλκοτύπους ὠτειλάς'· βούλεται γὰρ εἰπεῖν τὰς ὑπὸ τοῦ χαλκοῦ τετυπωμένας. καὶ ὅλως πολλῇ τῇ καινότητι τῶν λέξεων κέχρηται, μετὰ πολλῆς τῆς ἐξουσίας τὰ μὲν ἐξαλλάσσων παρὰ τὴν συνήθειαν, τὰ δ' εὐσημότερα κα-

7 συνήθης Duebnerus: σύνηθες 10 scr. vid. ταῖς ἐγγραμμάτοις ut audiatur φωναῖς 20 Hom. Φ 337 22 id. Τ 25

θιστάς, ἕνεκα τοῦ κάλλος καὶ μέγεθος ἐμποιεῖν τοῖς λόγοις.

17. *Πολλὴ* δ' ἐστὶν αὐτῷ καὶ ἡ τῶν ἐπιθέτων εὐπορία, ἅπερ οἰκείως καὶ προσφυῶς τοῖς ὑποκειμένοις ἡρμοσμένα δύναμιν ἴσην ἔχει τοῖς κυρίοις ὀνόμασιν· ὥσπερ τῶν θεῶν ἑκάστῳ ἰδίαν τινὰ προσηγορίαν προστίθησι, τὸν Δία μητιέτην καὶ ὑψιβρεμέτην καὶ τὸν Ἥλιον ὑπερίονα καὶ τὸν Ἀπόλλωνα Φοῖβον καλῶν. μετὰ δὲ τὴν ὀνοματοποιίαν ἴδωμεν καὶ τοὺς ἄλλους τρόπους.

18. *Κατάχρησις* μὲν δή, ἥπερ ἀπὸ τοῦ κυρίως δηλουμένου μεταφέρει τὴν χρῆσιν ἐφ' ἕτερον οὐκ ἔχον ὄνομα κύριον, ἔστι παρὰ τῷ ποιητῇ, ὅταν λέγῃ σειρὴν χρυσείην· σειρὰ γὰρ κυρίως ἐπὶ τοῦ σχοινίου τάσσεται. καὶ ὅταν εἴπῃ αἰγείην κυνέην· ἡ μὲν γὰρ περικεφαλαία κέκληται κυνέη παρ' αὐτῷ, ἐπεὶ ἐκ δέρματος κυνὸς γίνεσθαι αὐτὴν ἔθος ἦν· ἐνταῦθα δὲ καὶ τὴν ἐξ αἰγὸς δέρματος γινομένην κυνέην καλεῖ.

19. *Μεταφορὰ* δέ, ἥπερ ἐστὶν ἀπὸ τοῦ κυρίως δηλουμένου πράγματος ἐφ' ἕτερον μετενηνεγμένη κατὰ τὴν ἀμφοῖν ἀνάλογον ὁμοιότητα, καὶ πολλή ἐστι καὶ ποικίλη παρ' αὐτῷ· οἷόν ἐστιν 'ἧκεν ἀπορρήξας κορυφὴν ὄρεος μεγάλοιο' καὶ 'νῆσον τὴν πέρι πόντος ἀπείριτος ἐστεφάνωται'. ὃν γὰρ λόγον ἔχει

6 ὥσπερ] οἷσπερ W ut praegressa ἅπερ ὀνόμασιν — — in parenthesi accipiantur 18 ἐνταῦθα — — καλεῖ] ἡ δὲ αἰγεία δηλονότι ἐστὶ δέρμα αἰγός Vind. fort. rectius 23 Hom. ι 481 24 id. κ 195 ib. περὶ: corr. id.

κορυφὴ πρὸς ἄνθρωπον, τοῦτον καὶ ἡ ἀκρώρεια πρὸς τὸ ὄρος· καὶ ὃν ὁ στέφανος πρὸς τοῦτον ᾧ περίκειται, τὸν αὐτὸν θάλασσα πρὸς νῆσον. ἀλλὰ τὸ χρήσασθαι τοῖς ὁμοίοις ἀντὶ τῶν κυρίων ὀνόμασιν εὐειδέστερον καὶ ἐναργέστερον ποιεῖ τὸν λόγον.

20. Εἰσὶ δὲ παρ' αὐτῷ μεταφοραὶ ποικίλαι· αἱ μὲν ἀπὸ ἐμψύχων ἐπὶ ἔμψυχα, οἷον 'φθέγξατο δ' ἡνίοχος νηὸς κυανοπρῴροιο' ἀντὶ τοῦ ναύτης· καὶ 'βῆ δὲ μετ' Ἀτρείδην Ἀγαμέμνονα ποιμένα λαῶν' ἀντὶ τοῦ βασιλέα. αἱ δ' ἀπὸ ἐμψύχων ἐπὶ ἄψυχα, οἷον 'ὑπαὶ πόδα νείατον Ἴδης', τὴν ὑπώρειαν· καί 'οὖθαρ ἀρούρης', τὸ γόνιμον. ἀπὸ δ' ἀψύχων ἐπὶ ἔμψυχα, οἷον 'σιδήρειον νύ τοι ἦτορ' ἀντὶ τοῦ σκληρόν. ἀπὸ δ' ἀψύχων ἐπὶ ἄψυχα, οἷον 'σπέρμα πυρὸς σῴζων' ἀντὶ τοῦ γόνιμον ἀρχήν. ὥσπερ δ' ὀνομάτων, οὕτω καὶ ῥημάτων εἰσὶ παρ' αὐτῷ μεταφοραί, οἷον 'ἠιόνες βοόωσιν ἐρευγομένης ἁλὸς ἔξω' ἀντὶ τοῦ ἠχοῦσιν.

21. Ἕτερος τρόπος ἐστὶν ἡ καλουμένη Μετάληψις, κατὰ συνωνυμίαν σημαίνουσα πρᾶγμα διάφορον, οἷον 'ἔνθεν δ' αὖ νήσοισιν ἐπιπροέηκα θοῇσι'. βούλεται γὰρ σημῆναι τὰς κυρίως λεγομένας ὀξείας νήσους· ἐπεὶ συνωνυμεῖ τὸ θοόν τῷ ὀξεῖ· ὀξὺ δ' οὐ μόνον τὸ κατὰ κίνησιν ταχύ ἐστιν, ἀλλὰ καὶ τὸ

4 τὸ] malim τῷ 7 versum non inveni. Vid. Kinkel Fr. Ep. p. 74 9 versum non inveni 11 Hom. B 824 12 id. *I* 141. 283 13 id. *Ω* 205. 521 14 id. *ε* 490 17 id. *P* 265 21 id. *ο* 299: ἐπιπροέηκε θοῇσιν Homerus

κατὰ σχῆμα προηγούμενον εἰς λεπτότητα. τοιοῦτόν ἐστι καὶ τὸ 'ἐγὼ δ' ἐθόωσα παραστάς'.

22. Ἄλλος τρόπος ἡ Συνεκδοχὴ λεγομένη ἀπὸ τοῦ κυρίως σημαινομένου ἕτερόν τι τῶν ὑπὸ τὸ αὐτὸ γένος ὄντων παριστᾶσα. καὶ ἔστιν ὁμοίως ὁ τρόπος οὗτος ποικίλος· ἐκδεχόμεθα γὰρ ἤτοι ἀπὸ τοῦ ὅλου τὸ μέρος, οἷον 'οἱ δ' ἰθὺς πρὸς τεῖχος ἐύδμητον βόας αὔας'· ἀπὸ γὰρ τῶν βοῶν τὰς βύρσας, ἐξ ὧν αἱ ἀσπίδες, δηλοῦν βούλεται. ἢ ἀπὸ μέρους τὸ ὅλον, οἷον 'τοιήνδ' αὖ κεφαλὴν ποθέω'· ἀπὸ γὰρ τῆς κεφαλῆς τὸν ἄνδρα σημαίνει· καὶ ὅταν λέγῃ λευκώλενον τὴν καλὴν καὶ ἐυκνήμιδας τοὺς εὐόπλους. ἢ ἀπὸ ἑνὸς τὰ πολλά, ὡς ὅταν εἴπῃ ἐπὶ τοῦ Ὀδυσσέως 'ἐπεὶ Τροίης ἱερὸν πτολίεθρον ἔπερσεν'· οὐ γὰρ μόνος ἀλλὰ σὺν τοῖς ἄλλοις Ἕλλησι τὴν Τροίαν ἐπόρθησεν. ἀπὸ δὲ τῶν πολλῶν τὸ ἕν, οἷον 'στήθεά θ' ἱμερόεντα', τουτέστι τὸ στῆθος. ἀπὸ δὲ εἴδους γένος, 'μαρμάρῳ ὀκρυόεντι βαλών'· εἶδος γάρ ἐστι λίθου ὁ μάρμαρος. ἀπὸ δὲ γένους τὸ εἶδος, οἷον 'ὄρνιθας γνῶναι καὶ ἐναίσιμα μυθήσασθαι'· οὐ γὰρ πάντας ἀλλὰ τοὺς μαντικοὺς ὄρνιθας εἰπεῖν βούλεται. ἀπὸ δὲ τῶν παρεπομένων τὴν πρᾶξιν, οἷον 'Πάνδαρος, ᾧ καὶ τόξον Ἀπόλλων αὐτὸς ἔδωκεν'· ἀπὸ γὰρ τοῦ τόξου τὴν περὶ τὸ τόξον ἐμπει-

1 προηγμένον Duebnerus. Possis etiam προαγόμενον cf. cap. 144 2 Hom. ι 327 7 οἷον * ib. Hom. *Μ* 137 10 id. α 343: τοίην γὰρ κεφαλὴν Homerus 14 id. α 2 16 id. *Γ* 397 18 id. *Μ* 380 20 id. β 159 23 id. *Β* 827

ρίαν δηλοῖ. καί 'ἑζόμενοι λεύκαινον ὕδωρ', καί 'οἱ δὲ πανημέριοι σεῖον ζυγόν'· ἀπὸ γὰρ τοῦ συμβαίνοντος ἐπὶ μὲν τοῦ προτέρου τὸ ἤλαυνον, ἐπὶ δὲ τοῦ δευτέρου τὸ ἔτρεχον δηλοῖ. ἀπὸ δὲ τοῦ προηγουμένου τὸ ἀκόλουθον, 'λῦσε δὲ παρθενικὴν ζώνην'· ἀκολουθεῖ γὰρ τούτῳ τὸ διεκόρευσεν. ἀπὸ δὲ τοῦ ἀκολούθου τὸ προηγούμενον, ὡς ὅταν ἐναρίζειν λέγῃ τὸ φονεύειν ἀντὶ τοῦ σκυλεύειν.

23. Ἔστι δὲ καὶ ἄλλος τρόπος ἡ Μετωνυμία, λέξις ἐπ' ἄλλου μὲν κυρίως κειμένη, ἄλλο δὲ κατὰ ἀναφορὰν σημαίνουσα· οἷόν ἐστι παρ' αὐτῷ 'ἦμος ὅτ' αἰζηοὶ Δημήτερα κωλοτομεῦσι'· τὸν γὰρ πύρινον καρπὸν δηλοῖ, ἀπὸ τῆς εὑρούσης Δήμητρος ὀνομάσας. καὶ ὅταν εἴπῃ 'σπλάγχνα δ' ἄρ' ἀμπείραντες ὑπείρεχον Ἡφαίστοιο'· ἐν γὰρ τῷ τοῦ Ἡφαίστου ὀνόματι τὸ πῦρ λέγει. ὅμοιον δ' ἐστὶ τοῖς εἰρημένοις καὶ τοῦτο 'ὅς κεν ἐμῆς γε χοίνικος ἅπτηται'· λέγει γὰρ τὰ ἐμπεριεχόμενα ἐν τῇ χοίνικι.

24. Ἔστι δὲ καὶ ἄλλος τρόπος ἡ Ἀντωνομασία, λέξις δι' ἐπιθέτων ἢ συσσήμων ὄνομα ἴδιον σημαίνουσα· ὡς ἐν τούτῳ

'Πηλείδης δ' ἐξαῦτις ἀταρτηροῖς ἐπέεσσιν
Ἀτρείδην προσέειπε'·

δηλοῖ γὰρ διὰ τούτων τόν τε Ἀχιλλέα καὶ τὸν Ἀγαμέμνονα. καὶ πάλιν 'θάρσει Τριτογένεια, φίλον

1 id. μ 172 id. γ 486. ο 184. 5 id. λ 245 11 vid. Kinkel p. 73 et p. 377 e 14 Hom. B 426 17 id. τ 28 22 id. A 223 25 id. Θ 39. X 183

τέκος', καὶ ἐν ἄλλοις 'Φοῖβος ἀκερσεκόμης'· τὸ μὲν γὰρ τὴν Ἀθηνᾶν τὸ δὲ τὸν Ἀπόλλωνα δηλοῖ.

25. Ἔστι καὶ ἡ Ἀντίφρασις λέξις τὸ ἐναντίον ἢ τὸ παρακείμενον σημαίνουσα ὡς ἐν τούτῳ

'οὐδ' ἄρα τώγε ἰδὼν γήθησεν Ἀχιλλεύς'·

βούλεται γὰρ εἰπεῖν τὸ ἐναντίον, ὅτι ἰδὼν αὐτοὺς ἐλυπήθη.

26. Ἔστι καὶ ἡ Ἔμφασις, ἥπερ δι' ὑπονοίας ἐπίτασιν τοῦ λεγομένου παρίστησιν· οἷον

'αὐτὰρ ὅτ' εἰς ἵππον κατεβαίνομεν, ὃν κάμ' Ἐπειός'·

ἐν γὰρ τῷ κατεβαίνομεν τὸ μέγεθος τοῦ ἵππου ἐμφαίνει. ὅμοιον δὲ κἀκεῖνο

'πᾶν δ' ὑπεθερμάνθη ξίφος αἵματι'·

καὶ γὰρ ἐν τούτῳ παρέχει μείζονα ἔννοιαν, ὡς βαπτισθέντος οὕτω τοῦ ξίφους, ὥστε θερμανθῆναι. τοιοίδε μὲν οἱ τῶν λέξεων τρόποι ὑπὸ Ὁμήρου πρώτου πεποιημένοι.

27. Ἴδωμεν δὲ καὶ τὰς τῆς Συντάξεως ἐκτροπάς, τὰ καλούμενα Σχήματα, εἰ καὶ ταῦτα πρῶτος Ὅμηρος ὑπέδειξε. τὸ δὲ σχῆμά ἐστι λόγος ἐξηλλαγμένος τοῦ ἐν ἔθει κατά τινα πλάσιν κόσμου ἢ χρείας χάριν. κάλλος μὲν γὰρ τοῖς λόγοις περιτίθησι διὰ τῆς ποικιλίας καὶ μεταβολῆς τοῦ λόγου καὶ σεμνοτέραν ἀπεργάζεται τὴν φράσιν, χρείαν δ' εἰς τὸ ἐξᾶραι καὶ ἐπιτεῖναι τὰς ἐμφύτους ποιότητας καὶ δυνάμεις τῶν πραγμάτων.

1 Hom. Υ 39 5 id. Α 330 10 id. λ 523 13 id. Π 333. Υ 476

28. *Τῶν δὲ σχημάτων τὰ μὲν κατὰ πλεονασμὸν ποιεῖ, ἐνίοτε μὲν διὰ τὸ μέτρον, ὡς τοῦτο*

'χρυσοῦ δὲ στήσας Ὀδυσεὺς δέκα πάντα τάλαντα'·

τὸ γὰρ πάντα μηδὲν συντελοῦν ἔγκειται. ἔστι δ' ὅτε κόσμου χάριν, ὡς τὸ

'ἦ μάλα δὴ τέθνηκε Μενοιτίου ἄλκιμος υἱός'·

τὸ γὰρ μάλα μηδὲν συντελοῦν ἔγκειται, πλεονάζει δὲ κατὰ συνήθειαν Ἀττικήν.

29. *Ἄλλοτε δὲ διὰ πλειόνων λέξεων τὸ σημαινόμενον ἀποδίδωσιν, ὃ καλεῖται Περίφρασις· ὡς ὅταν λέγῃ υἷας Ἀχαιῶν τοὺς Ἀχαιούς, καὶ βίην Ἡρακληείην τὸν Ἡρακλέα.*

30. *Καὶ τὰ τοιαῦτα δὲ κατὰ Ἐναλλαγὴν σχηματίζει, τὴν εἰθισμένην τάξιν ἀναστρέφων· καὶ ἤτοι ἐν μέσῳ λέξιν ἐντιθείς, ὃ καλεῖται Ὑπερβατόν· ὡς ἐν τούτῳ*

'αἱματόεις, ὥς τίς τε λέων κατὰ ταῦρον ἐδηδώς'·

ἀντὶ τοῦ λέων ταῦρον κατεδηδώς. καὶ λέξιν μὲν οὕτως ὑπερβιβάζει· ἐνίοτε δὲ καὶ ὅλον λόγον· ὡς ἐν τούτῳ

'ὥς ἔφατ'· Ἀργεῖοι δὲ μέγ' ἴαχον, ἀμφὶ δὲ νῆες
σμερδαλέον κονάβησαν ἀυσάντων ὑπ' Ἀχαιῶν,
μῦθον ἐπαινήσαντες Ὀδυσσῆος θείοιο'·

τὸ δ' ἑξῆς ἐστιν ''Ἀργεῖοι δὲ μέγ' ἴαχον μῦθον ἐπαινήσαντες Ὀδυσσῆος θείοιο'.

3 id. *Τ* 247. *Ω* 232 6 id. *Σ* 12 12 *ἡρακλείην*: correxi 15 *λέξιν*] *μηδὲν* mei, unde corr. vid. *καὶ ἤ τι ἐν μέσῳ ἢ μηδὲν ἐντιθείς* 17 Hom. *Ρ* 542 21 id. *Β* 333

31. *Τοῦ δ' αὐτοῦ εἴδους ἔχεται καὶ ἡ καλουμένη Παρεμβολή, ὅταν ἔξωθέν τινα μηδὲν προσήκοντα τοῖς προκειμένοις ἐμβάλληται, ἃ κἂν ἐξέλῃ τις οὐδὲν τῆς συντάξεως ἀφαιρεῖ· οἷόν ἐστι*

'ναὶ μὰ τόδε σκῆπτρον, τὸ μὲν οὔποτε φύλλα καὶ ὄζους
φύσει, ἐπεὶ δὴ πρῶτα τομὴν ἐν ὄρεσσι λέλοιπεν,
οὐδ' ἀναθηλήσει· περὶ γάρ ῥά ἑ χαλκὸς ἔλεψε'

καὶ τὰ ἑξῆς, ὅσα περὶ τοῦ σκήπτρου λέγει· εἶτα ἐπιφέρει τὸ ἀκόλουθον τῇ ἀρχῇ

'ἦ ποτ' Ἀχιλλῆος ποθὴ ἵξεται υἷας Ἀχαιῶν'.

32. *Ἔστι παρ' αὐτῷ καὶ ἡ Παλιλλογία, ἐπανάληψις οὖσα μέρους τινὸς λόγου ἢ πλειόνων λέξεων ἐπαναλαμβανομένων, ὃ καὶ Ἀναδίπλωσις καλεῖται· οἷόν ἐστι*

'τοῦ δ' ἐγὼ ἀντίος εἶμι, καὶ εἰ πυρὶ χεῖρας ἔοικεν·
εἰ πυρὶ χεῖρας ἔοικε, μένος δ' αἴθωνι σιδήρῳ'.

ποτὲ δὲ παρεντιθεμένων ἄλλων τινῶν καὶ τῶν αὐτῶν πάλιν ἀντιλαμβανομένων, ὡς ἐν τῷ

'ἀλλ' ὁ μὲν Αἰθίοπας μετεκίαθε τηλόθ' ἐόντας,
Αἰθίοπας, τοὶ διχθὰ δεδαίαται, ἔσχατοι ἀνδρῶν'.

ἔστι δὲ τὸ σχῆμα κίνησιν ἐμφαῖνον τοῦ λέγοντος καὶ ἅμα κινοῦν τὸν ἀκροατήν.

33. *Τοῦ αὐτοῦ γένους ἐστὶ καὶ ἡ Ἐπαναφορά, ὅταν ἐν ἀρχῇ πλειόνων κώλων ταὐτὸν μόριον ἐπα-*

5 Hom. *Α* 234 6 *ἐπειδή*: corr. id. 10 ibid. 240
15 id. *Υ* 371 19 id. *α* 22

ναλαμβάνηται· τούτου δὲ παράδειγμα παρὰ τῷ ποιητῇ

'Νιρεὺς αὖ δὲ Σύμηθεν ἄγε τρεῖς νῆας ἐίσας,
Νιρεὺς Ἀγλαΐης υἱὸς Χαροποῖό τ' ἄνακτος,
Νιρεύς, ὃς κάλλιστος ἀνὴρ ὑπὸ Ἴλιον ἦλθεν'.

καὶ ἔστιν ὁμοίως τὸ σχῆμα οἰκειότατον κινήσεως καὶ εὐεπείας.

34. Ἔστι παρ' αὐτῷ καὶ ἡ Ἐπάνοδος, ἥπερ ἐστίν, ὅταν δύο πράγματα καὶ ὀνόματα προτιθείς τις, μήπω τοῦ νοῦ πέρας ἔχοντος, ἐπανίῃ ἐφ' ἑκάτερον τῶν ὀνομάτων, ἀποδιδοὺς τὸ τῆς διανοίας ἐλλιπές· ὡς ἐν ἐκείνῳ

'Ἄρης τε βροτολοιγὸς Ἔρις τ' ἄμοτον μεμαυῖα,
ἡ μὲν ἔχουσα κυδοιμὸν ἀναιδέα δηιοτῆτος·
Ἄρης δ' ἐν παλάμῃσι πελώριον ἔγχος ἐνώμα'.

ἔργον δὲ τοῦ σχήματος ποικιλία καὶ σαφήνεια.

35. Ὑπάρχει δ' Ὁμοιοτέλευτον σχῆμα παρ' αὐτῷ, ἐν ᾧ τὰ κῶλα εἰς ὁμοίας τῷ ἤχῳ λέξεις τελευτᾷ, τὰς αὐτὰς συλλαβὰς ἐν τοῖς πέρασιν ἔχοντα, οἷόν ἐστι

'χρὴ ξεῖνον παρεόντα φιλεῖν, ἐθέλοντα δὲ πέμπειν'·

καὶ πάλιν

'Οὔλυμπόνδ', ὅθι φασὶ θεῶν ἕδος ἀσφαλὲς αἰεὶ
ἔμμεναι· οὔτ' ἀνέμοισι τινάσσεται οὔτε ποτ' ὄμβρῳ
δεύεται οὔτε χιὼν ἐπιπίλναται, ἀλλὰ μάλ' αἴθρη
πέπταται ἀνέφελος, λευκὴ δ' ἐπιδέδρομεν αἴγλη'.

3 id. Β 671 13 id. Ε 518 14 id. ib. 593. Prior versus fort. per lapsum 21 id. ο 74 23 id. ζ 42

ὅταν δ' εἰς ὀνόματα ὁμοίως κλινόμενα λήγωσιν αἱ περίοδοι ἢ τὰ κῶλα, καὶ ταῦτα εἰς πτώσεις ὁμοίας, Ὁμοιόπτωτον τοῦτο ἰδίως ὀνομάζεται· οἷόν ἐστιν

'ἠύτε ἔθνεα εἶσι μελισσάων ἁδινάων,
πέτρης ἐκ γλαφυρῆς αἰεὶ νέον ἐρχομενάων'.

τὰ δ' εἰρημένα καὶ τὰ τοιαῦτα μάλιστα προστίθησι τῷ λόγῳ χάριν καὶ ἡδονήν.

36. Δεῖγμα δὲ τῆς περὶ τὴν σύνθεσιν φιλοτεχνίας, ὅτι πολλάκις καὶ δυσὶ σχήμασιν ἐν τοῖς αὐτοῖς ἔπεσι κέχρηται, τῇ τε ἐπαναφορᾷ καὶ τῷ ὁμοιοτελεύτῳ, ὡς ἐν ἐκείνῳ

'εὖ μέν τις δόρυ θηξάσθω, εὖ δ' ἀσπίδα θέσθω,
εὖ δέ τις ἵπποισιν δεῖπνον δότω ὠκυπόδεσσι'.

37. Τούτων ἔχεται κἀκεῖνο τὸ σχῆμα τὸ καλούμενον Πάρισον, ὃ γίνεται ἐκ δυεῖν ἢ πλειόνων κώλων, ἴσας ἀλλήλων τὰς λέξεις ἐχόντων. καὶ τοῦτο δὲ πρῶτος Ὅμηρος ἐποίησεν, εἰπών

'αἴδεσθεν μὲν ἀνήνασθαι, δεῖσαν δ' ὑποδέχθαι'·

καὶ πάλιν

'μηνιθμὸν μὲν ἀπορρῖψαι, φιλότητα δ' ἑλέσθαι'.

καὶ τοῦτο δ' ὅτι πολὺν ἔχει τῆς φράσεως κόσμον, εὔδηλον.

38. Τῆς δ' ὁμοίας χάριτος ἔχεται καὶ ἡ Παρονομασία, ὅταν παρὰ τὸ προκείμενον ἕτερον ὄνομα ἐμφερὲς τεθῇ εὐθὺς κατὰ σύμμετρον διάστημα· οἷόν ἐστιν

4 Hom. *B* 87 ib. ἠύτ': correxi ex Homero 12 id. ib. 382 18 id. *H* 93 20 id. *Π* 282 23 παρωνομασία: correxi

'οὐδὲ γὰρ οὐδὲ Δρύαντος υἱός, κρατερὸς Λυκόεργος,
δὴν ἦν'·

καὶ ἐν ἄλλῳ

'τῶν ἦ τοι Πρόθοος θοὸς ἡγεμόνευεν'.

39. Καὶ τὰ μὲν προειρημένα ἤτοι κατὰ πλεονασμὸν ἢ κατά τινα ποιὰν πλάσιν σχηματίζεται· ἄλλα δὲ δι' ἔνδειαν λέξεως, ὧν ἐστιν ἡ καλουμένη Ἔλλειψις, ὅταν καὶ ἄνευ τοῦ ῥηθῆναί τινα λέξιν ἐκ τῶν προειρημένων ἡ διάνοια φαίνηται· οἷόν ἐστι

'δώδεκα δὴ σὺν νηυσὶ πόλεις ἀλάπαξ' ἀνθρώπων,
πεζὸς δ' ἕνδεκα φημί'·

λείπει γὰρ τὸ ἀλαπάξαι, νοεῖται γὰρ ἐκ τῶν προειρημένων. κἀκεῖνο δὲ λέγεται κατὰ ἔλλειψιν

'εἷς οἰωνὸς ἄριστος ἀμύνεσθαι περὶ πάτρης'·

ἐνδεῖ γὰρ τὸ ἐστί. καί

'ὢ πόποι, ἦ μοι ἄχος μεγαλήτορος Αἰνείαο'·

λείπει γὰρ τὸ πάρεστιν ἢ συμβέβηκεν ἤ τι τοιοῦτον. καὶ ἄλλα πολλὰ εἴδη τῆς ἐλλείψεως ἔστι παρ' αὐτῷ· ἔργον δὲ τοῦ σχήματος τάχος.

40. Τοιοῦτόν ἐστι καὶ τὸ Ἀσύνδετον, ὁπόταν ἐξαιρῶνται οἱ σύνδεσμοι οἱ συνδέοντες τὴν φράσιν· ὅπερ οὐ μόνον τάχους ἀλλὰ καὶ ἐμφάσεως παθητικῆς χάριν γίνεται, οἷόν ἐστι καὶ τοῦτο

1 Hom. Z 130 ib. Λυκόοργος Homerus 4 id. B 758 ib. ἤτοι] μὲν Homerus. ib. idem: προθόος 10 id I 328 14 id. M 243 16 id. Υ 293

'ἤομεν ὡς ἐκέλευες ἀνὰ δρυμά, φαίδιμ' Ὀδυσσεῦ,
εὕρομεν ἐν βήσσῃσι τετυγμένα δώματα Κίρκης'·

ἐν τούτοις γὰρ ὁ καί σύνδεσμος ἐξῄρηται, τὸν τάχιστον τρόπον τῆς ἀπαγγελίας ζητοῦντος τοῦ λέγοντος.

41. Ἔστιν ἐν τοῖς σχήμασι καὶ τὸ καλούμενον Ἀσύντακτον, ὃ καὶ Ἀλλοίωσις καλεῖται, ἐπειδὰν ἡ συνήθης τάξις ἀλλοία γένηται· καὶ ἔστι ποικίλη ἕνεκα τοῦ κόσμου ἢ χάριν ἐμποιεῖν τοῖς λόγοις, τῆς μὲν συνήθους τάξεως οὐ δοκούσης ἀκολουθεῖν, ἐπιτήδειον δὲ δι' ἀναφορᾶς ἐχούσης ἀκολουθίαν.

42. Συμβαίνει δὲ πολλαχῶς περὶ τὰ γένη τῶν ὀνομάτων ἐναλλασσομένων, οἷόν ἐστι τὸ κλυτὸς Ἱπποδάμεια ἀντὶ τοῦ κλυτὴ καὶ θῆλυς ἐέρση ἀντὶ τοῦ θήλεια. σύνηθες γὰρ ἦν τοῖς παλαιοῖς, καὶ μάλιστα τοῖς Ἀττικοῖς, χρῆσθαι τοῖς ἀρρενικοῖς καὶ ἀντὶ τῶν θηλυκῶν ὡς κρείττοσι καὶ δυνατωτέροις· οὐκ ἀμέτρως μέντοι οὐδ' ἀλόγως, ἀλλ' ὅταν δέῃ χρῆσθαι ὀνόματι ἐπιθέτῳ ἐκτὸς ὄντι τοῦ σώματος, περὶ οὗ ἔστιν ὁ λόγος. ἐκεῖνο μὲν γάρ ἐστι περὶ τὸ σῶμα, ὁ μέγας, ἡ μεγάλη, ὁ καλός, ἡ καλή, καὶ τὰ τοιαῦτα· ἐκτὸς δέ, οἷον ἔνδοξος, εὐτυχής. καὶ ἔτι ταῦτα διὰ τὸ σύνθετον ἐπαμφοτερίζει· καὶ γὰρ καθολικῶς πάντα τὰ σύνθετα κοινά ἐστιν ἑκατέρου τοῦ γένους. καὶ ὅταν κοινῶς

1 Hom. κ 251 2 δώματα καλὰ Homerus 11 ἐπεί τι ἴδιον ἀναφορᾶς: corr. Duebnerus 13 ἐναλλασσόμενα Duebnerus

ἀρρενικῷ καὶ θηλυκῷ ὀνόματι ἐπιφέρηται ῥῆμα ἢ μετοχή, τὸ ἀρρενικὸν ἐπικρατεῖ, ὡς ἐν τούτῳ

'παρθενικαί τε καὶ ἠίθεοι ἀταλὰ φρονέοντες'.

43. Τινὰ δὲ καὶ παρὰ τὴν τῶν διαλέκτων ἰδιότητα ἢ τὴν τότε συνήθειαν λέγεται διαφόρως· οἷόν ἐστιν

'ἔχει δέ τε κίονας αὐτὸς
μακράς, αἳ γαῖάν τε καὶ οὐρανὸν ἀμφὶς ἔχουσιν'.

44. Πολλάκις δὲ καὶ μετὰ λόγου ἐναλλάσσει τὰ γένη· ὡς ἐν τούτῳ

'δῶρόν τοι καὶ ἐγώ, τέκνον φίλε, τοῦτο δίδωμι'·

τὸ μὲν γὰρ τέκνον οὐδέτερον ὄνομα, ἐπήνεγκε δὲ ἀρρενικὸν τὸ φίλε, πρὸς τὸ πρόσωπον ἀποτείνας τὸν λόγον. ὅμοιόν ἐστι καὶ τὸ ἀπὸ τῆς Διώνης πρὸς τὴν Ἀφροδίτην εἰρημένον

'τέτλαθι, τέκνον ἐμόν, καὶ ἀνάσχεο κηδομένη περ'.

τῆς δ' αὐτῆς ἀναλογίας κἀκεῖνο ἔχεται

'ἦλθε δ' ἐπὶ ψυχὴ Θηβαίου Τειρεσίαο
χρύσεον σκῆπτρον ἔχων'·

τὸ γὰρ ἔχων οὐ πρὸς τὴν ψυχὴν ἀλλὰ πρὸς τὸ γένος τοῦ σώματος, τουτέστι πρὸς τὸν Τειρεσίαν, ἥρμοσε. πολλάκις γὰρ οὐ πρὸς τὸν λόγον ἀλλὰ πρὸς τὸ σημαινόμενον ποιεῖται τὴν ἀπάντησιν· ὡς καὶ ἐν τούτῳ

3 Hom. Σ 567 ib. τε] δὲ Homerus 7 id. α 53 11 id. ο 125 16 id. Ε 382 18 id. λ 90 23 τὴν ἀπότασιν?

'πᾶσιν ὀρίνθη θυμός, ἐκίνηθεν δὲ φάλαγγες,
ἐλπόμενοι παρὰ ναῦφιν ἀμύμονα Πηλείωνα'·

τὸ γὰρ ἐλπόμενοι οὐχ αἱ φάλαγγες ἀλλ' οἱ ἄνδρες, ἐξ ὧν αἱ φάλαγγες συνεστᾶσι.

45. Καὶ κατ' ἄλλον δὲ τρόπον τὰ γένη ἐξαλλάσσει· ὡς ὅταν εἴπῃ

'νεφέλη δέ μιν ἀμφιβέβηκε
κυανέη· τὸ μὲν οὔποτ' ἐρωεῖ'·

ἐπεὶ γὰρ συνωνύμως λέγεται νεφέλη καὶ νέφος, προειπὼν τὴν νεφέλην, ἐπήνεγκε τὸ οὐδέτερον νέφος. ὅμοια δ' ἐστὶ τούτῳ κἀκεῖνα τὰ ἔπη

'τῶν δ' ὥς τ' ὀρνίθων πετεηνῶν ἔθνεα πολλά,
χηνῶν ἢ γεράνων ἢ κύκνων δουλιχοδείρων,
ἔνθα καὶ ἔνθα πέτονται ἀγαλλόμεναι πτερύγεσσι'·

προθεὶς γὰρ γενικῶς τὰ τῶν ὀρνίθων γένη, ἅπερ οὐδετέρως λέγεται, εἶτα θηλυκῶς εἰπὼν τὰ εἰδικὰ ἐπήνεγκε πάλιν οὐδετέρως τὸ 'κλαγγηδὸν προκαθιζόντων', ἀποδιδοὺς τὸ οἰκεῖον τῷ γενικῷ ὀνόματι τῶν ἐθνῶν.

46. Ἅμα δὲ τῷ γένει καὶ τοὺς ἀριθμοὺς ἐναλλάσσει πολλάκις ὁ ποιητὴς λέγων 'ἡ πληθὺς ἐπὶ νῆας Ἀχαιῶν ἀπονέοντο'· προθεὶς γὰρ τὸ ἑνικὸν ἐπήγαγε τὸ πληθυντικόν, δηλονότι πρὸς τὸ σημαινόμενον ἀναφέρων, ἐπειδήπερ ἡ πληθὺς τὴν μὲν

1 Hom. *Π* 280 ib. ἐνίκηθεν: correxi ex Homero 2 ναῦφι ποδώκεα Homerus 7 id. *μ* 75 8 οὔποτε ῥοθεῖ: correxi ex Homero 12 id. *Β* 459 14 ποτῶνται idem 17 id. ib. 463 21 id. *Ο* 305

προσηγορίαν ἐστὶν ἑνικόν, πολλοὺς δ' ἐν αὑτῷ περιείληφεν.

47. Ἐκ τοῦ ἐναντίου δ' ἐστὶ τὸ ὅμοιον, ἐπειδὰν προτεθέντος τοῦ πληθυντικοῦ τὸ ἑνικὸν ἐπενεχθῇ· ὡς ἐν τούτῳ

'οἱ δ' ἄλκιμον ἦτορ ἔχοντες,
πρόσσω πᾶς πέτεται'·

τὸ γὰρ πᾶς τῷ λόγῳ ἑνικόν ἐστι, τέτακται δὲ ἐπὶ πλήθους, ἴσον δυνάμενον τῷ πάντες. τῆς δ' αὐτῆς ἰδέας τοῦ σχήματός ἐστι κἀκεῖνο

'οἱ δὲ Πύλον Νηλῆος ἐυκτίμενον πτολίεθρον
ἷξον· τοὶ δ' ἐπὶ θινὶ θαλάσσης ἱερὰ ῥέζον'·

νοοῦνται γὰρ οἱ Πύλιοι.

48. Περὶ δὲ τὰς πτώσεις γίνεται ἀλλοίωσις παρ' αὐτῷ, εὐθείας μὲν καὶ κλητικῆς ἐναλλασσομένης ἐν τοῖς τοιούτοις

'αὐτὰρ ὁ αὖτε Θυέστ' Ἀγαμέμνονι λεῖπε φορῆναι'·

καί

'νεφεληγερέτα Ζεύς',

καί

'δὸς φίλος· οὐ γάρ μοι δοκέεις ὁ κάκιστος Ἀχαιῶν'.

γενικῆς δὲ καὶ δοτικῆς ἐν τῷ τοιούτῳ

'Τρωσὶν μὲν προμάχιζεν Ἀλέξανδρος θεοειδής'

ἀντὶ τοῦ Τρώων. καὶ ἐκ τοῦ ἐναντίου

'ἡ δ' αὐτοῦ τετάνυστο περὶ σπείους γλαφυροῖο'

ἀντὶ τοῦ περὶ σπέει. καὶ τούτων δ' ἐστὶν ἡ αἰτία

6 Hom. *Π* 264 11 id. *γ* 4 17 id. *Β* 107 19 id. *Α* 511 et passim 21 id. *ρ* 415 ib. *γάρ*] *μέν* idem. 23 id. *Γ* 16 25 id. *ε* 68 ib. *σπεῖος*: correxi ex Homero

αὕτη, ὅτι συγγένειαν τινὰ ἐδόκουν ἔχειν πρὸς ἀλλήλους ἥ τε εὐθεῖα καὶ ἡ αἰτιατικὴ καὶ ἡ κλητική. διὸ καὶ ἐν τοῖς οὐδετέροις εἰσὶν αἱ αὐταί, καὶ ἐν πολλοῖς τῶν ἀρρενικῶν καὶ θηλυκῶν ἥ τε εὐθεῖα καὶ ἡ κλητική ἐστιν ἡ αὐτὴ καὶ ἡ αἰτιατική. ὁμοίως δὲ καὶ ἡ γενικὴ πρὸς τὴν δοτικὴν ἔχει τινὰ συγγένειαν. ταῦτα δὲ καὶ ἐν τοῖς δυϊκοῖς ἀριθμοῖς ἐπὶ πάντων τῶν ὀνομάτων εὑρίσκεται. ὅθεν εἰκότως παρὰ τὴν συνήθειαν τὰς πτώσεις ἐναλλάσσει. ἐνίοτε δὲ καὶ λόγον ἔστιν εὑρεῖν τῆς ἐξαλλαγῆς ὡς ἐν τῷ 'ἐπιστάμενοι πεδίοιο'· καὶ τὸ 'διέπρησσον πεδίοιο' ἴσον τῷ ἐπέρων διὰ τοῦ πεδίου.

49. Εὖ δ' ἔχει παρ' αὐτῷ ἡ τῶν πτώσεων μεταβολὴ ἐν ἀρχῇ τῶν δύο ποιήσεων· ἐν οἷς προθεὶς τὴν αἰτιατικὴν ἐπήνεγκε τὴν εὐθεῖαν, εἰπών

'μῆνιν ἄειδε θεά,
ἣ μυρί' Ἀχαιοῖς ἄλγε' ἔθηκε',

καί

'ἄνδρα μοι ἔννεπε, Μοῦσα, πολύτροπον, ὃς μάλα πολλὰ πλάγχθη'.

50. Ἔστι δ' ὅτε τῇ γενικῇ τὴν εὐθεῖαν ἐπιφέρει, ὡς ἐν τούτῳ 'τῶν οἳ νῦν βροτοί εἰσι'.

51. Πολλὰ δὲ καὶ ἑτέρως σχηματίζει, ὡς ἔχει καὶ τό

11 Hom. E 222. Θ 106 ib. id. B 785 et passim 14 scripsi τῶν δύω ποιήσεων (cf. capp. 4. 122. 128. 171. 172. 182. 208) cum cod. Athoo: τῶν δύο ποιημάτων ἑκατέρων vel ἑκατέρων τῶν ποιήσεων 16 Hom. A 1 19 id. α 1 22 id. A 272 et passim

'φημὶ γὰρ οὖν κατανεῦσαι ὑπερμενέα Κρονίωνα
ἤματι τῷ, ὅτε νηυσὶν ἐπ' ὠκυπόροισιν ἔβαινον
Ἀργεῖοι Τρώεσσι φόνον καὶ κῆρα φέροντες,
ἀστράπτων δ' ἐπιδέξι', ἐναίσιμα σήματα φαίνων'.

τούτῳ δ' ὅμοιόν ἐστι κἀκεῖνο

'ὁ δ' ἀγλαΐηφι πεποιθώς,
ῥίμφα ἑ γοῦνα φέρει'.

καὶ ταῦτα δ' ἐξήνεγκε κατά τινα ἀρχαϊκὴν συνήθειαν, καὶ οὐδὲ ταῦτα ἀλόγως· εἰ γάρ τις τὰς μετοχὰς ἀναλύσειεν εἰς ῥήματα, εὕροι ἂν τὸ ἀκόλουθον· τὸ γὰρ ἀστράπτων ἴσον ἐστὶ τῷ ὅτε ἤστραπτε, καὶ τὸ πεποιθὼς τῷ ἐπεὶ πέποιθε. τούτοις ἐστὶ κἀκεῖνα παραπλήσια

'οἱ δὲ δύο σκόπελοι, ὁ μὲν οὐρανὸν εὐρὺν ἱκάνει'·

καί

'τὼ δὲ διακρινθέντε ὁ μὲν μετὰ λαὸν Ἀχαιῶν
ἤι', ὁ δ' ἐς Τρώων ὅμαδον κίε'·

καὶ τὰ τοιαῦτα. οὐκ ἄλογον γὰρ τὸν μέλλοντα περὶ δυεῖν τινων λέγειν τὸ κοινὸν αὐτῶν προτάξαι τὴν εὐθεῖαν πτῶσιν ἐν ἑκατέρῳ φυλάξαντα· ὅτι δὲ τὸ κοινὸν τοῦ λόγου χάριν πολλὴν ἐπιφαίνει, πρόδηλον.

52. Ἔστι δ' ὅπου τὴν κοινὴν πτῶσιν προθεὶς τὸν περὶ ἑνὸς ἐπιφέρει λόγον· ὡς ἐν τούτῳ

'ἄμφω δ' ἑζομένω γεραρώτερος ἦεν Ὀδυσσεύς'.

1 id. *Β* 350 6 id. *Ζ* 510 14 id. *μ* 73 16 id. *Η* 306 ib. διακρινθέντες: correxi ex Homero 25 id. *Γ* 211

53. *Καὶ τὰ εἴδη δὲ τῶν ὀνομάτων ἐξαλλάσσει πολλάκις· ποτὲ μὲν τὸ ἁπλοῦν τιθεὶς ἀντὶ τοῦ ἐξ ὑπερβολῆς, ὡς τό **· ποτὲ δὲ τὸ ἐξ ὑπερβολῆς ἀντὶ τοῦ ἁπλοῦ, ὡς τό ‘σαώτερος ὥς κε νέηαι’· ποτὲ δὲ καὶ τὸ ὑπερθετικὸν ὁμοίως ἀντὶ τοῦ ἁπλοῦ, ὡς τό ‘δικαιότατος Κενταύρων’· τοιαύτη μὲν ἡ ἐξαλλαγὴ ἐν τοῖς ὀνόμασιν. ἐν δὲ τοῖς ῥήμασι γίνεται ἐξαλλαγὴ τῶν μὲν ἐγκλίσεων, ὡς ὅταν τὸ ἀπαρέμφατον ἀντὶ τοῦ προστακτικοῦ παραληφθῇ, οἷον ‘θαρσῶν νῦν, Διόμηδες, ἐπὶ Τρώεσσι μάχεσθαι’ ἀντὶ τοῦ μάχου· ἢ τὸ ὁριστικὸν ἀντὶ τοῦ εὐκτικοῦ, οἷον ‘πληθὺν δ’ οὐκ ἂν ἐγὼ μυθήσομαι οὐδ’ ὀνομήνω’ ἀντὶ τοῦ μυθησαίμην καὶ ὀνομήναιμι. καὶ ἐκ τοῦ ἐναντίου εὐκτικὸν ἀντὶ ὁριστικοῦ, οἷον ‘καί νύ κεν ἔνθ’ ἀπόλοιτο Ἄρης’ ἀντὶ τοῦ ἀπώλετο.*

54. *Τῶν δὲ χρόνων, ὅταν ὁ ἐνεστὼς ἀντὶ τοῦ μέλλοντος τεθῇ· ὡς ἐν τούτῳ*

‘τὴν δ’ ἐγὼ οὐ λύσω, πρίν μιν καὶ γῆρας ἔπεισιν’

ἀντὶ τοῦ ἐπελεύσεται. ἢ ἀντὶ τοῦ παρῳχηκότος

‘ἔνθ’ ἦ τοι πλυνοὶ ἦσαν ἐπηετανοί, πολὺ δ’ ὕδωρ
καλὸν ὑπεκπρορέει’

ἀντὶ τοῦ ἔρρεε. καὶ ὁ μέλλων ἀντὶ τοῦ ἐνεστῶτος

‘οἱ μὲν δυσομένου Ὑπερίονος, οἱ δ’ ἀνιόντος’.

2 *ἐξ ὑπερβολῆς — — ἀντὶ τοῦ ἁπλοῦ*] ita correxi et supplevi cum Duebnero: *ἐξ ὑπερβολῆς ἀπὸ τοῦ ἁπλοῦ* 3 *ὡς τό * **] exemplum excidisse vid. 4 Hom. *Α* 32 6 id. *Λ* 832 9 id. *Ε* 124 11 id. *Β* 488 14 id. *Ε* 388 18 id. *Α* 29 20 id. *ζ* 86 ib. *ἤτοι*: correxi ex Homero 21 *ὑπεκπρορρέει*: correxi ex eodem 23 id. *α* 24

ἢ ἀντὶ τοῦ παρῳχηκότος

'δείδω μὴ δὴ πάντα θεὰ νημερτέα εἴπῃ'

ἀντὶ τοῦ εἶπε.

55. Καὶ διαθέσεις δ' ἐναλλάσσονται παρ' αὐτῷ πολλάκις, καὶ τίθεται ἀντὶ ἐνεργητικῶν παθητικὰ ἢ μέσα, οἷον 'ἕλκετο δ' ἐκ κολεοῖο μέγα ξίφος' ἀντὶ τοῦ εἷλκε· καί 'καθορώμενος αἶαν' ἀντὶ τοῦ ὁρῶν. καὶ τοὐναντίον τὸ ἐνεργητικὸν ἀντὶ τοῦ παθητικοῦ 'δωρήσω τρίποδα χρυσούατον' ἀντὶ τοῦ δωρήσομαι.

56. Ἔστι δ' ἰδεῖν ὅπως καὶ τοὺς ἀριθμοὺς ἐναλλάσσων τὸν πληθυντικὸν ἀντὶ τοῦ ἑνικοῦ τίθησιν, ὡς πολλάκις ἐν τῇ συνηθείᾳ, εἴ τις περὶ ἑαυτοῦ λέγων ὡς ἐπὶ πολλῶν ἀναφέρει τὸν λόγον, ὡς ἐν τούτῳ

'τῶν ἁμόθεν γε, θεὰ θύγατερ Διός, εἰπὲ καὶ ἡμῖν'

ἀντὶ τοῦ ἐμοί.

57. Γίνεται δὲ παρ' αὐτῷ καὶ κατὰ πρόσωπα μεταβολή· καθ' ἕνα μὲν τρόπον οὕτως

'ἄλλοι μὲν γὰρ πάντες, ὅσοι θεοί εἰσ' ἐν Ὀλύμπῳ,
σοί τ' ἐπιπείθονται, καὶ δεδμήμεσθα ἕκαστος'·

πολλῶν γὰρ ὄντων τῶν θεῶν, ἐν οἷς ἐστι τὸ λέγον πρόσωπον, ἑκάτερον καλῶς ἐξενήνοχε, τό τε πείθονται καὶ τὸ δεδμήμεσθα. καθ' ἕτερον δὲ τρόπον, ὅταν τὸ νῦν ἐάσας ἀφ' ἑτέρου ἐφ' ἕτερον

2 εἴπῃ] εἶπεν Homerus ε 300. 'De aetate huius grammatici locus notabilis' Duebnerus 6 Hom. *Α* 194 7 id. *Ν* 4 9 non habet Homerus 16 id. α 10 20 id. Ε 877

πρόσωπον μεταβῇ· ὅπερ ἰδίως Ἀποστροφὴ καλεῖται, τῷ δὲ παθητικῷ κινεῖ καὶ ἄγει τὸν ἀκροώμενον· οἷόν ἐστι καὶ τοῦτο

‘Ἕκτωρ δὲ Τρώεσσιν ἐκέκλετο, μακρὸν ἀύσας,
νηυσὶν ἐπισσεύεσθαι, ἐᾶν δ’ ἔναρα βροτόεντα·
ὃν δ’ ἂν ἐγὼν ἀπάνευθε νεῶν ἑτέρωσε νοήσω’·

ἀπὸ γὰρ τοῦ διηγηματικοῦ μετέβαλεν εἰς τὸ μιμητικόν. καὶ ἐν αὐτῷ δὲ τῷ διηγηματικῷ πολλάκις χρῆται τῇ ἀποστροφῇ

‘ἀμφί σε, Πηλέος υἱέ, μάχης ἀκόρητοι Ἀχαιοί’.

ἀλλὰ καὶ ἐν τῷ μιμητικῷ χρῆται καὶ μεταβολῇ τῶν προσώπων, ὡς ἐν τούτῳ

‘ὢ πόποι, ἦ δὴ παισὶν ἐοικότες ἀγοράασθε
νηπιάχοις, οἷς οὔ τι μέλει πολεμήια ἔργα’.
‘Ἀτρείδη, σὺ δ’ ἔθ’, ὡς πρίν, ἔχων ἀστεμφέα βουλήν,
ἄρχευ’ Ἀργείοισιν ἀνὰ κρατερὰς ὑσμίνας’.

καὶ ἕτερον δ’ εἶδος ἀποστροφῆς ἐστι τὸ τοιοῦτον

‘Τυδείδην δ’ οὐκ ἂν γνοίης ποτέροισι μετείη’·

ἔστι γὰρ ἀντὶ τοῦ οὐκ ἄν τις γνοίη. καὶ πάλιν

‘ὀδμὴ δ’ ἡδεῖα ἀπὸ κρητῆρος ὀδώδει
θεσπεσίη, τότ’ ἂν οὔ τοι ἀποσχέσθαι φίλον ἦεν.’

58. *Καὶ μετοχαῖς δὲ χρῆται ἀντὶ ῥημάτων, ὡς ἐν τῷ*

‘ἧτ’ ἐνὶ κήπῳ
καρπῷ βριθομένη’

4 Hom. *Ο* 346 6 *ἑτέρωθι* id. 10 id. *Τ* 2 ib. *μάχης ἀκόρητον* idem 13 id. *Β* 337 15 id. ib. 344 ib. *δέ θ’*: corr. id. 16 *Ἀργείοισι κατὰ* idem 18 id. *Ε* 85 20 id. *ι* 210. 23 id. *Θ* 306

ἀντὶ τοῦ βρίθεται. καί

'ἔνθ' οἵ γ' εἰσέλασαν πρὶν εἰδότες'

ἀντὶ τοῦ πρὶν εἰδέναι.

59. Καὶ τὰ ἄρθρα δ' ἐναλλάσσει πολλάκις, ἀντὶ τῶν ὑποτακτικῶν τοῖς προτακτικοῖς χρώμενος, οἷον

'τοὺς ἔτεκε Ζεφύρῳ ἀνέμῳ ἅρπυια Ποδάργη'·

καὶ τοὐναντίον

'θώρηχ'· ὃ γὰρ ἦν οἱ, ἀπώλεσε πιστὸς ἑταῖρος'.

60. Οὕτω καὶ τὰς προθέσεις εἴωθε μεταλλάσσειν 'χθιζὸς ἔβη μετὰ δαῖτα' ἀντὶ τοῦ ἐπὶ δαῖτα· καί 'νοῦσον ἀνὰ στρατὸν ὦρσε κακήν'.

61. Ὁμοίως καὶ προθέσει πτῶσιν ὀνόματος οὐκ οἰκείαν ἐπιφέρει, ὡς ἐν τούτῳ

'μή πως καὶ διὰ νύκτα μενοινήσωσι μάχεσθαι'

ἀντὶ τοῦ διὰ νυκτός.

62. Ἐνίοτε δ' ἀφαιρεῖ τὰς προθέσεις, οἷον 'τῆς ὅ γε κεῖτ' ἀχέων' ἀντὶ τοῦ περὶ ἧς, καί 'ποτιδέγμενος εἴ τι μιν εἴποι' ἀντὶ τοῦ προσείποι. καὶ ἄλλας προθέσεις ὁμοίως τὰς μὲν ὑπαλλάσσει τὰς δ' ἀφαιρεῖ.

63. Καὶ ἐπιρρήματά τινα ἐναλλάσσει, τοῖς εἰς τόπον καὶ τοῖς ἐν τόπῳ καὶ τοῖς ἐκ τόπου ἀδιαφόρως χρώμενος· οἷον 'οἱ δ' ἑτέρωσε κάθιζον' ἀντὶ

2 id. ν 113 6 id. Π 150 8 id. Σ 460 10 id. Α 424 ib. μετὰ] κατὰ Aristarchus. Cf. Schol. A 11 Hom. Α 10 14 id. Κ 101 16 id. Β 694 17 id. ψ 91 23 οἷον οἱ *: νίωνοὶ vid. Hom. Υ 151

τοῦ ἑτέρωθι. καὶ 'Αἴας δ' ἐγγύθεν ἦλθεν' ἀντὶ τοῦ ἐγγύς.

64. Ἔστι δὲ παρ' αὐτῷ καὶ τῶν συνδέσμων ἐναλλαγή, οἷον

'εὐνῇ δ' οὔποτ' ἔμικτο· χόλον δ' ἀλέεινε γυναικός',

ἀντὶ τοῦ χόλον γὰρ ἀλέεινε γυναικός. ταῦτα μὲν δὴ κατὰ λέξιν ἐστὶ Σχήματα, οἷς καὶ ἄλλοι πάντες οὐ μόνον ποιηταὶ ἀλλὰ καὶ πεζῶν λόγων συνθέται κέχρηνται.

65. Ἔστι δὲ καὶ ἡ διάνοια παρ' αὐτῷ πολλοῖς εἴδεσιν ἐσχηματισμένη· ὧν ἐστι καὶ ἡ Προαναφώνησις, ἥτις γίνεται, ὅταν τις διηγούμενος μεταξὺ τὸ ἐν ἑτέροις τάξιν ἔχον τοῦ ῥηθῆναι προλέγῃ, ὡς ἐν τούτῳ

'ἦ τοι ὀιστοῦ γε πρῶτος γεύσεσθαι ἔμελλεν'.

καὶ ἡ Ἐπιφώνησις, οἷόν ἐστι

'ῥεχθὲν δέ τε νήπιος ἔγνω'.

66. Ἔστι παρ' αὐτῷ πολὺ καὶ ποικίλον τὸ τῆς Προσωποποιίας. πολλὰ μὲν γὰρ καὶ διάφορα πρόσωπα εἰσάγει διαλεγόμενα, οἷς καὶ ἤθη παντοῖα περιτίθησιν· ἐνίοτε δὲ καὶ τὰ μὴ ὄντα πρόσωπα ἀναπλάσσει, ὡς ὅταν εἴπῃ

'ἦ κε μέγ' οἰμώξειε γέρων ἱππηλάτα Πηλεύς'.

67. Ἔστι δὲ καὶ ἡ Διατύπωσις ἐξεργασία πραγμάτων ἢ γενομένων ἢ ὄντων ἢ πραχθησομένων

1 Hom. *Η* 219 5 id. *α* 433 ib. οὔποτ' idem: οὐ πώποτ' 15 id. *φ* 98 ib. γε Homerus: τε 17 id. *Ρ* 32 23 id. *Η* 125

εἰς τὸ παραστῆσαι ἐναργέστερον τὸ λεγόμενον· ὡς ἐν τούτῳ

'ἄνδρας μὲν κτείνουσι, πόλιν δέ τε πῦρ ἀμαθύνει,
τέκνα δέ τ' ἄλλοι ἄγουσι βαθυζώνους τε γυναῖκας'.

ἢ πρὸς τὸ οἶκτον κινῆσαι

'δύσμορον, ὅν ῥα πατὴρ Κρονίδης ἐπὶ γήραος οὐδῷ
νούσῳ ἐν ἀργαλέῃ φθίσει κακὰ πόλλ' ἐπιδόντα·
υἱέας τ' ὀλλυμένους ἑλκυσθείσας τε θύγατρας,
καὶ θαλάμους κεραϊζομένους, καὶ νήπια τέκνα
βαλλόμενα προτὶ γαίῃ ἐν αἰνῇ δηιοτῆτι'.

68. Ἔστι καὶ Εἰρωνεία παρ' αὐτῷ λόγος διὰ τοῦ ἐναντίου δηλῶν τὸ ἐναντίον μετά τινος ἠθικῆς ὑποκρίσεως· οἷόν ἐστι τὸ τοῦ Ἀχιλλέως

'ὁ δ' Ἀχαιῶν ἄλλον ἑλέσθω
ὅστις οἵ τ' ἐπέοικε καὶ ὃς βασιλεύτερός ἐστιν'.

ἐμφαίνει γὰρ ὅτι οὐκ ἂν ἕτερον εὕροι βασιλικώτερον. καὶ οὗτος μὲν ὁ τρόπος ἐστίν, ὅταν περὶ αὑτοῦ λέγῃ τις εὐτελῶς, ἵνα τὴν ἐναντίαν δόξαν παράσχῃ· ἕτερος δέ, ὅταν τις ἄλλον ἐπαινεῖν προσποιῆται, τῇ ἀληθείᾳ ψέγων· καὶ τοιοῦτό ἐστι τὸ παρ' Ὁμήρῳ λεγόμενον ὑπὸ Τηλεμάχου

'Ἀντίνο', ἦ μευ καλὰ πατὴρ ὣς κήδεαι υἷος·

τῷ γὰρ ἐχθρῷ λέγει, ὅτι ὡς πατὴρ υἱοῦ πεφρόντι-

3 id. I 593 6 id. X 60. Cf. Stob. Flor. 104, 1 7 νούσῳ] αἴσῃ Homerus 14 id. I 391 15 τ' idem: γ' 20 τοιοῦτό ἐστι τὸ Duebnerus: τοῦτό ἐστι 22 Hom. ρ 397

κας. καὶ πάλιν, ὅταν χλευάζων τις ἐπαίρῃ τὸν πέλας, ὡς οἱ μνηστῆρες

'ἦ μάλα Τηλέμαχος φόνον ἡμῖν μερμηρίζει,
ἤ τινας ἄξει ἀμύντορας ἐκ Πύλου ἠμαθόεντος,
ἤ νυ καὶ ἐκ Σπάρτηθεν, ἐπεὶ νύ περ ἵεται οὕτως'.

69. Ἔστι δέ τι εἶδος εἰρωνείας καὶ ὁ Σαρκασμός, ἐπειδάν τις διὰ τῶν ἐναντίων ὀνειδίζῃ τινὰ μετὰ προσποιήτου μειδιάματος· ὡς Ἀχιλλεύς

'τοῖσι μὲν ἔμπεδα κεῖται, ἐμεῦ δ' ἀπὸ μούνου Ἀχαιῶν
εἵλετ', ἔχει δ' ἄλοχον θυμαρέα, τῇ παριαύων
τερπέσθω'.

70. Τούτοις παραπλησίως ἔχει καὶ ἡ Ἀλληγορία, ἥπερ ἕτερον δι' ἑτέρου παρίστησιν, οἷόν ἐστι τοῦτο

'νῦν μὲν δὴ μάλα πάγχυ, Μελάνθιε, νύκτα φυλάξεις,
εὐνῇ ἐνὶ μαλακῇ καταλέγμενος, ὥς ἐπέοικε'·

τὸν γὰρ ἐν δεσμοῖς ὄντα ἀνηρτημένον ἐν κοίτῃ μαλακῇ ὑπνώσσειν λέγει.

71. Κέχρηται πολλάκις καὶ τῇ Ὑπερβολῇ, ἥτις ὑπεραίρουσα τὴν ἀλήθειαν πολλὴν ἐπίτασιν ἐμφαίνει, οἷον

'λευκότεροι χιόνος, θείειν δ' ἀνέμοισιν ὁμοῖοι'.

τοιούτοις μὲν δὴ τρόποις καὶ σχήμασι χρησάμενος Ὅμηρος καὶ τοῖς μετ' αὐτὸν ὑποδείξας τῆς ἐπὶ τούτοις εὐδοξίας πρὸ πάντων δικαίως τυγχάνει.

3 Hom. β 325 4 ἐκ Π. ἄξει ἀμύντορας Homerus 5 νυ καὶ ἐκ] ὅ γε καὶ idem 8 προσποιητοῦ: correxi 9 Hom. I 335 14 id. χ 195 15 μαλακῇ Duebnerus: ἁπαλῇ 21 Hom. K 437

72. Ἐπεὶ δὲ καὶ χαρακτῆρές εἰσι τῶν λόγων τὰ καλούμενα Πλάσματα, ὧν τὸ μὲν ἁδρὸν τὸ δ' ἰσχνὸν τὸ δὲ μέσον λέγεται, ἴδωμεν εἰ πάντα ἐστὶ παρ' Ὁμήρῳ, τῶν μὲν μετ' αὐτὸν ποιητῶν ἢ λογογράφων ἐπιτηδευσάντων ἕν τι τούτων ἑκάστου· ὧν καὶ ἔστι παραδείγματα, Θουκυδίδου μὲν τὸ ἁδρόν, Λυσίου δὲ τὸ ἰσχνόν, Δημοσθένους δὲ τὸ μέσον. τὸ μὲν οὖν ἁδρὸν πλάσμα ἐκεῖνό ἐστι τὸ καὶ τῇ τῶν λέξεων καὶ τῇ τῶν νοημάτων κατασκευῇ μεγάλας ἔχον ἐμφάσεις· οἷόν ἐστιν

'ὣς εἰπὼν σύναγεν νεφέλας, ἐτάραξε δὲ πόντον,
χερσὶ τρίαιναν ἑλών· πάσας δ' ὀρόθυνεν ἀέλλας
παντοίων ἀνέμων· σὺν δὲ νεφέεσσι κάλυψε
γαῖαν ὁμοῦ καὶ πόντον· ὀρώρει δ' οὐρανόθεν νύξ'.

ἰσχνὸν δὲ τὸ καὶ τῇ ὕλῃ τῶν πραγμάτων μικρὸν καὶ τῇ λέξει κατεξεσμένον· οἷόν ἐστι τοῦτο

'ὣς εἰπὼν οὗ παιδὸς ὀρέξατο φαίδιμος Ἕκτωρ·
ἂψ δ' ὁ πάις πρὸς κόλπον ἐυζώνοιο τιθήνης
ἐκλίνθη ἰάχων, πατρὸς φίλου ὄψιν ἀτυχθείς,
ταρβήσας χαλκόν τε ἰδὲ λόφον ἱππιοχαίτην'.

μέσον δὲ τὸ ἑκατέρου τούτων μεταξύ, τοῦ μὲν ἰσχνότερον τοῦ δ' ἁδρότερον, οἷον

'αὐτὰρ ὁ γυμνώθη ῥακέων, πολύμητις Ὀδυσσεύς,
ἆλτο δ' ἐπὶ μέγαν οὐδόν, ἔχων βιὸν ἠδὲ φαρέτρην
ἰῶν ἐμπλείην, ταχέας δ' ἐκχεύατ' ὀιστοὺς
αὐτοῦ πρόσθε ποδῶν, μετὰ δὲ μνηστῆρσιν ἔειπεν'.

11 id. ε 291 17 id. Z 466 23 id. χ 1

73. Ὅτι δὲ καὶ τὸ ἀνθηρὸν εἶδος τῶν λόγων ἐστὶ πολὺ παρὰ τῷ ποιητῇ, κάλλος ἔχον καὶ χάριν εἰς τὸ τέρπειν καὶ ἡδύνειν ὥσπερ ἄνθος, τί ἄν τις καὶ λέγοι; μεστὴ γάρ ἐστιν ἡ ποίησις τῆς τοιαύτης κατασκευῆς. ἡ μὲν δὴ τῆς φράσεως ἰδέα τοιαύτην ἔχει ποικιλίαν παρὰ τῷ Ὁμήρῳ, οἵαν διήλθομεν, ὀλίγα παραδείγματα θέμενοι, ἐξ ὧν ἔστι καὶ τὰ ἄλλα κατανοεῖν.

74. Ἐπεὶ δὲ παντὸς τοῦ ἀσκουμένου παρ' ἀνθρώποις λόγου, ὁ μέν τίς ἐστιν ἱστορικὸς ὁ δὲ θεωρητικὸς ὁ δὲ πολιτικός, φέρε θεασώμεθα εἰ καὶ τούτων εἰσὶν αἱ ἀρχαὶ παρ' αὐτῷ. ὁ μὲν δὴ ἱστορικός ἐστιν ὁ τῶν γεγονότων πραγμάτων ἔχων διήγησιν· πάσης δὲ διηγήσεως ἀφορμαὶ γίνονται πρόσωπον, αἰτία, τόπος, χρόνος, ὄργανον, πρᾶξις, πάθος, τρόπος· καὶ οὐδὲν ἔξω τούτων ἐν ἱστορίᾳ περιέχει οὐδεμία διήγησις. οὕτως ἔστι παρὰ τῷ ποιητῇ πολλὰ πράγματα ὡς γεγονότα ἢ ὄντα διηγουμένῳ, ἐνίοτε δὲ κἂν ἑκάστῳ τούτων διηγήσεις εὑρεῖν ἔστι.

75. Προσώπου μέν, ὡς τὸ τοιόνδε

'ἦν δέ τις ἐν Τρώεσσι Δάρης ἀφνειός, ἀμύμων,
ἱρεὺς Ἡφαίστοιο· δύω δέ οἱ υἱέε ἤστην,
Φηγεὺς Ἰδαῖός τε, μάχης εὖ εἰδότε πάσης'.

καὶ ἐν οἷς εἴδη τινῶν διαγράφει, ὡς ἐπὶ τοῦ Θερσίτου

3 ἡδύνειν W: ἥδειν 10 ὁ δὲ θεωρητικὸς add. idem
21 Hom. E 9

'φολκὸς ἔην, χωλὸς δ' ἕτερον πόδα· τὼ δέ οἱ ὤμω
κυρτώ, ἐπὶ στῆθος συνοχωκότε· αὐτὰρ ὕπερθεν
φοξὸς ἔην κεφαλήν, ψεδνὴ δ' ἐπενήνοθε λάχνη'.

καὶ ἄλλα πολλά, ἐν οἷς ἢ γένος ἢ εἶδος ἢ τρόπον ἢ πρᾶξιν ἢ τύχην προσώπου διέξεισι πολλάκις· ὡς ἐν τούτοις

'Δάρδανον αὖ πρῶτον τέκετο νεφεληγερέτα Ζεύς'

καὶ τὰ ἑξῆς.

76. *Τόπου* δ' ἔστι παρ' αὐτῷ διήγησις, ὁποῖα περὶ τῆς νήσου τῆς γειτνιώσης τῇ τῶν Κυκλώπων λέγει, ἐν οἷς τὸ εἶδος τοῦ τόπου διαγράφει καὶ τὸ πηλίκον καὶ τὸ ποιὸν αὐτοῦ καὶ τὰ ἐν αὐτῷ καὶ τὰ παρ' αὐτῷ· καὶ περὶ τῶν παρακειμένων τῷ ἄντρῳ τῆς Καλυψοῦς

'ὕλη δὲ σπέος ἀμφιπεφύκει τηλεθόωσα,
κλήθρη τ' αἴγειρός τε καὶ εὐώδης κυπάρισσος'

καὶ τὰ ἑξῆς. καὶ μυρία ἄλλα τοιαῦτα.

77. *Χρόνου* δέ, οἷον

'ἐννέα δὴ βεβάασι Διὸς μεγάλου ἐνιαυτοί'·

καί

'χθιζά τε καὶ πρωίζ' ὅτ' ἐς Αὐλίδα νῆες Ἀχαιῶν
ἠγερέθοντο, κακὰ Πριάμῳ καὶ Τρωσὶ φέρουσαι'.

78. *Αἰτίας* δ' ἐν οἷς ἐμφαίνει δι' ὃ γίνεταί τι ἢ γέγονεν, οἷά ἐστι τὰ ἐν ἀρχῇ τῆς Ἰλιάδος εἰρημένα

1 id. *B* 217 7 id. *Y* 215 12 ποῖον Duebnerus, non opus 15 Hom. ε 63 19 id. *B* 134 21 id. ib. 303 ib. πρωίζ' Duebnerus: πρωϊζὰ

'τίς τ' ἄρ σφῶε θεῶν ἔριδι ξυνέηκε μάχεσθαι;
Λητοῦς καὶ Διὸς υἱός· ὃ γὰρ βασιλῆι χολωθεὶς
νοῦσον ἀνὰ στρατὸν ὦρσε κακήν· ὀλέκοντο δὲ λαοί·
οὕνεκα τὸν Χρύσην ἠτίμησ' ἀρητῆρα
Ἀτρείδης'

καὶ τὰ ἑξῆς. ἐν γὰρ τούτοις λέγει τὰς αἰτίας, τῆς μὲν Ἀχιλλέως καὶ Ἀγαμέμνονος διαφορᾶς τὸν λοιμόν, τοῦ δὲ λοιμοῦ τὸν Ἀπόλλωνος χόλον, τοῦ δὲ χόλου τὴν ὕβριν τὴν εἰς τὸν ἱερέα τοῦ δαίμονος.

79. Ὀργάνου δὲ τὴν διήγησιν, ὁποίαν διέξεισι τῆς ἀσπίδος, ἣν Ἥφαιστος Ἀχιλλεῖ κατεσκεύασε· καὶ ἄλλη σύντομος περὶ τοῦ Ἕκτορος δόρατος

'ἔνθ' Ἕκτωρ εἰσῆλθε Διὶ φίλος, ἐν δ' ἄρα χειρὶ
ἔγχος ἔχ' ἑνδεκάπηχυ· πάροιθε δὲ λάμπετο δουρὸς
αἰχμὴ χαλκείη, περὶ δὲ χρύσεος θέε πόρκης'.

80. Πράξεως δὲ διηγήσεις εἶεν ἂν ἄλλαι τε καὶ αἱ τοιαίδε

'οἱ δ' ὅτε δή ῥ' ἐς χῶρον ἕνα ξυνιόντες ἵκοντο,
σύν ῥ' ἔβαλον ῥινούς, σὺν δ' ἔγχεα καὶ μένε' ἀνδρῶν
χαλκεοθωρήκων· ἀτὰρ ἀσπίδες ὀμφαλόεσσαι
ἔπληντ' ἀλλήλῃσι· πολὺς δ' ὀρυμαγδὸς ὀρώρει'.

81. Πάθους δὲ διήγησίς ἐστιν, ἐν ᾗ τὸ συμβαῖνον ἐξ αἰτίου ἢ ἐνεργείας τινὸς σαφηνίζεται· ὁποῖά

1 Hom. Α 8 13 id. Θ 493 ἔνθ' Ἕκτωρ εἰσῆλθε] τόν ῥ' Ἕκτωρ ἀγόρευε Homerus. Cf. Schol. A 15 πόρκης idem: πόρκις 16 ἂν Duebnerus 18 Hom. Θ 60

φησι περὶ τῶν ὑπὸ ὀργῆς ἢ φόβου ἢ λύπης κατεσχημένων ἢ τιτρωσκομένων ἢ ἀποκτιννυμένων ἢ ἄλλο τι τοιοῦτο πασχόντων. οἷον ἐξ αἰτίου μέν

'ἀχνύμενος· μένεος δὲ μέγα φρένες ἀμφιμέλαιναι
πίμπλαντ', ὄσσε δέ οἱ πυρὶ λαμπετόωντι ἐίκτην'.

ἐξ ἐνεργείας δέ

'αἵματί οἱ δεύοντο κόμαι Χαρίτεσσιν ὁμοῖαι,
πλοχμοί θ', οἳ χρυσῷ τε καὶ ἀργύρῳ ἐσφήκωντο'.

82. Ὁ δὲ τρόπος ἐστὶ ποιητικὸς πράξεως ἢ παθήματος ἢ σχέσεώς τινος, καθ' ἣν τὸ μὲν ὧδέ τι ἐνεργεῖ ἢ πάσχει, τὸ δὲ ὧδέ πως ἔχει καὶ πάσῃ ἀκολουθεῖ τῇ τοιαύτῃ διηγήσει· παράδειγμα δ' αὐτοῦ τὸ τοιόνδ' ἂν εἴη

'τὸν δ' Ὀδυσεὺς κατὰ λαιμὸν ἐπισχόμενος βάλεν ἰῷ·
ἐκλίνθη δ' ἑτέρωσε· δέπας δέ οἱ ἔκπεσε χειρὸς
βλημένου· αὐτίκα δ' αὐλὸς ἀνὰ ῥῖνας παχὺς ἦλθεν
αἵματος ἀνδρομέοιο'

καὶ τὰ ἑξῆς.

83. Ἔστι δὲ διήγησις παρ' αὐτῷ, ὡς μὲν ἐπὶ τὸ πλεῖστον πλατεῖαν φράσιν καὶ ἐξεργασίαν ἁρμόζουσαν τοῖς ὑποκειμένοις ἔχουσα· ἐνίοτε δ' εὔτονος, ὡς ἡ τοιαύτη

'κεῖται Πάτροκλος, νέκυος δὲ δὴ ἀμφιμάχονται
γυμνοῦ· ἀτὰρ τά γε τεύχε' ἔχει κορυθαίολος Ἕκτωρ'.

τοῦτο δὲ τὸ εἶδος πολλάκις ἐστὶ χρήσιμον· τὸ γὰρ

4 id. *A* 103 7 id. *P* 51 11 ἢ πάσχει add. Duebnerus 14 Hom. *χ* 15 23 id. *Σ* 20

τάχος τῶν λόγων εὐτονώτερον καθίστησι καὶ τὸν λέγοντα καὶ τὸν ἀκροώμενον καὶ ῥᾳδίως τυγχάνει τοῦ προκειμένου.

84. Διηγεῖται δὲ ποτὲ μὲν ψιλῶς, ποτὲ δὲ μετὰ εἰκόνος ἢ ὁμοιώσεως ἢ παραβολῆς. εἰκόνος μέν, ὡς ὅταν εἴπῃ

'ἡ δ' ἴεν ἐκ θαλάμοιο περίφρων Πηνελόπεια,
Ἀρτέμιδι ἰκέλη ἠὲ χρυσῇ Ἀφροδίτῃ'.

ὁμοιώσεως δέ, οἷον

'αὐτὸς δὲ κτίλος ὣς ἐπιπωλεῖται στίχας ἀνδρῶν'.

παραβολῆς δέ, ὅταν παραπλησίων πραγμάτων παράθεσιν ποιήσηται, ἔχουσαν ἀνταπόδοσιν τὴν ἀπὸ τοῦ προκειμένου διηγήματος. καὶ ἔστι παρ' αὐτῷ ποικίλα τὰ εἴδη τῶν παραβολῶν· συνεχῶς γὰρ καὶ πολυτρόπως παρατίθησι ταῖς τῶν ἀνθρώπων πράξεσι καὶ σχέσεσι ζῴων ἄλλων ἐνεργείας καὶ φύσεις.

85. Καὶ ἔστι μὲν ὅτε ἀπὸ τῶν ἐλαχίστων ποιεῖται τὴν ὁμοίωσιν οὐ πρὸς τὸ μέγεθος τοῦ σώματος ἀλλὰ πρὸς τὴν φύσιν ἑκάστου ἀφορῶν· ὅθεν τὴν μὲν ἰταμότητα ἀπείκασε μυίᾳ 'καί οἱ μυίης θάρσος ἐνὶ στήθεσσιν ἔθηκε', καὶ τὴν συνέχειαν τῷ αὐτῷ ζῴῳ 'ἠύτε μυιάων ἀδινάων ἔθνεα πολλά'· τὸν δὲ ἀθροισμὸν καὶ τὴν πολυπλήθειαν μετ' εὐταξίας μελίσσαις 'ἠύτε ἔθνεα εἶσι μελισσάων ἀδινάων'. οὕτω δὲ καὶ τὴν ὀργὴν καὶ τὴν δίωξιν ἔδειξεν εἰπών 'σφήκεσσιν ἐοικότες εἰνοδίοισι', καὶ ἔτι προσθείς

7 Hom. τ 53 10 id. Γ 196 20 id. Ρ 570 21 ἔθηκε] ἐνῆκεν Homerus 22 id. Β 469 24 id. ib. 87 26 id. Π 259

'οὓς παῖδες ἐριδαίνουσιν ἔθοντες', ἵνα μᾶλλον τὸ ἐκ φύσεως αὐτῶν θυμοειδὲς τῷ ἀπὸ τῶν παίδων ἐρεθισμῷ ἐπιτείνῃ. ἐπὶ δὲ συνεχοῦς φωνῆς φησιν 'ἐσθλοί, τεττίγεσσιν ἐοικότες'· λαλίστατον γὰρ τὸ ζῷον, καὶ ἄπαυστον ἐν τούτῳ.

86. Τῶν δ' ἀσυντάκτως φερομένων φωνὰς παμμιγεῖς οὕτως εἴκασεν 'ἠύτε περ κλαγγὴ γεράνων πέλει οὐρανόθι πρό'· τὰ δ' εἰς τάξιν καθιστάμενα πλήθη τοῖς καθημένοις ὀρνέοις ὁμοιοῖ 'κλαγγηδὸν προκαθιζόντων'· τὴν δ' ὀξύτητα τῆς τε ὄψεως καὶ τῆς πράξεως ποτὲ μὲν ἱέρακι παραβάλλει 'ὠκέι, φασσοφόνῳ, ὅς τ' ὤκιστος πετεηνῶν', ποτὲ δ' ἀετῷ 'ὅν τε καὶ ὑψόθ' ἐόντα πόδας ταχὺς οὐκ ἔλαθε πτώξ'· παρίστησι γὰρ τὴν ὀξυδέρκειαν ἐν τῷ πόρρωθεν ἰδεῖν, τὸ δὲ τάχος ἐν τῷ ποδωκέστατον ζῷον ἑλεῖν· τὸν δ' ἐκπλαγέντα πρὸς ὄψιν πολεμίου, δράκοντος δράματι προσείκασεν, οὐκ ὀκνήσας οὐδ' ἀπὸ τῶν ἑρπετῶν παραδείγματα λαβεῖν 'ὡς δ' ὅτε τίς τε δράκοντα ἰδὼν παλίνορσος ἀπέστη'. ἀπὸ δὲ τῶν ἄλλων ζῴων, δειλίας μὲν ἀπὸ τοῦ λαγωοῦ λαμβάνει, καὶ ἀπὸ τῶν ἐλάφων ὁμοίως 'τίφθ' οὕτως ἔστητε τεθηπότες ἠύτε νεβροί'; κυνῶν δ' ὁτὲ μὲν ἀλκήν 'ὡς δ' ὅτε καρχαρόδοντε δύω κύνε, οἵ τ' ἐπὶ θήρῃς', ὁτὲ δὲ φιλοτεκνίαν 'ὡς δὲ κύων ἀμαλῇσι περὶ σκυλάκεσσι βεβῶσα', ὁτὲ δὲ προθυμίαν

1 id. ib. 260 ib. ἐριδμαίνωσιν Hom. 4 id. Γ 151 7 id. ib. 3 9 id. Β 463 11 id. Ο 238 13 id. Ρ 676 18 id. Γ 33 21 id. Δ 243 22 Homerus: ἔστητε 22. 23. 25 ὁτὲ pro ὅτε correxi 23 Hom. Κ 360 ib. οἵ τ' ἐπὶ] εἰδότε idem 24 id. υ 14 ἀμαλῇσι Duebnerus: ἀμαλῆσι

πρὸς τὸ φυλάσσειν 'ὡς δὲ κύνες περὶ μῆλα δυσωρήσωνται ἐν αὐλῇ'.

87. Ἁρπαγὴν δ' ἅμα θυμικῶς καὶ ἰταμῶς πρασσομένην λύκοις εἴκασεν 'ὡς δὲ λύκοι ἄρνεσσιν ἐπέχραον ἢ ἐρίφοισι'. τὸ δ' ἄλκιμον καὶ ἄτρεπτον διά τε συῶν ἀγρίων καὶ παρδάλεων καὶ λεόντων ἔδειξε, μερίζων ἑκάστῳ τὸ πρὸς τὴν φύσιν οἰκεῖον· τῶν μὲν συῶν τὴν ὁρμήν, ἣν ἔχει πρὸς μάχην, ἀνυπόστατον ποιῶν 'Ἰδομενεὺς δ' ἄρ' ἐνὶ προμάχοις συὶ εἴκελος ἀλκήν'· τῶν δὲ παρδάλεων τὸ ἄπαυστον τῆς τόλμης 'ἀλλά τε καὶ περὶ δουρὶ πεπαρμένη οὐκ ἀπολήγει'· λεόντων δὲ τὸ μέλλον μὲν εἰς τέλος δὲ γενναῖον 'οὐρῇ δὲ πλευράς τε καὶ ἰσχία ἀμφοτέρωθεν μαστίεται'. πάλιν δὲ παραβάλλει δρόμον ἀνδρὸς γενναίου ἵππῳ τροφῆς κεκορεσμένῳ 'ὡς δ' ὅτε τις στατὸς ἵππος ἀκοστήσας ἐπὶ φάτνῃ'· καὶ τοὐναντίον βραδὺν κατὰ πορείαν, ἀήττητον δ' ἐν τῷ καρτερεῖν, οὕτως ἔδειξεν 'ὡς δ' ὅτ' ὄνος παρ' ἄρουραν ἰὼν ἐβιήσατο παῖδας'. σχῆμα δὲ βασίλειον καὶ ὑπερέχον ἐτύπωσε διὰ τούτων 'ἠύτε βοῦς ἀγέληφι μέγ' ἔξοχος ἔπλετο πάντων'.

88. Οὐ κατέλιπε δ' οὐδὲ τὰς τῶν θαλασσίων ζῴων ὁμοιότητας, πολύποδος μὲν τὸ παράμονον καὶ δυσαπόσπαστον τῶν πετρῶν 'ὡς δ' ὅτε πουλύποδος

1 Hom. *K* 183 3 θυμικῶς *X*: μυθικῶς 4 Hom. *Π* 352 8 ἔχει] ἔχουσι W 9 Hom. *Δ* 253 ib. δ' ἄρ'] μὲν idem 11 id. *Φ* 577 ib. πεπαρμένω: correxi ex Homero 13 id. *Υ* 171 15 id. *Ζ* 506 18 id. *Λ* 558 20 id *Β* 480 24 id. *ε* 432

θαλάμης ἐξελκομένοιο', δελφῖνος δὲ τὸ ἡγεμονικὸν καὶ κρατιστεῦον τῶν ἄλλων 'ὡς δ' ὑπὸ δελφῖνος μεγακήτεος ἰχθύες ἄλλοι'.

89. *Πολλάκις* δὲ τὰ ὑπὸ ἀνθρώπων πρασσόμενα ἄλλαις ὁμοίαις πράξεσι παραβάλλει, ὥσπερ ἐν τούτῳ·

'οἱ δ' ὥστ' ἀμητῆρες ἐναντίοι ἀλλήλοισι',

τὴν ἔνστασιν καὶ καρτερίαν δεικνύων τῶν ἀνδρῶν. τῷ δ' ἀγεννῶς δακρύοντι ὀνειδίζει μετ' ἐναργοῦς ὁμοιώσεως

'τίπτε δεδάκρυσαι, Πατρόκλεις, ἠύτε κούρη
νηπίη;'

90. *Ἐτόλμησε* δὲ καὶ τοῖς στοιχείοις παραβαλεῖν πράξεις ἀνθρωπίνας, ὡς ἐν τούτῳ

'ὣς ἔφατ'. Ἀργεῖοι δὲ μέγ' ἴαχον, ὡς ὅτε κῦμα
ἀκτῇ ἐφ' ὑψηλῇ, ὅτε κινήσῃ νότος ἐλθὼν
προβλῆτι σκοπέλῳ· τὸν δ' οὔποτε κύματα λείπει
παντοίων ἀνέμων, ὅταν ἔνθ' ἢ ἔνθα γένωνται'·

ἐν οἷς δῆλός ἐστι καὶ ὑπερβολῇ καὶ αὐξήσει κεχρημένος. οὐ γὰρ ἤρκεσε κύματος ἤχῳ τὴν κραυγὴν ἀπεικάσαι, ἀλλὰ τῷ προφερομένῳ ἀκτῇ ἐφ' ὑψηλῇ, ὅπου μετεωριζόμενον τὸ κῦμα μείζονα ἦχον ἀποτελεῖ· καὶ οὐχ ἁπλῶς κῦμα, ἀλλὰ τὸ κινηθὲν ἀπὸ νότου, τοῦ μάλιστα τὰ ὑγρὰ κινοῦντος· καὶ ἐπὶ σκοπέλῳ προβλῆτι, τῷ ἀνατεταμένῳ εἰς τὸ πέλαγος καὶ περικλυζομένῳ ὑπ' αὐτοῦ, ὃς καὶ ἀδιάλειπτον

2 id. Φ 22 6 id. Λ 67 10 id. Π 7 14 id. Β 394 15 κινήσῃ Homerus: κινήσει 20 τῶν προφερομένων: corr. W 22 ἀπὸ] malim ὑπὸ

ἔχει τὸν κλύδωνα, ὁπόθεν ἂν προσπίπτωσιν οἱ πνέοντες ἄνεμοι. τοιαῦτα μέν ἐστι τὰ τῆς ἐν τῷ διηγεῖσθαι ἐξεργασίας παρ' αὐτῷ· ἅπερ ἔνεστι καὶ ἐπὶ τῶν πολλῶν κατανοεῖν ἐκ τῶν ὀλίγων παραδειγμάτων.

91. Σκεψώμεθα δὲ καὶ τὰ λοιπὰ εἴδη τῶν λόγων, εἴ ἐστι παρὰ τῷ Ὁμήρῳ πρώτῳ καὶ τὰς ἐννοίας αὐτῶν λαβόντι καὶ ἐναργῶς κατασκευάσαντι. ὁμοίως ὀλίγα παραδείγματα παρατεθέντα καὶ τὰ ἄλλα νοεῖν παρασκευάσει.

92. Ὁ δὲ Θεωρητικὸς λόγος ἐστὶν ὁ περιέχων τὰ καλούμενα θεωρήματα, ἅπερ ἐστὶ γνῶσις τῆς ἀληθείας γινομένη μετὰ τέχνης· ἀφ' ὧν ἔστι τὴν φύσιν τῶν ὄντων, θείων τε καὶ ἀνθρωπίνων πραγμάτων, κατανοεῖν, καὶ τὰς περὶ τὸ ἦθος ἀρετὰς καὶ κακίας διαιρεῖν, καὶ ᾗτινι τέχνῃ λογικῇ μετέρχεσθαι τὴν ἀλήθειαν προσήκει, μανθάνειν. ταῦτα δὲ μετεχειρίσαντο οἱ ἐν φιλοσοφίᾳ διατρίψαντες, ἧς ἐστι μέρη τὸ φυσικὸν καὶ ἠθικὸν καὶ διαλεκτικόν. ἐν δὴ πᾶσι τούτοις τὰς ἀρχὰς καὶ τὰ σπέρματα ἐνδιδόντα Ὅμηρον εἰ καταμάθοιμεν, πῶς οὐκ ἂν εἴη πρὸ πάντων θαυμάζεσθαι ἄξιος; εἰ δὲ δι' αἰνιγμάτων καὶ μυθικῶν λόγων τινῶν ἐμφαίνεται τὰ νοήματα, οὐ χρὴ παράδοξον ἡγεῖσθαι· τούτου γὰρ αἴτιον ποιητικὴ καὶ τὸ τῶν ἀρχαίων ἦθος, ὅπως οἱ μὲν φιλομαθοῦντες μετά τινος εὐμουσίας ψυχαγωγούμενοι ῥᾷον ζητῶσί τε καὶ εὑρίσκωσι τὴν ἀλήθειαν,

8 ὁμοίως] ὑπὲρ ὧν Athous

οἱ δ' ἀμαθεῖς μὴ καταφρονῶσι τούτων ὧν οὐ δύνανται συνιέναι· καὶ γάρ ἐστί πως τὸ μὲν δι' ὑπονοίας σημαινόμενον ἀγωγόν, τὸ δὲ φανερῶς λεγόμενον εὐτελές.

93. Ἀρξώμεθα τοίνυν ἀπὸ τῆς τοῦ παντὸς ἀρχῆς καὶ γενέσεως, ἣν Θαλῆς ὁ Μιλήσιος εἰς τὴν τοῦ ὕδατος οὐσίαν ἀναφέρει· καὶ θεασώμεθα εἰ πρῶτος Ὅμηρος τοῦθ' ὑπέλαβεν, εἰπών

'Ὠκεανός θ' ὅσπερ γένεσις πάντεσσι τέτυκται'.

μετ' ἐκεῖνον δὲ Ξενοφάνης ὁ Κολοφώνιος, ὑφιστάμενος τὰς πρώτας ἀρχὰς εἶναι τὸ ὕδωρ καὶ τὴν γῆν, ἔοικε σπάσαι τὴν ἀφορμὴν ταύτην ἐκ τῶν Ὁμηρικῶν τούτων

'ἀλλ' ὑμεῖς μὲν πάντες ὕδωρ καὶ γαῖα γένοισθε'·

σημαίνει γὰρ τὴν ἀνάλυσιν εἰς τὰ γεννητικὰ στοιχεῖα τοῦ παντός. ἡ δὲ μάλιστα ἀληθὴς δόξα τέσσαρα στοιχεῖα συνίστησι, πῦρ, ἀέρα, ὕδωρ, γῆν· ταῦτα δὲ καὶ Ὅμηρος εἰδὼς φαίνεται, μνημονεύων ἐν πολλοῖς αὐτῶν ἑκάστου.

94. Καὶ τὴν τάξιν δ' αὐτῶν ὅπως ἔχει κατέμαθεν. ὅτι μὲν γὰρ ἡ γῆ κατωτάτω πάντων ἐστί, θεασόμεθα· σφαιροειδοῦς γὰρ ὄντος τοῦ κόσμου, ὁ μὲν περιέχων τὰ πάντα οὐρανὸς τὸν ἄνω τόπον ἐπέχειν εἰκότως λέγοιτ' ἄν, ἡ δὲ γῆ, ἐν μέσῳ οὖσα πανταχόθεν, κατωτέρω τοῦ περιέχοντος ἐστί. τοῦτο δὴ ὁ ποιητὴς ἐν τούτοις μάλιστα δηλοῖ, ἐν οἷς

9 Hom. Ξ 246 ib. ὠκεανοῦ ὅσπερ idem. cf. p. 938 d
14 id. *H* 99. cf. p. 1105 a

φησιν, εἰ ὁ Ζεὺς ἀπὸ τοῦ Ὀλύμπου σειρὰν ἀνάψαιτο, τὴν γῆν καὶ τὴν θάλασσαν ἀνασπάσειν, ὡς πάντα μετέωρα γενέσθαι

'ἀλλ' ὅτε κεν καὶ ἐγὼ πρόφρων ἐθέλοιμι ἐρύσσαι,
αὐτῇ κεν γαίῃ ἐρύσαιμ' αὐτῇ τε θαλάσσῃ·
σειρὴν μέν κεν ἔπειτα περὶ ῥίον Οὐλύμποιο
δησαίμην, τὰ δέ κ' αὖθι μετήορα πάντα γένοιτο'.

95. Ὑπὲρ δὲ τῆς γῆς ὄντος τοῦ ἀέρος, τὸν αἰθέρα ὑψηλότερον εἶναί φησιν οὕτως

'εἰς ἐλάτην ἀναβὰς περιμήκετον, ἣ τότ' ἐν Ἴδῃ
ἀκροτάτη πεφυυῖα δι' ἠέρος αἰθέρ' ἵκανε'·

τοῦ δ' αἰθέρος ἀνωτέρω τὸν οὐρανόν

'ὣς οἱ μὲν μάρναντο· σιδήρειος δ' ὀρυμαγδὸς
χάλκεον οὐρανὸν ἷκε δι' αἰθέρος ἀτρυγέτοιο'·

καὶ ἔτι ἐν τούτῳ

'ἠερίη δ' ἀνέβη μέγαν οὐρανὸν Οὔλυμπόν τε'·

τὸ γὰρ καθαρώτερον τοῦ ἀέρος, ἀνωτάτω ὄν, καὶ τὸ μάλιστ' ἀπέχον τῆς γῆς καὶ τῶν ἐξ αὐτῆς ἀναθυμιάσεων ὡς 'ὅλον λαμπρόν' φασὶν Ὄλυμπον προσηγορεῦσθαι.

96. Ἐν οἷς δέ φησιν ὁ ποιητὴς συνοικεῖν τῷ Διὶ τὴν Ἥραν οὖσαν ἀδελφὴν δοκεῖ ταῦτα ἀλληγορεῖσθαι, ὅτι Ἥρα μὲν νοεῖται ὁ ἀήρ, ἥπερ ἐστὶν ὑγρὰ οὐσία· διὸ καὶ λέγει

1 εἰ Duebnerus 4 Hom. Θ 23 7 αὖθι] αὖτε idem 10 id. Ξ 287 11 μακροτάτη idem 13 id. Ρ 424 16 id. Λ 497

'ἠέρα δ' Ἥρη
πίτνα πρόσθε βαθεῖαν'·

Ζεὺς δ' ὁ αἰθήρ, τουτέστιν ἡ πυρώδης καὶ ἔνθερμος οὐσία

'Ζεὺς δ' ἔλαχ' οὐρανὸν εὐρὺν ἐν αἰθέρι καὶ νεφέλησιν'.

ἀδελφοὶ μὲν οὖν ἔδοξαν διὰ τὴν συνάφειαν καὶ τὴν κατά τι ὁμοιότητα, ὅτι ἄμφω κοῦφοι καὶ κινούμενοι· σύνοικοι δὲ καὶ ὁμόλεκτροι, ὅτι ἐξ αὐτῶν συνιόντων γεννᾶται τὰ πάντα· διὸ καὶ ἐν τῇ Ἴδῃ συνέρχονται καὶ ἡ γῆ αὐτοῖς φύει τὰς πόας καὶ τὰ ἄνθη.

97. Τοῦ δ' αὐτοῦ λόγου ἔχεται κἀκεῖνα, ἐν οἷς φησιν ὁ Ζεὺς κρεμᾶσθαι τὴν Ἥραν καὶ ἐξάπτεσθαι τῶν ποδῶν αὐτῆς ἄκμονας δύο, τουτέστι τὴν γῆν καὶ τὴν θάλασσαν. μάλιστα δ' ἐν ἐκείνοις ἐξεργάζεται τὸν περὶ στοιχείων λόγον, δι' ὧν ὁ Ποσειδῶν λέγει αὐτῷ

'τρεῖς γάρ τ' ἐκ Κρόνου εἰμὲν ἀδελφεοί, οὓς τέκε ['Ρεία,
Ζεὺς καὶ ἐγώ, τρίτατος δ' Ἀίδης ἐνέροισιν ἀνάσσων'·

καί

'τριχθὰ δὲ πάντα δέδασται, ἕκαστος δ' ἔμμορε τιμῆς'·

καὶ ὅτι ἐν τῇ τοῦ παντὸς νομῇ Ζεὺς μὲν ἔλαχε τὴν τοῦ πυρὸς οὐσίαν, Ποσειδῶν δὲ τὴν τοῦ ὕδατος,

1 id. Φ 6 5 id. O 192 19 id. ib. 187 ib. τ' ἐκ idem: τε. ib. τέκετο 'Ρέα idem 22 id. ib. 189

Ἄιδης δὲ τὴν τοῦ ἀέρος· τοῦτον γὰρ λέγει ζόφον ἠερόεντα, ἐπειδὴ φῶς οἰκεῖον οὐκ ἔχει, ἀλλ' ὑπὸ ἡλίου καὶ σελήνης καὶ τῶν ἄλλων ἄστρων καταλάμπεται.

98. Τετάρτη δὲ κατελείφθη καὶ κοινὴ πάντων ἡ γῆ. ἡ μὲν γὰρ τῶν τριῶν στοιχείων οὐσία κινεῖται ἀεί, μόνη δ' ἀκίνητος ἡ γῆ μένει, ᾗ καὶ τὸν Ὄλυμπον προσέθηκεν· εἰ μὲν γὰρ ὄρος ἐστίν, ὡς μέρος τῆς γῆς· εἰ δὲ τοῦ οὐρανοῦ τὸ λαμπρότατον καὶ καθαρώτατον, ὡς καὶ ταύτης οὔσης ἐν τοῖς στοιχείοις πέμπτης οὐσίας, ὅπερ ᾠήθησάν τινες τῶν ἐνδόξων φιλοσόφων. ὥστε κατὰ τὸ εἰκὸς κοινὰ ὑπέθετο εἶναι, τήν τε γῆν κατωτάτω διὰ βαρύτητα, καὶ τὸν Ὄλυμπον ἀνωτάτω ὄντα διὰ κουφότητα, ὅτι εἰς ταῦτα αἱ μεταξὺ φύσεις πῇ μὲν καταφέρονται πῇ δ' ἀναφέρονται.

99. Τῆς δὲ τῶν στοιχείων φύσεως ἐξ ἐναντίων συνεστώσης, ξηρότητός τε καὶ ὑγρότητος καὶ θερμότητος καὶ ψυχρότητος, ὑπὸ δὲ τῆς πρὸς ἄλληλα ἀναλογίας καὶ κράσεως ἐναπεργαζομένης τὸ πᾶν καὶ μεταβολὰς μὲν μερικὰς ὑπομενούσης τοῦ δὲ παντὸς λύσιν μὴ ἐπιδεχομένης, Ἐμπεδοκλῆς ἔφη τὰ ὅλα συνεστάναι οὕτως

'ἄλλοτε μὲν φιλότητι συνερχόμεν' εἰς ἓν ἅπαντα,
ἄλλοτε δ' αὖτις ἕκαστα φορεύμενα νείκεος ἔχθει',

τὴν μὲν συμφωνίαν καὶ ἕνωσιν τῶν στοιχείων φιλίαν προσαγορεύσας, νεῖκος δὲ τὴν ἐναντίωσιν.

24 vid. Mullach fr. I p. 3 vs. 68 25 αὖτις] αὖ δίχ' Simplicius

100. *Πρὸ δὲ τούτου Ὅμηρος τὴν φιλίαν καὶ τὸ νεῖκος αἰνίσσεται, ἐν οἷς φησιν ἡ Ἥρα παρ' αὐτῷ*

'εἶμι γὰρ ὀψομένη πολυφόρβου πείρατα γαίης,
Ὠκεανόν τε, θεῶν γένεσιν, καὶ μητέρα Τηθύν·
τοὺς εἶμ' ὀψομένη, καί σφ' ἄκριτα νείκεα λύσω'.

101. *Τοιοῦτον δέ τι καὶ τὴν Ἀφροδίτην καὶ τὸν Ἄρην ὁ μῦθος αἰνίσσεται, τῆς μὲν ταὐτὸ δυναμένης ὃ παρὰ τῷ Ἐμπεδοκλεῖ ἡ φιλία, τοῦ δ' ὃ παρ' ἐκείνῳ τὸ νεῖκος. ὅθεν ποτὲ μὲν σύνεισιν ἀλλήλοις, ποτὲ δὲ διαλύονται· ἐλέγχει δ' αὐτοὺς Ἥλιος· καὶ δεσμοῖ μὲν αὐτοὺς Ἥφαιστος, λύει δὲ Ποσειδῶν. ἐν οἷς δῆλόν ἐστιν, ὅτι ἡ ἔνθερμος καὶ ἡ ταύτῃ ἐναντία, ἡ ψυχρά τε καὶ ὑγρά, ποτὲ μὲν συνάγουσι τὰ πάντα ποτὲ δὲ λύουσιν.*

102. *Ἀκολουθεῖ δὲ τούτοις καὶ τὸ παρὰ τοῖς ἄλλοις ποιηταῖς εἰρημένον, ὅτι ἐκ τῆς Ἄρεος καὶ Ἀφροδίτης συνουσίας Ἁρμονία συνέστηκεν, ἐξ ἐναντίων, βαρέων τε καὶ ὀξέων, κιρναμένων ἀλλήλοις ἀναλόγως. ὅπως δ' ἀντίκειται ἀλλήλοις τὰ τῆς ἐναντίας φύσεως τετυχηκότα, αἰνίττεσθαι ἔοικεν ὁ ποιητὴς καὶ ἐν τῇ παρατάξει τῶν θεῶν, ἐν ᾗ πεποίηκε τοὺς μὲν τοῖς Ἕλλησι τοὺς δὲ τοῖς Τρωσὶ βοηθοῦντας, ἀλληγορικῶς ἐμφαίνων τὰς δυνάμεις ἑκάστου· καὶ τὸν μὲν Φοῖβον τῷ Ποσειδῶνι ἀντιτάσσει, τὸ θερμὸν καὶ ξηρὸν τῷ ὑγρῷ καὶ ψυχρῷ· τὴν δ' Ἀθηνᾶν τῷ Ἄρει, τὸ λογιστικὸν τῷ ἀλογίστῳ, τουτέστι τὸ ἀγαθὸν τῷ κακῷ· τὴν δ' Ἥραν*

3 Hom. Ξ 200

τῇ Ἀρτέμιδι, τὸν ἀέρα τῇ σελήνῃ, καὶ ὅτι ὁ μὲν σταθερός, ἡ δὲ πολυκίνητος· τὸν δ' Ἑρμῆν τῇ Λητοῖ, ὅτι ὁ μὲν λόγος ἀεὶ ζητεῖ καὶ μέμνηται, ἡ δὲ λήθη τούτῳ ἐστὶν ἐναντίον· τὸν δ' Ἥφαιστον τῷ ποταμῷ κατὰ τὸν αὐτὸν λόγον, καθ' ὃν τὸν ἥλιον τῇ θαλάσσῃ· θεατὴν δὲ τῆς μάχης τὸν πρῶτον θεὸν καὶ ἐπὶ τούτῳ γεγηθότα.

103. Ἐκ δὲ τῶν προειρημένων ἅμα καὶ τοῦτο ὑποδεικνὺς Ὅμηρος φαίνεται, καὶ ὅτι εἷς ἐστιν ὁ κόσμος καὶ πεπερασμένος. εἰ γὰρ ἄπειρος ἦν, οὐκ ἂν εἰς ἀριθμὸν πέρας ἔχοντα διῃρεῖτο. καὶ ἐν τῷ ὀνόματι σημαίνει τὸ σύμπαν, ὡς καὶ ἐν ἄλλοις πολλοῖς χρῆται ἀντὶ τοῦ ἑνικοῦ τῷ πληθυντικῷ. σαφέστερον δὲ τὸ αὐτὸ δηλοῖ ἐν τῷ εἰπεῖν 'πείρατα γαίης', καὶ πάλιν ἐν οἷς φησιν 'οὐδ' εἴ κε τὰ νείατα πείραθ' ἵκηται γαίης καὶ πόντοιο' καὶ ἐν τῷ 'ἀκροτάτῃ κορυφῇ πολυδειράδος Οὐλύμποιο'· ὅπου γάρ ἐστιν ἀκρότης, ἐκεῖ καὶ πέρας.

1 καὶ] del. Duebnerus, haud recte 9 καὶ ὅτι] malim ὅτι καὶ 11 verba καὶ ἐν τῷ ὀνόματι . . . πληθυντικῷ transponit post ἐκεῖ καὶ πέρας (lin. 18) W ita corrigens: καὶ ἓν τῷ ὀνόματι (sc. τῷ πέρατι) σημαίνει τὸ σύμπαν, ἐν ᾧ ὡς καὶ ἐν ἄλλοις . . . πληθυντικῷ. Duebnerus autem pro καὶ ἐν τῷ ὀνόματι scripsit πάντων δὲ τῷ ὀνόματι, ubi etiam verborum collocatio inusitata est. Scripserim πέρας ἔχοντα [πάντα] διῃρεῖτο. καὶ ἐν τῷ ὀνόματι (sc. vocabulo πάντα) σημαίνει τὸ σύμπαν κτλ. Ita verbis πάντα διῃρεῖτο respiciuntur nota illa 'τριχθὰ δὲ πάντα δέδασται' (Hom. *O* 189). Fort. tamen nil nisi hic versus post διῃρεῖτο supplendus est. Cf. c. 97. 12 σύμπαν *X*: σιωπᾶν 14 Hom. Ξ 200. 301 15 id. Θ 478 16 ἵκηαι Homerus 17 id. *A* 499

104. Ὅπως δὲ καὶ περὶ Ἡλίου γινώσκει, οὐκ ἄδηλον· ὅτι κυκλοφορικὴν ἔχων δύναμιν ποτὲ μὲν ὑπὲρ γαίης φαίνεται αὖθις δ' ὑπὸ γῆν ἄπεισι, καὶ τοῦτο δῆλον ποιεῖ λέγων

'ὦ φίλοι, οὐ γάρ τ' ἴδμεν ὅπῃ ζόφος οὐδ' ὅπῃ ἠώς,
οὐδ' ὅπῃ ἠέλιος φαεσίμβροτος εἶσ' ὑπὸ γαῖαν,
οὐδ' ὅπῃ ἀνεῖται'·

καὶ ὅτι ἀεὶ ὑπὲρ ἡμᾶς ἰών, καὶ διὰ τοῦτο ὑπερίων προσαγορευόμενος ὑπὸ αὐτοῦ τοῦ ποιητοῦ, τήν τε ἀνατολὴν ἐκ τοῦ περιέχοντος τὴν γῆν ὕδατος, τουτέστι τοῦ ὠκεανοῦ, ποιεῖται καὶ εἰς αὐτὸν καταδύεται, δηλοῖ σαφῶς, τὴν μὲν ἀνατολὴν κἀν τούτοις

'ἠέλιος δ' ἀνόρουσε, λιπὼν περικαλλέα λίμνην,
οὐρανὸν εἰς πολύχαλκον, ἵν' ἀθανάτοισι φαείνῃ',

τὴν δὲ δύσιν

'ἐν δ' ἔπεσ' Ὠκεανῷ λαμπρὸν φάος ἠελίοιο,
ἕλκον νύκτα μέλαιναν ἐπὶ ζείδωρον ἄρουραν'.

105. Δείκνυσι δ' αὐτοῦ καὶ τὸ εἶδος

'λαμπρὸς δ' ἦν ἠέλιος ὥς',

καὶ μέγεθος

'εὖτε γὰρ ἠέλιος φαέθων ὑπερέσχεθε γαῖαν'

καὶ ἔτι μᾶλλον ἐν τούτῳ

'ἦμος δ' ἠέλιος μέσον οὐρανὸν ἀμφιβεβήκει',

5 id. κ 190 7 corr. vid. ἀννεῖται 14 id. γ 1 15 ἐς idem 17 id. Θ 486 20 id. τ 234 21 μέγεθος] suspectum Xylandro 22 Hom. Λ 735, ubi γαίης Homerus 24 id. δ 400

καὶ τὴν δύναμιν

'Ἠέλιος, ὃς πάντ' ἐφορᾷ καὶ πάντ' ἐπακούει',

καὶ τὸ ἔμψυχον καὶ τὸ ἐπὶ τῇ κινήσει αὐτοπροαίρετον, ἐν οἷς ἀπειλεῖ

'δύσομαι εἰς Ἀίδαο καὶ ἐν νεκύεσσι φαείνω',

καὶ ἐπὶ τούτῳ ὁ Ζεὺς αὐτὸν παρακαλεῖ

'Ἠέλι', ἦ τοι μὲν σὺ μετ' ἀθανάτοισι φάεινε
καὶ θνητοῖσι βροτοῖσιν ἐπὶ ζείδωρον ἄρουραν'.

ἐξ ὧν δηλοῖ ὅτι οὐ πῦρ ἐστιν ὁ ἥλιος ἀλλ' ἑτέρα τις κρείσσων οὐσία· ὅπερ καὶ Ἀριστοτέλης ὑπέλαβεν, εἴ γε τὸ μὲν πῦρ ἐστιν ἀνωφερὲς καὶ ἄψυχον καὶ εὐδιάλειπτον καὶ φθαρτόν, ὁ δ' ἥλιος κυκλοφορητικὸς καὶ ἔμψυχος καὶ ἀίδιος καὶ ἄφθαρτος.

106. Καὶ τῶν ἄλλων δὲ τῶν κατὰ τὸν οὐρανὸν ἄστρων ὅτι οὐκ ἀπείρως Ὅμηρος εἶχεν, φανερόν ἐστιν ἐξ ὧν πεποίηκε

'Πληιάδας θ' Ὑάδας τε τό τε σθένος Ὠρίωνος'·

καὶ τὴν Ἄρκτον τὴν ἀεὶ στρεφομένην περὶ τὸν ἀειφανῆ πόλον τὸν βόρειον καὶ διὰ τὸ μετέωρον μὴ ἁπτομένην τοῦ ὁρίζοντος, ὅτι ἐν ἴσῳ χρόνῳ ὅ τε μικρότατος κύκλος, ἐν ᾧ ἐστιν ἡ Ἄρκτος, καὶ ὁ μέγιστος, ἐν ᾧ ὁ Ὠρίων, στρέφεται ἐν τῇ τοῦ κόσμου περιφορᾷ· καὶ τὸν βραδέως δυόμενον Βοώτην, ὅτι πολυχρόνιον ποιεῖται τὴν κατάδυσιν, οὕτω πεπτωκὼς θέσει, ὥστε ὀρθὸς καταφέρεσθαι καὶ συγκατα-

2 Hom. λ 109. cf. Γ 277 5 id. μ 383 7 id. ib. 385 12 εὐδιάλυτον W 17 Hom. Σ 486 18 καὶ τὴν Ἄρκτον κτέ.] cf. Schol. ε 272 21 ἡ * 22 ὁ * 25 ὀρθὸς *: ὀρθὸν

δύεσθαι τέσσαρσι ζῳδίοις, τῶν πάντων εἰς ὅλην νύκτα μεριζομένων ἓξ ζῳδίων. εἰ δὲ μὴ πάντα τὰ περὶ τῶν ἄστρων θεωρούμενα διεξῆλθεν, ὡς Ἄρατος ἢ ἄλλος τις, οὐ χρὴ θαυμάζειν· οὐ γὰρ τοῦτο προέκειτο αὐτῷ.

107. *Οὐκ ἀγνοεῖ δὲ τὰς αἰτίας τῶν περὶ τὰ στοιχεῖα συμπτωμάτων, οἷον σεισμῶν καὶ ἐκλείψεων. ἐπεὶ γὰρ ἡ γῆ σύμπασα μετέχει ἐν ἑαυτῇ ἀέρος τε καὶ πυρὸς καὶ ὕδατος, ὑφ' ὧν καὶ περιέχεται, κατὰ τὸ εἰκὸς ἐν βάθει αὐτῆς συνίστανται ἀτμοὶ πνευματώδεις. τούτους φασὶν ἔξω μὲν φερομένους κινεῖν τὸν ἀέρα, εἱρχθέντας δ' ἀνοιδαίνειν, εἰς τὸ ἔξω βιαζομένους. τοῦ δ' ἀνειλεῖσθαι τὸ πνεῦμα ἐντὸς τῆς γῆς τὴν θάλασσαν αἰτίαν εἶναι νομίζουσιν, ἐμφράσσουσαν ἐνίοτε τὰς εἰς τὸ ἔξω διόδους, ἔστι δ' ὅτε ὑποχωροῦσαν αὐτὴν κατερείπειν τῆς γῆς τινα μέρη. καὶ τοῦτο οὖν Ὅμηρος εἰδὼς τὴν αἰτίαν τῶν σεισμῶν τῷ Ποσειδῶνι ἀνατίθησι, Γαιήοχόν τε αὐτὸν καὶ Ἐνοσίχθονα προσαγορεύων.*

108. *Ἐπεὶ δέ, τῶν πνευμάτων ἐντὸς τῆς γῆς καθειργνυμένων, νηνεμίαι συμβαίνουσι καὶ ζόφοι καὶ ἀμαυρώσεις τοῦ ἡλίου, σκεψώμεθα εἰ καὶ τοῦτο συνεῖδε. πεποίηκε μὲν γὰρ τὸν Ποσειδῶνα σείοντα τὴν γῆν μετὰ τὴν Ἀχιλλέως ἔξοδον ἐπὶ τὴν μάχην. προειρήκει δ' ἐπὶ τῆς προτεραίας, ὁποία ἦν ἡ τοῦ ἀέρος κατάστασις· ἐπὶ μὲν τοῦ Σαρπηδόνος*

'Ζεὺς δ' ἐπὶ νύκτ' ὀλοὴν τανύσας κρατερῇ ὑσμίνῃ'·

καὶ πάλιν ἐπὶ τοῦ Πατρόκλου

27 Hom. *Π* 567 ib. *τάνυσε* Homerus

'οὐ δέ κε φαίης
οὔτε ποτ' ἠέλιον σόον ἔμμεναι οὔτε σελήνην·
ἠέρι γὰρ κατέχοντο'·

καὶ μετ' ὀλίγον ὁ Αἴας εὔχεται

'Ζεῦ πάτερ, ἀλλὰ σὺ ῥῦσαι ὑπ' ἠέρος υἷας Ἀχαιῶν,
ποίησον δ' αἴθρην, δὸς δ' ὀφθαλμοῖσιν ἰδέσθαι'.

μετὰ δὲ τὸν σεισμόν, τοῦ πνεύματος ἔξω καταστάντος, σφοδροὶ γίνονται ἄνεμοι, ὅθεν Ἥρα φησίν

'αὐτὰρ ἐγὼ Ζεφύροιο καὶ ἀργέσταο Νότοιο
εἴσομαι ἐξ ἁλόθεν χαλεπὴν ὄρσουσα θύελλαν'.

εἶτα τῇ ὑστεραίᾳ τοὺς ἀνέμους ἡ Ἶρις ἐπὶ τὴν πυρὰν τοῦ Πατρόκλου παρακαλεῖ

'οἱ δ' ὀρέοντο
πνοιῇ ὑπὸ λιγυρῇ νέφεα κλονέοντες ὄπισθεν'.

οὕτως δὲ καὶ τὴν ἔκλειψιν τοῦ ἡλίου φυσικῶς γινομένην, ὅταν ἡ σελήνη ἐν τῇ πρὸς αὐτὸν συνόδῳ κατὰ κάθετον ὑπελθοῦσα ἐπισκοτήσῃ, εἰδὼς φαίνεται. προειπὼν γὰρ ὅτι ἐλεύσεται ὁ Ὀδυσσεύς

'τοῦ μὲν φθίνοντος μηνός, τοῦ δ' ἱσταμένοιο',

τουτέστιν ὅτε ἅμα παύεται καὶ ἄρχεται ὁ μήν, συνιούσης τῷ ἡλίῳ τῆς σελήνης, ἅμα τῷ ἐλθεῖν αὐτὸν φησὶν ὁ μάντις πρὸς τοὺς μνηστῆρας

'ἆ δειλοί, τί κακὸν τόδε πάσχετε; νυκτὶ μὲν ὑμέων
εἰλύαται κεφαλαί τε πρόσωπά τε νέρθε τε γοῦνα·

1 Hom. P 366   5 id. ib. 645   9 id. Φ 334   10 ita Homerus: ὀρέουσα   13 id. Ψ 212, sed ταὶ δ' ὀρέοντο ἠχῇ θεσπεσίῃ, νέφεα κλονέοντε πάροιθεν Homerus   19 id. ξ 162   23 id. υ 353   24 inter 24 et p. 389, 1 desunt duo versus

εἰδώλων δὲ πλέον πρόθυρον, πλείη δὲ καὶ αὐλὴ
ἐρχομένων ἔρεβόσδε ὑπὸ ζόφον· ἠέλιος δὲ
οὐρανοῦ ἐξαπόλωλε, κακὴ δ' ἐπιδέδρομεν ἀχλύς'.

109. Καὶ ἀνέμων δὲ φύσιν ἀκριβῶς κατενόησεν· ὧν τὴν μὲν γένεσιν ἐκ τῶν ὑγρῶν εἶναι· τοῦ μὲν γὰρ ὕδατος ἡ μεταβολὴ εἰς ἀέρα γίνεται, ὁ δ' ἄνεμός ἐστιν ἀὴρ ῥέων. τοῦτο δ' ἔν τε ἄλλοις πολλοῖς ἐμφαίνει καὶ ἐν οἷς φησιν

'ἀνέμων μένος ὑγρὸν ἀέντων'.

τὴν δὲ τάξιν αὐτῶν ὡς ἔχει διέθηκε

'σὺν δ' Εὖρός τε Νότος τ' ἔπεσε Ζέφυρός τε δυσαής,
καὶ Βορέης αἰθρηγενέτης μέγα κῦμα κυλίνδων'.

τούτων γὰρ ὁ μὲν ἀπὸ ἀνατολῆς ὁρμᾶται ὁ δ' ἀπὸ μεσημβρίας ὁ δ' ἀπὸ δύσεως ὁ δ' ἀπὸ ἄρκτου· καὶ ὁ μὲν Ἀπηλιώτης ὑγρὸς ὢν μεταβάλλει εἰς Νότον θερμὸν ὄντα, ὁ δὲ Νότος λεπτυνόμενος εἰς Ζέφυρον, ὁ δὲ Ζέφυρος, ἔτι μᾶλλον λεπτυνόμενος, εἰς Βορέαν ἀποκαθαίρεται· διό

'ὦσεν ἐπὶ κραιπνὸν Βορέην, τὰ δὲ κύματα ἄξεν.'

καὶ τὴν ἀντίθεσιν δ' αὐτῶν φυσικῶς ἐξηγήσατο

'ἄλλοτε μέν τε Νότος Βορέῃ προέηκε φέρεσθαι,
ἄλλοτε δ' αὖτ' Εὖρος Ζεφύρῳ εἴξασκε διώκειν'.

110. Ἠπίστατο δὲ κἀκεῖνος ὅτι ὁ βόρειος πόλος ὑπὲρ γῆν ἐστι μετέωρος, ὡς καθ' ἡμᾶς τοὺς ἐν τῷ

9 ε 478 11 id. ib. 295 19 id. ib. 385 ib. ὦρσε δ' ἐπὶ Homerus ib. τὰ] πρὸ idem. cf. Schol. ε 295 etiam de toto hoc loco 21 id. ib. 331, ubi προβάλεσκε Homerus pro προέηκε

κλίματι τούτῳ κατοικοῦντας, ὁ δὲ νότιος ἐκ τοῦ ἐναντίου βαθύς· ὅθεν ἐπὶ μὲν τοῦ βορείου φησί

'καὶ Βορέης αἰθρηγενέτης, μέγα κῦμα κυλίνδων',

ἐπὶ δὲ τοῦ νοτίου

'ἔνθα νότος μέγα κῦμα ποτὶ σκαιὸν ῥίον ὠθεῖ'·

καὶ τῷ μὲν *κυλίνδων* τὴν ἄνωθεν ἐμπίπτουσαν φορὰν τοῦ ἀνέμου ἐμφαίνει, τῷ δὲ *ὠθεῖ* τὴν ἀπὸ τοῦ κοιλοτέρου πρὸς τὸ ἄναντες βίαν.

111. Ὅτι δὲ καὶ ἡ τῶν ὑετῶν γένεσίς ἐστιν ἐκ τῆς τῶν ὑγρῶν ἀναθυμιάσεως, ἐπεδήλωσεν εἰπών

'κατὰ δ' ὑψόθεν ἧκεν ἐέρσας
αἵματι μυδαλέας ἐξ αἰθέρος'

καί

'αἱματοέσσας δὲ ψιάδας κατέχευεν ἔραζε'·

προειρήκει γάρ

'τῶν νῦν αἷμα κελαινὸν ἐύρροον ἀμφὶ Σκάμανδρον
ἐσκέδασ' ὀξὺς Ἄρης, ψυχαὶ δ' Ἄιδόσδε κατῆλθον'.

ὅθεν δῆλόν ἐστιν ὅτι τὰ ἀναφερόμενα ἀπὸ τῶν περὶ γῆν ὑδάτων ὑγρά, ἀναπεφυρμένα τῷ αἵματι, τοιαῦτα ἄνωθεν κατηνέχθη. τοῦ δ' αὐτοῦ λόγου ἔχεται κἀκεῖνο

'ἤματ' ὀπωρινῷ ὅτε λαβρότατον χέει ὕδωρ'·

τότε γὰρ ὁ ἥλιος ἐκ βάθους ἀνασπῶν διὰ ξηρότητα τῆς γῆς τὰ ὑγρὰ θολερὰ καὶ γεώδη ἀναφέρει, τὰ

3 Hom. ε 296 4 *ἐπὶ δὲ νοτίου .... κυλίνδων* add. W ib. *τοῦ* * 5 Hom. γ 295 5 et 7 *ὠθεῖ* scripsi: *ὤθει* 10 *ἐπεδήλωσεν*] fort. *ἔτι ἐδήλωσεν* 11 Hom. Λ 54 14 id. Π 459 16 id. Η 329 19 *αἵματι* Hercherus: *ὕδατι* 22 Hom. Π 385

δ' ὑπὸ βάρους λάβρα καταρρήγνυται. αἱ μὲν οὖν ὑγραὶ ἀναθυμιάσεις ὑετοὺς γεννῶσιν, αἱ δὲ ξηραὶ ἀνέμους. ὅταν δὲ νέφει ἐναποληφθῇ ἄνεμος, ἔπειτα βίᾳ ῥήξῃ τὸ νέφος, βροντὰς καὶ ἀστραπὰς ἀποτελεῖ· εἰ δ' ἐκπίπτοι ἡ ἀστραπή, κεραυνὸν ἀφίησιν. ὅπερ εἰδὼς ὁ ποιητὴς λέγει τὰ τοιαῦτα

'ἀστράψας δὲ μάλα μεγάλ' ἔκτυπε',

καὶ ἐν ἄλλοις

'Ζεὺς δ' ἄμυδις βρόντησε καὶ ἔμβαλε νηὶ κεραυνόν'.

112. Θεοὺς εἶναι πάντες οἵ γε ὀρθῶς φρονοῦντες νομίζουσι, καὶ πρῶτος Ὅμηρος. ἀεὶ γὰρ μέμνηται τῶν θεῶν, λέγων

'μάκαρες θεοί' 'ῥεῖα ζώοντες'.

ἀθάνατοι γὰρ ὄντες ῥᾳδίαν καὶ ἄπαυστον ἔχουσι τὴν τοῦ ζῆν φύσιν καὶ οὐ δέονται τροφῆς, ἧς δεῖται τῶν θνητῶν ζῴων τὰ σώματα·

'οὐ γὰρ σῖτον ἔδουσ', οὐ πίνουσ' αἴθοπα οἶνον·
τοὔνεκ' ἀναίμονές εἰσι καὶ ἀθάνατοι καλέονται'.

113. Ἐπεὶ δ' ἐδεῖτο ἡ ποίησις θεῶν ἐνεργούντων, ἵνα τὴν γνώμην αὐτῶν τῇ αἰσθήσει τῶν ἐντυγχανόντων παραστήσῃ, περιέθηκεν αὐτοῖς σώματα· οὐδὲν δ' ἄλλο σώματος εἶδος ἢ τὸ ἀνθρώπου δεκτικόν ἐστιν ἐπιστήμης καὶ λόγου· ᾧ προσεικάσας ἕκαστον τῶν θεῶν μετὰ τοῦ κοσμῆσαι μεγέθει τε

7 id. *P* 595   9 id. *μ* 415   13 distinxi; vid. *A* 406 et passim, Z 138 et pass.   17 id. E 341   20 γνώμην] γνῶσιν W   ib. τῇ id.   22 τὸ Piccolos: τοῦ   23 corrigas ᾧ Duebnerus

καὶ κάλλει ἅμα καὶ τοῦτο ὑπέδειξε τὸ εἰκόνας καὶ ἀγάλματα θεῶν εἰς ἀνθρώπων εἶδος ἠκριβωμένα ἱδρῦσθαι, ὑπὲρ τοῦ παρέχειν ὑπόμνησιν καὶ τοῖς ἔλασσον φρονοῦσιν, ὅτι εἰσὶ θεοί.

114. Τούτων δὲ πάντων ἀρχηγὸν καὶ ἡγεμόνα τὸν πρῶτον θεὸν νομιζόντων τῶν ἀρίστων φιλοσόφων ἀσώματον ὄντα καὶ νοήσει μᾶλλον καταληπτόν, καὶ Ὅμηρος ταῦτα ὑπολαμβάνων φαίνεται, παρ' ᾧ λέγεται ὁ Ζεύς

'πατὴρ ἀνδρῶν τε θεῶν τε'·
'ὦ πάτερ ἡμέτερε Κρονίδη, ὕπατε κρειόντων'·

καὶ αὐτὸς μὲν ὁ Ζεύς φησιν

'ὅσσον ἐγὼ περί τ' εἰμὶ θεῶν περί τ' εἴμ' ἀνθρώ- [πων'·

ἡ δ' Ἀθηνᾶ πρὸς αὐτόν

'εὖ νυ καὶ ἡμεῖς ἴδμεν ὅ τοι σθένος οὐκ ἐπιεικτόν'.

εἰ δὲ δεῖ καὶ τοῦτο ζητῆσαι, εἰ νοητὸν ἠπίστατο τὸν θεόν, οὐκ ἄντικρυς μέν, ἅτε ἐν ποιήσει πολὺ τὸ μυθῶδες ἐχούσῃ, ὅμως δ' ἔστι καταμαθεῖν ἐν οἷς φησιν

'εὗρεν δ' εὐρύοπα Κρονίδην ἄτερ ἥμενον ἄλλων'

καὶ ἐν οἷς αὐτὸς λέγει

'ἀλλ' ἦ τοι μὲν ἐγὼ μενέω πτυχὶ Οὐλύμποιο
ἥμενος, ἔνθ' ὁρόων φρένα τέρψομαι'·

2 εἰς W: μετὰ τοῦ εἰς 10 Hom. Δ 68 et passim 11 id. Θ 31 et pass. 13 id. ib. 27 ib. τόσσον id. 15 id. ib. 32 20 id. Λ 498 22 id. Υ 22

ἡ γὰρ μόνωσις αὕτη καὶ τὸ μὴ καταμιγνύειν τοῖς ἄλλοις θεοῖς ἑαυτὸν ἀλλὰ χαίρειν ἑαυτῷ συνόντα καὶ χρώμενον ἡσυχίαν ἄγοντι καὶ ἀεὶ διακοσμοῦντι τὰ πάντα τὴν τοῦ νοητοῦ θεοῦ φύσιν παρίστησιν. οἶδε δ' ὅτι νοῦς ἐστιν ὁ θεὸς ὁ πάντα ἐπιστάμενος καὶ διέπων τὸ πᾶν· φησὶ γὰρ ὁ Ποσειδῶν

'ἦ μὰν ἀμφοτέροισιν ὁμὸν γένος ἠδ' ἴα πάτρη,
ἀλλὰ Ζεὺς πρότερος γεγόνει καὶ πλείονα ἤδη'·

καὶ τοῦτο τὸ πολλάκις

'ἔνθ' αὖτ' ἄλλ' ἐνόησε'

τοῦτο σημαίνει ὅτι ἀεὶ διανοεῖται.

115. Τῆς δὲ τοῦ θεοῦ διανοίας ἔχεται καὶ ἡ Πρόνοια καὶ ἡ Εἱμαρμένη, περὶ ὧν εἴρηνται λόγοι πολλοὶ παρὰ τοῖς φιλοσόφοις· τούτων δὲ πάντων τὰς ἀφορμὰς Ὅμηρος παρέσχε. τὰ μὲν γὰρ τῆς προνοίας τῶν θεῶν τί ἂν καὶ λέγοι τις, ὅπου διὰ πάσης τῆς ποιήσεως οὐ μόνον πρὸς ἀλλήλους ὑπὲρ τῶν ἀνθρώπων διαλέγονται, ἀλλὰ καὶ καταβάντες ἐπὶ τὴν γῆν τοῖς ἀνθρώποις ὁμιλοῦσιν; ὀλίγα δὲ παραδείγματος ἕνεκα θεασόμεθα, ἐν οἷς ἐστιν ὁ Ζεὺς λέγων πρὸς τὸν ἀδελφόν

'ἔγνως, Ἐννοσίγαιε, ἐμὴν ἐνὶ στήθεσι βουλήν,
ὧν ἕνεκα ξυνάγειρα· μέλουσί μοι ὀλλύμενοί περ'·

καὶ ἐν ἄλλοις

'ὢ πόποι, ἦ φίλον ἄνδρα διωκόμενον περὶ τεῖχος
ὀφθαλμοῖσιν ὁρῶμαι, ἐμὸν δ' ὀλοφύρεται ἦτορ'.

7 id. *N* 351 8 ἤδη Homerus: ἤδει 10 id. *Ψ* 140. 193 22 id. *Υ* 20 25 id. *X* 168

116. Ἔτι δὲ τὸ βασιλικὸν ἀξίωμα καὶ τὸ φιλάνθρωπον ἦθος ἐμφαίνει εἰπών

'πῶς ἂν ἔπειτ' Ὀδυσῆος ἐγὼ θείοιο λαθοίμην,
ὃς πέρι μὲν νόον ἐστὶ βροτῶν, πέρι δ' ἱρὰ θεοῖσιν
ἀθανάτοισι δέδωκε, τοὶ οὐρανὸν εὐρὺν ἔχουσιν;'

ἐν οἷς ὁρᾶν ἔστιν ὅτι ἐπήνεσε τὸν ἄνδρα πρῶτον ἐπὶ τῷ νοῦν ἔχειν δεύτερον δ' ἐπὶ τῷ σέβειν θεούς.

117. Πῶς δ' αὐτοῖς τοῖς ἀνθρώποις ὁμιλοῦντας καὶ συμπονοῦντας ποιεῖ τοὺς θεούς, ἐν πολλοῖς ἔστι καταμαθεῖν· ὥσπερ καὶ τὴν Ἀθηνᾶν ποτὲ μὲν τῷ Ἀχιλλεῖ ἀεὶ δὲ τῷ Ὀδυσσεῖ, καὶ τὸν Ἑρμῆν τῷ Πριάμῳ καὶ αὖ πάλιν τῷ Ὀδυσσεῖ, καθόλου δ' ἀεὶ τοὺς θεοὺς τοῖς ἀνθρώποις παραστατεῖν οἴεται· φησὶ γάρ

'καί τε θεοὶ ξείνοισιν ἐοικότες ἀλλοδαποῖσι,
παντοῖοι τελέθοντες, ἐπιστρωφῶσι πόληας,
ἀνθρώπων ὕβριν τε καὶ εὐνομίην ἐφορῶντες'.

118. Τῆς δὲ προνοίας τῶν θεῶν ἴδιόν ἐστι τὸ βούλεσθαι δικαίως τοὺς ἀνθρώπους βιοῦν· καὶ τοῦτό φησιν ὁ ποιητὴς ἐναργέστατα

'οὐ γὰρ σχέτλια ἔργα θεοὶ μάκαρες φιλέουσιν,
ἀλλὰ δίκην τίουσι καὶ αἴσιμα ἔργ' ἀνθρώπων'·

καί

'Ζεύς, ὅστ' ἄνδρεσσι κοτεσσάμενος χαλεπήνῃ
οἳ βίῃ εἰν ἀγορῇ σκολιὰς κρίνωσι θέμιστας'.

3 Hom. α 65 5 ἔδωκε idem 15 id. ρ 485 21 id. ξ 83 ib. γὰρ] μὲν id. 24 id. Π 386 ib. ὅστ'] ὅτε δὴ Homerus

ὥσπερ γὰρ τοὺς θεοὺς προνοουμένους τῶν ἀνθρώπων εἰσάγει, οὕτω καὶ τοὺς ἀνθρώπους μεμνημένους αὐτῶν ἐν πάσῃ τύχῃ· καὶ ὁ μὲν εὐημερῶν στρατηγός φησιν

'ἔλπομαι, εὐχόμενος Διί τ' ἄλλοισίν τε θεοῖσιν,
ἐξελάαν ἐνθένδε κύνας κηρεσσιφορήτους',

ὁ δὲ κινδυνεύων

'Ζεῦ πάτερ, ἀλλὰ σὺ ῥῦσαι ὑπ' ἠέρος υἷας Ἀχαιῶν'·

καὶ πάλιν ὁ μὲν κτείνας

'ἐπειδὴ τόνδ' ἄνδρα θεοὶ δαμάσασθαι ἔδωκαν',

ὁ δὲ θνήσκων

'φράζεο νῦν, μή τοί τι θεῶν μήνιμα γένωμαι'.

119. *Πόθεν* οὖν ἄλλοθεν ἢ ἐκ τῶν εἰρημένων ἔστι τὸ δόγμα ἐκεῖνο τῶν Στωικῶν, τὸ δὴ ἕνα μὲν εἶναι τὸν κόσμον συμπολιτεύεσθαι δ' ἐν αὐτῷ θεοὺς καὶ ἀνθρώπους δικαιοσύνης μετέχοντας φύσει; καὶ γὰρ ὅταν εἴπῃ

'Ζεὺς δὲ Θέμιστ' ἐκέλευσε θεοὺς ἀγορήνδε καλέσσαι.'
'τίπτ' αὖτ', Ἀργικέραυνε, θεοὺς ἀγορήνδ' ἐκάλεσσας;
ἦ τι περὶ Τρώων καὶ Ἀχαιῶν μερμηρίζεις;',

τί ἄλλο ὑποδείκνυσιν ἢ ὅτι νόμῳ πόλεως ὁ κόσμος διοικεῖται καὶ προβουλεύονται οἱ θεοί, ἐξάρχοντος τοῦ θεῶν τε καὶ ἀνθρώπων πατρός;

5 id. Θ 526, ubi notanda est Zenodoti lectio ἔλπομαι εὐχόμενος 8 id. P 646 10 id. X 379 12 id. ib. 358 14 τὸ δὴ Duebnerus: τὸ δὲ 18 Hom. Υ 4 ib. Θέμιστα κέλευσε Homerus 19 id. 16

120. *Τὴν δὲ περὶ τῆς Εἱμαρμένης δόξαν δείκνυσιν ἐν ἐκείνοις σαφῶς*

'μοῖραν δ' οὔ τινά φημι πεφυγμένον ἔμμεναι ἀν- [δρῶν,
οὐ κακὸν οὐδὲ μὲν ἐσθλὸν, ἐπὴν τὰ πρῶτα γένηται'·

καὶ ἐν οἷς ἄλλοις κρατύνει τὴν δύναμιν τῆς εἱμαρμένης. ἡγεῖται μέντοι καὶ αὐτός, ὥσπερ καὶ μετ' αὐτὸν οἱ δοκιμώτατοι τῶν φιλοσόφων, Πλάτων καὶ Ἀριστοτέλης καὶ Θεόφραστος, οὐ πάντα καθ' εἱμαρμένην παραγίνεσθαι, ἀλλά τι καὶ ἐπὶ τοῖς ἀνθρώποις εἶναι, ὧν ὑπάρχειν μὲν τὸ ἑκούσιον, τούτῳ δέ πως συνάπτειν τὸ κατηναγκασμένον, ὅταν τις πράξας ὃ βούλεται εἰς ὃ μὴ βούλεται ἐμπέσῃ. καὶ ταῦτα σαφῶς ἐν πολλοῖς δεδήλωκεν, ὥσπερ καὶ ἐν ταῖς ἀρχαῖς ἑκατέρας τῆς ποιήσεως, ἐν μὲν τῇ Ἰλιάδι λέγων τὴν ὀργὴν τοῦ Ἀχιλλέως αἰτίαν τῆς ἀπωλείας τῶν Ἑλλήνων γενέσθαι καὶ τότε τὴν Διὸς βούλησιν ἐκτελεσθῆναι, ἐν δὲ τῇ Ὀδυσσείᾳ τοὺς ἑταίρους τοῦ Ὀδυσσέως διὰ τὴν αὐτῶν ἀβουλίαν ὀλέθρῳ περιπεσεῖν· ἐξήμαρτον γὰρ ἁψάμενοι τῶν ἱερῶν τοῦ Ἡλίου βοῶν, ἐξὸν ἀποσχέσθαι αὐτῶν· καὶ γὰρ ἦν προειρημένον

'τὰς εἰ μέν κ' ἀσινέας ἐάᾳς νόστου τε μέδηαι,
καί κεν ἔτ' εἰς Ἰθάκην κακά περ πάσχοντες ἵκοισθε·
εἰ δέ κε σίνηαι, τότε τοι τεκμαίρομ' ὄλεθρον'.

3 Hom. Z 488 5 *ἐν οἷς καὶ ἄλλοις* W 13 *ὥσπερ* W: *ὥστε* (*ὡς* Athous) 22 Hom. *λ* 110 ib. *ἐάᾳς* Homerus: *ἐᾷς*

οὕτως τὸ μὲν μὴ ἀδικῆσαι ἐπ' αὐτοῖς, τὸ δ' ἀδικήσαντας ἀπολέσθαι ἐκ τῆς εἱμαρμένης ἀκόλουθον ἦν.

121. Ἔνεστι δὲ καὶ τὸ ἄλλως συμβαῖνον ἐκ προνοίας διαφυγεῖν, ὅπερ ἐν τούτῳ παρίστησιν

'ἔνθα δὲ καὶ δύστηνος ὑπὲρ μόρον ὤλετ' Ὀδυσσεύς,
εἰ μὴ ἐπὶ φρεσὶ θῆκε θεὰ γλαυκῶπις Ἀθήνη·
ἀμφοτέρῃσι δὲ χερσὶν ἐπεσσύμενος λάβε πέτρης,
τῆς ἔχετο στενάχων, εἵως μέγα κῦμα παρῆλθεν'·

ἐνταῦθα γὰρ ἐκ τοῦ ἐναντίου κινδυνεύων ὑπὸ τύχης ἀπολέσθαι, ἐκ προνοίας ἐσώθη.

122. Καθάπερ δὲ περὶ τῶν θείων πολλοὶ καὶ ποικίλοι λόγοι παρὰ τοῖς φιλοσόφοις τὰς πλείστας ἀφορμὰς ἐξ Ὁμήρου λαβοῦσιν, οὕτω καὶ περὶ τῶν ἀνθρωπείων πραγμάτων, ὧν πρῶτον περὶ τῆς Ψυχῆς πειρασώμεθα. τὸ μὲν δὴ τῶν δογμάτων Πυθαγόρου καὶ Πλάτωνος γενναιότατόν ἐστι, τὸ εἶναι τὴν ψυχὴν ἀθάνατον, ᾗ καὶ πτερὰ τῷ λόγῳ προστίθησιν ὁ Πλάτων. τίς οὖν τοῦτο πρῶτον ἀνεφώνησεν; Ὅμηρος εἰπὼν ἄλλα τε καὶ ταῦτα

'ψυχὴ δ' ἐκ ῥεθέων πταμένη Ἄϊδόσδε βεβήκει',

εἰς τὸν ἀειδῆ καὶ ἀόρατον εἴτε ἀέρα θείη τις εἴτε ὑπόγειον τόπον. καὶ ἐν μὲν τῇ Ἰλιάδι ποιῶν τὴν τοῦ Πατρόκλου ψυχὴν ἐφισταμένην κοιμωμένῳ τῷ Ἀχιλλεῖ

'ἦλθε δ' ἐπὶ ψυχὴ Πατροκλῆος δειλοῖο'.

5 id. ε 436, ubi κε δὴ Homerus pro δὲ καὶ   6 id. ib. 427   20 id. Π 856   25 id. Ψ 65

καὶ λόγους αὐτῷ περιτίθησιν, ἐν οἷς καὶ τοῦτο λέγει

'τῆλέ με εἴργουσι ψυχαί, εἴδωλα καμόντων'.

ἐν δὲ τῇ Ὀδυσσείᾳ δι' ὅλης τῆς Νεκυίας τί ἄλλο ἢ τὰς ψυχὰς δείκνυσι μετὰ θάνατον διαμενούσας καὶ φθεγγομένας ἅμα τῷ πιεῖν τοῦ αἵματος; καὶ γὰρ τοῦτο ᾔδει, ὅτι τὸ αἷμα νομὴ καὶ τροφή ἐστι τοῦ πνεύματος, τὸ δὲ πνεῦμά ἐστιν αὐτὴ ἡ ψυχὴ ἢ ὄχημα τῆς ψυχῆς.

123. Ἐναργέστατα δὲ κἀκεῖνο ἀπέφηνεν, ὅτι τὸν ἄνθρωπον οὐδὲν ἄλλο ἢ τὴν ψυχὴν νομίζει, ἐν οἷς λέγει

'ἦλθε δ' ἐπὶ ψυχὴ Θηβαίου Τειρεσίαο,
χρύσεον σκῆπτρον ἔχων'·

ἐπίτηδες γὰρ ἀπὸ τοῦ τῆς ψυχῆς ὀνόματος εἰς τὸ ἀρρενικὸν μετέβαλεν, ἵνα δείξῃ ὅτι ἡ ψυχὴ ἦν ὁ Τειρεσίας. καὶ ἐν τοῖς ἑξῆς πάλιν

'τὸν δὲ μέτ' εἰσενόησα βίην Ἡρακληείην,
εἴδωλον· αὐτὸς δὲ μετ' ἀθανάτοισι'·

καὶ γὰρ ἐν τούτοις πάλιν ἐδήλωσεν, ὅτι τὸ μὲν εἴδωλον, ὅπερ ἦν ἀποπεπλασμένον τοῦ σώματος, οὐκέτι τῆς ἐκείνου ὕλης ἐφελκόμενον ἐφαντάζετο, τὸ δὲ καθαρώτατον τῆς ψυχῆς ἀπελθὸν αὐτὸς ἦν ὁ Ἡρακλῆς.

2 Hom. Ψ 72   12 id. λ 90   17 id. ib. 601   20 ἀποπεπλασμένον *: ἀποπεπτασμένον. Locum W corr. ita: ἀπεσπασμένον τοῦ σώματος εἶχέ τι τῆς ἐκείνου κτλ.

124. Ὅθεν κἀκεῖνο δοκεῖ τοῖς φιλοσόφοις τὸ εἶναι τὸ σῶμα τρόπον τινὰ τῆς ψυχῆς δεσμωτήριον. καὶ τοῦτο δ' Ὅμηρος πρῶτος ἐδήλωσε· τὸ μὲν γὰρ τῶν ζώντων ἀεὶ δέμας προσαγορεύει, ὡς ἐν τούτοις 'οὐ δέμας οὐδὲ φυήν' καί 'δέμας δ' ἤικτο γυναικί' καί 'ἤ τοι ἐμὴν ἀρετήν, εἶδός τε δέμας τε'· τὸ δ' ἀποβεβληκὸς τὴν ψυχὴν οὐδὲν ἄλλο ἢ σῶμα καλεῖ, ὡς ἐν τούτοις 'σῶμα δὲ οἴκαδ' ἐμὸν δόμεναι πάλιν' καί 'σώματ' ἀκηδέα κεῖται ἐνὶ μεγάροις Ὀδυσῆος' καί 'σῶμα γὰρ ἐν Κίρκης μεγάρῳ κατελείπομεν ἡμεῖς'. τὸ γὰρ αὐτό, ζῶντος μὲν τοῦ ἀνθρώπου, δεσμὸς ἦν τῆς ψυχῆς, τελευτήσαντος δέ, ὡσπερεὶ σῆμα καταλείπεται.

125. Τούτῳ δ' ἕπεται καὶ ἕτερον δόγμα τοῦ Πυθαγόρου, τὸ μεταβαίνειν τὰς ψυχὰς τῶν τελευτησάντων εἰς ἕτερα σωμάτων εἴδη. ἀλλ' οὐδὲ τοῦτο τῆς Ὁμήρου διανοίας ἐκτός ἐστιν· ὁ γὰρ ποιήσας καὶ τὸν Ἕκτορα τοῖς ἵπποις διαλεγόμενον καὶ τὸν Ἀντίλοχον καὶ αὐτὸν τὸν Ἀχιλλέα, καὶ μὴ ὅτι διαλεγόμενον ἀλλὰ καὶ ἀκούοντα, καὶ τὸν κύνα πρὸ τῶν ἀνθρώπων καὶ τῶν οἰκείων ἐπιγινώσκοντα τὸν Ὀδυσσέα, τί ἄλλο ἢ τὴν κοινωνίαν τοῦ λόγου καὶ συγγένειαν τῆς ψυχῆς τῶν ἀνθρώπων καὶ τῶν ἄλλων ζῴων παρίστησι; καὶ οἱ τὰς βοῦς τοῦ Ἡλίου καταφαγόντες καὶ ἐκ τούτων ὀλέθρῳ περιπεσόντες ἐλέγχουσιν, ὅτι οὐ μόνον βόες ἀλλὰ καὶ πάντα τὰ

4 δέμας κτέ.] cf. p. 9, 25. Schol. A 5 Hom. *Α* 115 et pass. ib. id. *δ* 796 6 id. *σ* 251 8 id. *Η* 79 9 id. *ω* 187 10 id. *λ* 53

ἄλλα ζῷα, ὡς τῆς αὐτῆς φύσεως ζωτικῆς μετέχοντα, τιμᾶται ὑπὸ τῶν θεῶν.

126. *Καὶ τὸ μεταβάλλειν δὲ τοὺς ἑταίρους τοῦ Ὀδυσσέως εἰς σύας καὶ τοιαῦτα ζῷα τοῦτο αἰνίττεται, ὅτι τῶν ἀφρόνων ἀνθρώπων αἱ ψυχαὶ μεταλλάττουσιν εἰς εἴδη σωμάτων θηριωδῶν, ἐμπεσοῦσαι εἰς τὴν τοῦ παντὸς ἐγκύκλιον περιφοράν, ἣν Κίρκην προσαγορεύει καὶ κατὰ τὸ εἰκὸς Ἡλίου παῖδα ὑποτίθεται, οἰκοῦσαν ἐν τῇ Αἰαίῃ νήσῳ· ταύτην δ' ἀπὸ τοῦ αἰάζειν καὶ ὀδύρεσθαι τοὺς ἀνθρώπους ἐπὶ τοῖς θανάτοις κέκληκεν. ὁ δ' ἔμφρων ἀνήρ, αὐτὸς ὁ Ὀδυσσεύς, οὐκ ἔπαθε τὴν τοιαύτην μεταβολήν, παρὰ τοῦ Ἑρμοῦ, τουτέστι τοῦ λόγου, τὸ ἀπαθὲς λαβών· αὐτὸς δ' οὗτος καὶ εἰς Ἅιδου κάτεισιν, ὥσπερ εἶναι λέγων χωρίζειν τὴν ψυχὴν ἀπὸ τοῦ σώματος καὶ θεατὴς ψυχῶν τῶν τε ἀγαθῶν καὶ φαύλων γιγνόμενος.*

127. *Αὐτὴν δὲ τὴν ψυχὴν οἱ Στωικοὶ ὁρίζονται πνεῦμα συμφυὲς καὶ ἀναθυμίασιν αἰσθητικήν, ἀναπτομένην ἀπὸ τῶν ἐν σώματι ὑγρῶν, Ὁμήρῳ ἀκολουθήσαντες λέγοντι 'εἰς ὅ κ' ἀυτμὴ ἐνὶ στήθεσσι μένῃ' καὶ πάλιν 'ψυχὴ δὲ κατὰ χθονὸς ἠύτε καπνός'· ἐν οἷς τὸ μὲν ζωτικὸν πνεῦμα ἅτε ἔνικμον ὂν 'ἀυτμῇ' δηλοῖ, τὸ δὲ κατασβεννύμενον ἤδη 'καπνῷ' ἀπεικάζει.*

15 *ὥσπερ εἶναι λέγων χωρίζειν*] ubi *εἶναι* idem valet atque *ἐξεῖναι*, quod moneo propter W qui male corr. locum sanum 16 *καὶ*] deleam 21 Hom. *I* 609 22 id. *Ψ* 100 23 *ὂν* * ib. *ἀυτμῇ δηλοῖ* W: *ἀντιδιδοῖ*

καὶ αὐτῷ δὲ τῷ τοῦ πνεύματος ὀνόματι κέχρηται ἐπ' αὐτῆς

'ὣς εἰπὼν ἔμπνευσε μένος μέγα ποιμένι λαῶν'·

καί

'θυμὸν ἀποπνείων'·

καί

'ἡ δ' ἐπεὶ οὖν ἄμπνυτο, καὶ ἐς φρένα θυμὸς ἀγέρθη',

τουτέστι τὸ πνεῦμα διεσπαρμένον συνελέξατο· καί

'αὖθις δ' ἀμπνύνθη· περὶ δὲ πνοιὴ Βορέαο
ζώγρει ἐπιπνείουσα κακῶς κεκαφηότα θυμόν'·

τοῦ γὰρ λιποθυμοῦντος τὸ πνεῦμα ῥιπίσασα ἡ ἔξωθεν πνοὴ συμφυὴς οὖσα ζῶντα αὐτὸν κατέστησε. συναίρεται δὲ τῷ λόγῳ, ὅτι καὶ ἐπὶ τοῦ ἐκτὸς πνεύματος τῷ τῆς ψυχῆς ὀνόματι κέχρηται, εἰπών

'ἧκα μάλα ψύξασα'·

βούλεται γὰρ εἰπεῖν 'ἀντιπνεύσασα'.

128. Πλάτων δὲ καὶ Ἀριστοτέλης τὴν ψυχὴν ἀσώματον εἶναι ἐνόμισαν, ἀεὶ μὲν περὶ σῶμα εἶναι καὶ τούτου ὥσπερ ὀχήματος δεῖσθαι· διὸ καὶ ἀπαλλασσομένην τοῦ σώματος τὸ πνευματικὸν ἐφέλκεσθαι πολλάκις καθάπερ ἐκμαγεῖον ἣν ἔσχε τῷ σώματι

3 Hom. *O* 262 5 id. *Δ* 524 7 id. *X* 475 9 id. *E* 697 cf. Schol. B 11 *: λειποθυμοῦντος 15 Hom. *T* 440 18 μὲν] 'ut aut excidisse aliquid videatur aut praecedens εἶναι in οὖσαν mutandum' Duebnerus. Pro εἶναι priore μὲν et ἀεὶ δὲ pro ἀεὶ μὲν scr. Piccolos. Fort. pro μὲν scrib. μὴν 21 τῷ σώματι] τὸ σῶμα Duebnerus. Possis etiam περὶ τῷ σώματι

μορφὴν διαφυλάσσουσαν. οὕτως οὖν καὶ Ὅμηρος οὐδαμοῦ τῆς ποιήσεως εὑρεθήσεται σῶμα τὴν ψυχὴν καλῶν, ἀλλὰ τὸ ἐστερημένον ψυχῆς ἀεὶ τούτῳ τῷ ὀνόματι προσαγορεύει, ὡς καί τινων ἐν τοῖς πρόσθεν ἐμνημονεύσαμεν.

129. *Τῆς δὲ ψυχῆς ἐχούσης, ὡς καὶ τοῖς φιλοσόφοις δοκεῖ, τὸ μὲν λογικὸν ἐνιδρυμένον τῇ κεφαλῇ τὸ δ' ἄλογον, καὶ τούτου τὸ μὲν θυμικὸν ἐνοικοῦν τῇ καρδίᾳ τὸ δ' ἐπιθυμητικὸν ἐν τοῖς περὶ τὴν γαστέρα· ἆρ' οὖν οὐ πρότερος Ὅμηρος εἶδε τὴν τούτου διαφοράν, ὃς ἐποίησεν ἐπὶ μὲν τοῦ Ἀχιλλέως τὸν λογισμὸν τῷ θυμῷ μαχόμενον καὶ ἐν τῇ αὐτῇ ῥοπῇ διανοούμενον ἢ ἀμύνασθαι τὸν λελυπηκότα ἢ παῦσαι τὸν χόλον;*

'ἕως ὃ ταῦθ' ὥρμαινε κατὰ φρένα καὶ κατὰ θυμόν',

τουτέστι τὴν φρόνησιν καὶ τὴν ἀντικειμένην αὐτῷ θυμικὴν ὀργήν, ἧς τὴν φρόνησιν ἐπικρατοῦσαν πεποίηκε· τοῦτο γὰρ αὐτῷ ἡ ἐπιφάνεια τῆς Ἀθηνᾶς βούλεται. καὶ ἐν ἄλλοις δὲ ποιεῖ τὸν λογισμὸν τῷ θυμῷ παραινοῦντα καὶ ὥσπερ ἄρχοντα τῷ ὑποτεταγμένῳ κελεύοντα

'τέτλαθι δή, κραδίη, καὶ κύντερον ἄλλο ποτ' ἔτλης'.

καὶ πολλάκις μὲν τῷ λογισμῷ πείθεται τὸ θυμούμενον, ὡς ἐν τούτοις

'ὣς ἔφατ', ἐν στήθεσσι καθαπτόμενος φίλον ἦτορ·
τῷ δ' αὖτ' ἐν πείσῃ κραδίη μένε τετληκυῖα'.

15 Hom. *Α* 193 22 id. *υ* 18 25 id. ib. 22 26 *τετληυῖα* id.

ὁμοίως δὲ καὶ τὸ λυπούμενον

‘ἀλλὰ τὰ μὲν προτετύχθαι ἐάσομεν ἀχνύμενοί περ,
θυμὸν ἐνὶ στήθεσσι φίλον δαμάσαντες ἀνάγκῃ’.

ἐνίοτε δὲ περιγινόμενον τὸν θυμὸν τοῦ λογισμοῦ παρίστησιν· ὅπερ οὐκ ἐπαινῶν ἀλλὰ ψέγων φανερός ἐστιν· ὡς ὁ Νέστωρ τῷ Ἀγαμέμνονι τὴν εἰς τὸν Ἀχιλλέα ὕβριν ὀνειδίζων φησίν

‘οὔ τι καθ’ ἡμέτερόν γε νόον· μάλα γάρ τοι ἔγωγε
πόλλ’ ἀπεμυθεόμην· σὺ δὲ σῷ μεγαλήτορι θυμῷ
εἴξας ἄνδρα φέριστον, ὃν ἀθάνατοί περ ἔτισαν,
ἠτίμησας’.

ὅμοια δὲ τούτοις καὶ ὁ Ἀχιλλεὺς πρὸς τὸν Αἴαντα λέγει

‘πάντα τί μοι κατὰ θυμὸν ἐείσαο μυθήσασθαι·
ἀλλά μοι οἰδάνεται κραδίη χόλῳ, ὁππότ’ ἐκείνου
μνήσομαι, ὅς μ’ ἀσύφηλον ἐν Ἀργείοισιν ἔρεξεν’.

οὕτω δὲ καὶ ὑπὸ φόβου ἔστιν ὅτε ὁ λογισμὸς ἐξίσταται· ὅπου Ἕκτωρ μὲν διανοεῖται ὑποστῆναι τὴν πρὸς τὸν Ἀχιλλέα μάχην

‘βέλτερον αὖτ’ ἔριδι ξυνελαυνέμεν· ὅττι τάχιστα
εἴδομεν ὁπποτέρῳ κεν Ὀλύμπιος εὖχος ὀρέξῃ’·

εἶτ’ ἀναχωρεῖ πλησίον γενομένου τοῦ Ἀχιλλέως

‘Ἕκτορα δ’, ὡς ἐνόησεν, ἕλε τρόμος· οὐδ’ ἄρ’ ἔτ’ ἔτλη
αὖθι μένειν· ὀπίσω δὲ πύλας λίπε, βῆ δὲ φοβηθείς’.

2 id. Σ 112 8 id. Ι 108 14 id. ib. 645 15 ἐκείνων Homerus 16 ὅς] ὥς id. cf. Schol. B 18 ὅπου] οἷον ὅπου? 20 Hom. Χ 129 23 id. ib. 136

130. Ἔστι δὲ κἀκεῖνο δῆλον, ὅτι τὰ πάθη περὶ τὴν καρδίαν συνίστησιν· ὀργὴν μὲν οὕτως

‘κραδίη δέ οἱ ἔνδον ὑλάκτει’·

λύπην δέ

‘τέο μέχρις ὀδυρόμενος καὶ ἀχεύων
σὴν ἔδεαι κραδίην;’

τὸν δὲ φόβον

‘κραδίη δέ μοι ἔξω
στηθέων ἐκθρῴσκει, τρομέει δ' ὑπὸ φαίδιμα γυῖα’.

κατὰ τὸν αὐτὸν δὲ λόγον, ὥσπερ τὸν φόβον, οὕτω καὶ θάρσος περὶ καρδίαν ἀποφαίνει

‘ἐν δὲ σθένος ὦρσεν ἑκάστου
καρδίῃ, ἄλληκτον πολεμίζειν ἠδὲ μάχεσθαι’.

ἐκ δὲ τῶν εἰρημένων ἔδοξε τοῖς Στωικοῖς τὸ ἡγεμονικὸν εἶναι περὶ καρδίαν. τὸ δ' ἐπιθυμητικὸν ὅπως περὶ γαστέρα, ἔν τε πολλοῖς διασαφεῖ καὶ ἐν τούτοις

‘ἀλλά με γαστὴρ
ὀτρύνει κακοεργός’·

καί

‘γαστέρα δ' οὔ πως ἔστιν ἀποκρύψαι μεμαυῖαν’.

131. Καὶ τὰς αἰτίας δὲ τῶν περὶ τὸ θυμικὸν μέρος τῆς ψυχῆς φύσει συμβαινούσας κατεῖδε, τὴν

3 Hom. υ 13   5 id. Ω 128   8 id. Κ 95   12 id. Λ 11. Ξ 151, ubi Ἀχαιοῖσιν δὲ μέγα σθένος ἔμβαλ' ἑκάστῳ Homerus   16 ἔν τε πολλοῖς *: ἐν πολλοῖς cf. cap. 148 et 202, unde fort. etiam ἔν τε πολλοῖς ἄλλοις aut ἔν τε ἄλλοις   16 ὅπως] sc. ἐστί, sed malim ὅτι ut ὅπως ex ὅτι et ὡς coaluisse videatur   18 Hom. σ 54   21 id. ρ 286

μὲν ὀργὴν ὑπὸ λύπης ἐγγινομένην, ζέσιν δέ τινα τοῦ αἵματος καὶ τοῦ ἐν αὐτῷ πνεύματος οὖσαν ἐμφαίνων, ὡς ἐν τούτοις

'ἀχνύμενος· μένεος δὲ μέγα φρένες ἀμφιμέλαιναι
πίμπλαντ'· ὄσσε δέ οἱ πυρὶ λαμπετόωντι ἐίκτην'·

μένος γὰρ τὸ πνεῦμα προσαγορεύειν ἔοικε, τοῦτο δ' ἐκτείνεσθαι καὶ φλέγεσθαι ἐπὶ τῶν θυμουμένων οἴεται. πάλιν δ' αὖ τὸ τῶν φοβουμένων πνεῦμα συγχεόμενον καὶ καταψυχόμενον τὰς φρίκας καὶ τοὺς τρόμους ποιεῖ καὶ τὰς ὠχριάσεις ἐν τοῖς σώμασι. πάντα γὰρ ταῦτα συμβαίνει ὑπὸ ψύξεως· ἡ μὲν ὠχρότης ὅτι, τοῦ θερμοῦ συντρέχοντος εἰς τὰ μέσα, τὸ ἔρευθος ἀπολείπει τὴν ἐπιφάνειαν· ὁ δὲ τρόμος, ὅτι ἐντὸς συνειλούμενον τὸ πνεῦμα ἀράσσει τὸ σῶμα· ἡ δὲ φρίκη, ὅτι πηγνυμένου τοῦ ὑγροῦ αἱ τρίχες πιεζόμεναι ἀνίστανται. πάντα οὖν ταῦτα σαφῶς σημαίνει Ὅμηρος· φησὶ γὰρ τό 'χλωροὶ ὑπαὶ δείους' καί 'χλωρὸν δέος ᾕρει' καί 'τρομέει δ' ὑπὸ φαίδιμα γυῖα' καί

'ὣς φάτο· σὺν δὲ γέροντι νόος χύτο, δείδιε δ' αἰνῶς·
ὀρθαὶ δὲ τρίχες ἔσταν ἐνὶ γναμπτοῖσι μέλεσσι'.

κατὰ ταῦτα οὖν καὶ τὸ ἐφοβήθη ῥίγησε λέγει καὶ τὸν φόβον κρυόεντα προσαγορεύει, ἐκ δὲ τοῦ ἐναντίου θαλπωρὴν τὸ θάρσος καὶ τὴν ἀγαθὴν

4 id. *A* 103 7 ἐκτείνεσθαι W: ἐγγίνεσθαι 14 ταράσσει? 17 Hom. *O* 4 18 id. *H* 479 pass. ib. id. *K* 95 ib. δ' Duebnerus 20 Hom. *Ω* 358

ἐλπίδα. τὰ μὲν οὖν φαῦλα πάθη τοῦτον διαιρεῖται τὸν τρόπον.

132. Πάλιν δὲ τῶν περὶ Ἀριστοτέλην ἀστεῖα πάθη ἡγουμένων τὴν νέμεσιν καὶ τὸν ἔλεον (τοὺς γὰρ ἀγαθοὺς δάκνεσθαι ἐπὶ τοῖς πλησίον, εἰ παρ' ἀξίαν εὐτυχοῦσιν, ὅπερ νέμεσις καλεῖται, ἢ παρ' ἀξίαν δυστυχοῦσιν, ὃ δὴ λέγεται ἐλεεῖν), ταῦτα καὶ Ὅμηρος προσήκειν τοῖς ἀγαθοῖς νομίζει, ὅπου καὶ τῷ Διὶ ἀνατίθησιν αὐτά· ποιεῖ γὰρ ἄλλα τε καὶ ταῦτα

'Αἴαντος δ' ἀλέεινε μάχην Τελαμωνιάδαο·
Ζεὺς γάρ οἱ νεμεσᾶθ' ὅτ' ἀμείνονι φωτὶ μάχοιτο'.

καὶ ἐν ἄλλοις πάλιν οἰκτείρει τὸν αὐτὸν τρόπον διωκόμενον περὶ τεῖχος.

133. Περὶ δ' ἀρετῆς καὶ κακίας ψυχῆς ἣν ἔχει δόξαν ὁ ποιητής, ἐν πολλοῖς παρίστησιν. ἐπεὶ γὰρ τὸ μέν τι τῆς ψυχῆς νοερὸν καὶ λογικόν ἐστι τὸ δ' ἄλογον καὶ ἐμπαθές, καὶ διὰ τοῦτο μέσος θεοῦ καὶ θηρίου γέγονεν ἄνθρωπος, τὴν μὲν ἄκραν ἀρετὴν θείαν ἡγεῖται τὴν δ' ἄκραν κακίαν θηριωδίαν, ὡς ὕστερον Ἀριστοτέλης ἐνόμισε. καὶ ταῦτα ἐμφανίζει ἐν ταῖς ὁμοιώσεσιν· ἀεὶ γὰρ τοὺς ἀγαθοὺς ὀνομάζει θεοειδεῖς καὶ 'Διὶ μῆτιν ἀτάλαντον'· τῶν δὲ φαύλων τοὺς μὲν δειλοὺς 'φυζακινοῖς ἐλάφοισιν' εἴκασε καὶ προβάτοις ἀσημάντοις καὶ λαγωοῖς διωκομένοις· ἐπὶ δὲ τῶν προπετῶς καὶ ἀνοήτως ὑπὸ ὀργῆς φερομένων φησί

10 Hom. *Λ* 542 22 id. *Β* 169 pass. 24 εἴκασε *: ἐοίκασε cod. Vindobonensis, ἐοίκεσαν ceteri ut Homerus *Ν* 102 qui φυζακινῆς

'οὔτ' οὖν πορδάλιος τόσσον μένος οὔτε λέοντος,
οὔτε συός κάπρου τ' ὀλοόφρονος (οὗ τε μάλιστα
θυμὸς ἐνὶ στήθεσσι περὶ σθένεϊ βλεμεαίνει),
ὅσσον Πάνθου υἷες ἐυμμελίαι φρονέουσι'·

τοὺς δὲ λυπουμένων ἐμπαθέστερον ὀδυρμοὺς ἀηδόνων φωναῖς ἀπεικάζει

'οἷσί τε τέκνα
ἀγρόται ἐξείλοντο πάρος πετεηνὰ γενέσθαι'.

134. Οἱ μὲν οὖν Στωικοὶ τὴν ἀρετὴν τίθενται ἐν τῇ ἀπαθείᾳ, ἐκείνοις ἑπόμενοι, ἐν οἷς πᾶν πάθημα ἀναιρεῖ, λέγων περὶ μὲν λύπης

'ἀλλὰ χρὴ τὸν μὲν καταθάπτειν ὅς κε θάνῃσι,
νηλέα θυμὸν ἔχοντας, ἐπ' ἤματι δακρύσαντας'

καί

'τίπτε δεδάκρυσαι, Πατρόκλεις, ἠύτε κούρη;'

περὶ δ' ὀργῆς

'ὡς ἔρις ἔκ τε θεῶν ἔκ τ' ἀνθρώπων ἀπόλοιτο'·

περὶ δὲ τοῦ φόβου

'μή τι φόβονδ' ἀγόρευ', ἐπεὶ οὐδέ σε πεισέμεν οἴω'

καί

'ὃς δέ κεν ὑμέων
βλήμενος ἠὲ τυπεὶς θάνατον καὶ πότμον ἐπίσπῃ,
τεθνάτω'.

οὕτως καὶ προκαλούμενοι εἰς μονομαχίαν ἀφόβως

1 Hom. *P* 20 2 τ' om. idem et μέγιστος pro μάλιστα exhibet 7 Hom. π 218 12 id. *T* 228 15 id. *Π* 7 17 id. *Σ* 107 19 id. *E* 252 21 id. ο 494

ὑπακούουσι καὶ πλείους ἀνθ᾽ ἑνὸς ἀνίστανται· καὶ ὁ τετρωμένος οὐδὲν ἧσσον ἔχει τὸ θάρσος παραμένον, ὥς πού φησι

'νῦν δέ μ᾽ ἐπιγράψας ταρσὸν ποδὸς εὔχεαι αὔτως'.

καὶ πᾶς ὁ γενναῖος ἀπεικάζεται λέοντι ἢ κάπρῳ ἢ χειμάρρῳ ἢ λαίλαπι.

135. *Οἱ δ᾽ ἐκ τοῦ Περιπάτου τὴν ἀπάθειαν ἀνέφικτον ἀνθρώπῳ νομίζουσι, τὴν δὲ μετριοπάθειαν εἰσάγοντες, τῷ τὴν ὑπερβολὴν τῶν παθῶν ἀναιρεῖν, μεσότητι τὴν ἀρετὴν ὁρίζονται. καὶ Ὅμηρος ἀεὶ παράγει τοὺς ἀρίστους οὔτε ἀγεννεῖς οὔτε μὴν ἀφόβους ἢ ἀλύπους παντελῶς, ἐν τῷ μὴ ἄγαν δὲ τοῖς πάθεσι κρατεῖσθαι τῶν φαύλων διαφέροντας· φησὶ γάρ*

'τοῦ μὲν γάρ τε κακοῦ τρέπεται χρὼς ἄλλυδις ἄλλῃ,
οὐδέ οἱ ἀτρέμας ἧσθαι ἐρητύετ᾽ ἐν φρεσὶ θυμός·
ἐν δέ τέ οἱ κραδίῃ μεγάλα στέρνοισι πατάσσει
Κῆρας ὀιομένῳ· πάταγος δέ τε γίγνετ᾽ ὀδόντων·
τοῦ δ᾽ ἀγαθοῦ οὔτ᾽ ἂρ τρέπεται χρὼς οὔτε τι λίην
ταρβεῖ'.

εὔδηλον γὰρ ὅτι τοῦ ἀγαθοῦ τὸ λίαν φοβεῖσθαι ὑφελὼν τὸ μέτριον κατέλιπε. τοῦτο δὲ καὶ ἐπὶ τῶν ὁμοίων, λύπης τε καὶ ὀργῆς, χρὴ νοεῖν. τοιοῦτόν ἐστι κἀκεῖνο

'Τρῶας μὲν τρόμος αἰνὸς ὑπήλυθε γυῖα ἕκαστον,
Ἕκτορί τ᾽ αὐτῷ θυμὸς ἐνὶ στήθεσσι πάτασσεν'.

4 Hom. *Λ* 388 15 id. *Ν* 279 18 *γίγνετ᾽* idem: *γίνετ᾽* 25 id. *Η* 215, ubi *δὲ* pro *μὲν*

οἱ μὲν γὰρ ἄλλοι καὶ δρῶντες ἔτρεμον, ὁ δ' ἐν τῷ κινδύνῳ καθεστὼς ἀνδρεῖος ὢν μόνον ἠγωνία. ὅθεν ἄλλως μὲν ποιεῖ τὸν Δόλωνα καὶ τὸν Λυκάονα φοβουμένους, ἄλλως δὲ τὸν Αἴαντα καὶ τὸν Μενέλαον, ἐντροπαλιζομένους καὶ βάδην ὑποχωροῦντας, ὥσπερ ἀπωσμένους σταθμοῦ λέοντας. ὡσαύτως δὲ καὶ λυπουμένων διαφορὰς ἐπιδείκνυσι καὶ ἡδομένων ὁμοίως· ὥσπερ ὁ μὲν Ὀδυσσεύς, διηγούμενος ὃν τρόπον τοὺς Κύκλωπας ἐξηπάτησεν, ἔφη

'ἐμὸν δ' ἐγέλασσε φίλον κῆρ'·

οἱ δὲ μνηστῆρες, πεσόντα τὸν πτωχὸν ἰδόντες

'χεῖρας ἀνασχόμενοι γέλῳ ἔκθανον'.

φαίνεται δ' ἐν ἑκατέροις ἡ τοῦ μετρίου διαφορά· καὶ ὁ μὲν Ὀδυσσεὺς τῆς ἑαυτοῦ γυναικὸς ἐρῶν καὶ κλαίουσαν ἐπ' αὐτῷ ὁρῶν φέρει,

'ὀφθαλμοὶ δ' ὡς εἰ κέρα ἕστασαν ἠὲ σίδηρος'·

τῶν δὲ μνηστήρων τῆς αὐτῆς ἐρώντων, θεασαμένων αὐτὴν

'λύτο γούνατ', ἔρῳ δ' ἄρα θυμὸν ἔθελχθεν,
πάντες δ' ἠρήσαντο παραὶ λεχέεσσι κλιθῆναι'.

τοιαῦτα μέν ἐστι τὰ παρὰ τῷ ποιητῇ περὶ ψυχῆς δυνάμεων καὶ παθῶν.

136. Περὶ δ' ἀγαθῶν καὶ εὐδαιμονίας πολλῶν εἰρημένων παρὰ τοῖς φιλοσόφοις, τὸ μὲν τὴν ἀρε-

6 ἀπωσαμένους: corr. W 10 Hom. ι 413 12 id. σ 100 16 id. τ 211 17 τῶν θεασαμένων: corr. W 19 Hom. σ 212

τὴν τῆς ψυχῆς μέγιστον εἶναι τῶν ἀγαθῶν κατὰ πάντας συνέστηκεν· ἀλλ' οἱ μὲν Στωικοὶ τὴν ἀρετὴν αὐτάρκη ἡγοῦνται πρὸς εὐδαιμονίαν, λαβόντες τὸ ἐνδόσιμον ἐκ τῶν Ὁμηρικῶν τούτων, ἐν οἷς τὸν σοφώτατον καὶ φρονιμώτατον πεποίηκεν ὑπὲρ εὐκλείας πόνου καταφρονοῦντα καὶ ἡδονῆς ὑπερορῶντα· τὸ μὲν πρότερον οὕτως

'ἀλλ' οἷον τόδ' ἔρεξε καὶ ἔτλη καρτερὸς ἀνήρ·
αὐτόν μιν πληγῇσιν ἀεικελίῃσι δαμάσσας,
σπεῖρα κάκ' ἀμφ' ὤμοισι βαλών, οἰκῆι ἐοικώς,
ἀνδρῶν δυσμενέων κατέδυ πτόλιν'·

τὸ δεύτερον δ' οὕτως

'ἦ μέν μ' αὐτόθ' ἔρυκε Καλυψώ, δῖα θεάων.
ὣς δ' αὔτως Κίρκη κατερήτυεν ἐν μεγάροισιν
Αἰαίη, δολόεσσα, λιλαιομένη πόσιν εἶναι·
ἀλλ' ἐμὸν οὔποτε θυμὸν ἐνὶ στήθεσσιν ἔπειθεν'.

μάλιστα δ' ἐν τούτοις τὴν τῆς ἀρετῆς δόξαν συνίστησιν, ἐν οἷς τὸν μὲν Ἀχιλλέα ποιεῖ οὐ μόνον ἀνδρεῖον ἀλλὰ καὶ κάλλιστον τὸ εἶδος καὶ ποδωκέστατον καὶ εὐγενέστατον καὶ πατρίδος ἐπιφανοῦς καὶ ὑπὸ τοῦ μεγίστου τῶν θεῶν βοηθούμενον· τὸν δ' Ὀδυσσέα συνετὸν μὲν καὶ καρτερὸν τῇ ψυχῇ τὰ δ' ἄλλα οὐχ ὁμοίᾳ τύχῃ κεχρημένον, ἡλικίας τε καὶ ὄψεως οὐκ ἴσης καὶ γονέων οὐ πάντῃ ὀνομαστῶν καὶ πατρίδος ἀδόξου καὶ ἀπεχθόμενον ἑτέρῳ θεῷ,

2 πάντας W: πάντα 8 Hom. δ 242 9 μιν W: μὲν Hom. δ 244 13 id. ι 29 25 τῷ δευτέρῳ θεῷ ci. W

ὧν οὐδὲν ἐκώλυεν αὐτὸν εἶναι εὐκλεᾶ, τὴν τῆς ψυχῆς ἀρετὴν κεκτημένον.

137. Οἱ δ' ἐκ τοῦ Περιπάτου πρωτεύειν μὲν τὰ τῆς ψυχῆς ἀγαθὰ νομίζουσιν, οἷον φρόνησιν ἀνδρείαν σωφροσύνην δικαιοσύνην· δεύτερα δ' εἶναι τὰ τοῦ σώματος, οἷον ὑγίειαν ἰσχὺν κάλλος τάχος· τρίτα δὲ τὰ ἐκτός, οἷον εὐδοξίαν εὐγένειαν πλοῦτον. ἐπαινετὸν μὲν γὰρ εἶναι καὶ θαυμαστὸν τὸ ἐν ἀλγηδόσι καὶ νόσῳ καὶ ἀπορίᾳ καὶ συμφοραῖς ἀβουλήτοις χρῆσθαι τῇ ἀρετῇ τῆς ψυχῆς ἀντεχούσης τοῖς κακοῖς, οὐ μέντοι αἱρετὸν οὐδὲ μακάριον· τὸ δ' ἐν ἀγαθοῖς νοῦν ἔχειν τῷ ὄντι εὔδαιμον· οὐδὲ γὰρ τὴν κτῆσιν μόνην τῆς ἀρετῆς ἀλλὰ καὶ τὴν χρῆσιν καὶ τὴν ἐνέργειαν εἶναι καλόν. ταῦτα δὴ καὶ Ὅμηρος δείκνυσιν ἄντικρυς· τοὺς μὲν γὰρ θεοὺς ἀεὶ ποιεῖ 'δωτῆρας ἐάων' τουτέστι τῶν ἀγαθῶν, ἃ καὶ εὔχονται οἱ ἄνθρωποι παρέχειν αὐτοῖς τοὺς θεούς, οὐκ ἀνωφελῆ δηλονότι ὄντα αὐτοῖς οὐδ' ἀδιάφορα ἀλλὰ πρὸς εὐδαιμονίαν χρήσιμα.

138. Τίνα οὖν ἐστι τὰ ἀγαθὰ ὧν ἐφίενται οἱ ἄνθρωποι καὶ δι' ἃ μακαρίζονται, ἐν πολλοῖς διασαφεῖ, ἅμα μὲν πάντα ἐπὶ τοῦ Ἑρμοῦ

'οἷος δὴ σὺ δέμας καὶ εἶδος ἀγητός,
πέπνυσαι δὲ νόῳ, μακάρων δ' ἔξ ἐσσι τοκήων'·

μαρτυρεῖ γὰρ αὐτῷ κάλλος σώματος καὶ φρόνησιν καὶ εὐγένειαν. τὰ δὲ κατὰ μέρος

16 Hom. Θ 325 23 id. Ω 376 24 δὲ] τε id.

'τῷ δὲ θεοὶ κάλλος τε καὶ ἠνορέην ἐρατεινὴν ὤπασαν'

καί 'θεσπέσιον πλοῦτον κατέχευε Κρονίων'· δῶρον γάρ ἐστι καὶ τοῦτο τοῦ θεοῦ

'Ζεὺς δ' αὐτὸς νέμει ὄλβον Ὀλύμπιος ἀνθρώποισι'.

139. Ποτὲ δὲ καὶ τὴν τιμὴν ἡγεῖται καλόν

'τιοίμην δ' ὡς τίετ' Ἀθηναίη καὶ Ἀπόλλων'·

ποτὲ δὲ τὴν εὐπαιδίαν

'ὡς ἀγαθὸν καὶ παῖδα καταφθιμένοιο λιπέσθαι'·

ποτὲ δὲ τὴν τῶν οἰκείων ἀπόλαυσιν

'πέμπετέ με σπείσαντες ἀπήμονα, χαίρετε δ' αὐτοί·
ἤδη γὰρ τετέλεσται ἅ μοι φίλος ἤθελε θυμός,
πομπὴ καὶ φίλα δῶρα, τά μοι θεοὶ οὐρανίωνες
ὄλβια ποιήσειαν· ἀμύμονα δ' οἴκοι ἄκοιτιν
νοστήσας εὕροιμι σὺν ἀρτεμέεσσι φίλοισιν.
ὑμεῖς δ' αὖθι μένοντες ἐυφραίνοιτε γυναῖκας
κουριδίας καὶ τέκνα· θεοὶ δ' ἀρετὴν ὀπάσειαν
παντοίην, καὶ μή τι κακὸν μεταδήμιον εἴη'.

140. Ὅτι δ' ἐν τῇ τῶν ἀγαθῶν συγκρίσει τοῦ πλούτου κρεῖσσόν ἐστιν αὐτὸ τὸ δύνασθαι, δηλοῖ διὰ τούτων

'ὃς καὶ χρυσὸν ἔχων πόλεμόνδ' ἴεν ἠύτε κούρη,
νήπιος, οὐδέ τί οἱ τόδ' ἐπήρκεσε λυγρὸν ὄλεθρον'

καί

'ὡς οὔ τοι χαίρων τοῖσδε κτεάτεσσιν ἀνάσσω'·

1 Hom. Z 156 2 ὤπασαν Homerus: ὤπασσαν 3 καί] Plutarchi est 5 Hom. ζ 188 7 id. Θ 540 9 id. γ 196 11 id. ν 39 22 id. B 872 25 id. δ 93

καὶ ὅτι ἀεὶ τὸ δύνασθαι τοῦ φρονεῖν ἄμεινον

'ἄλλος μὲν γάρ τ' εἶδος ἀκιδνότερος πέλει ἀνήρ,
ἀλλὰ θεὸς μορφὴν ἔπεσι στέφει'.

141. Δῆλον μὲν οὖν ὅτι καὶ τὰ περὶ σῶμα καὶ τὰ ἐκτὸς εὐτυχούμενα ἀγαθὸν νομίζει· ὅτι δ' ἄνευ τούτων οὐκ ἔστιν αὐτάρκης ἡ ἀρετὴ μόνη πρὸς εὐδαιμονίαν, ἐν ἐκείνοις παρίστησι· δύο γὰρ ἄνδρας εἰς τέλος ἀρετῆς ἥκοντας ὑποθέμενος, τὸν Νέστορα καὶ τὸν Ὀδυσσέα, καὶ τῶν μὲν ἄλλων διαφέροντας ἀλλήλοις δ' ὁμοίους φρονήσει καὶ ἀνδρείᾳ καὶ λόγων δυνάμει, οὐκέτι ὁμοίους ἐν ταῖς τύχαις πεποίηκεν, ἀλλὰ τῷ μὲν Νέστορι τοὺς θεοὺς

'ὄλβον ἐπικλῶσαι γαμέοντί τε γεινομένῳ τε·
αὐτὸν μὲν λιπαρῶς γηρασκέμεν ἐν μεγάροισιν,
υἱέας αὖ πινυτούς τε καὶ ἔγχεσιν εἶναι ἀρίστους'·

τὸν δ' Ὀδυσσέα, καίπερ ἐπητὴν ὄντα καὶ ἀγχίνοον καὶ ἐχέφρονα, ἀποκαλεῖ δύστηνον πολλάκις. καὶ γὰρ τὸν μὲν ἐς τὴν ἀνακομιδὴν πλεῦσαι ταχέως καὶ ἀσφαλῶς, τὸν δὲ πλανηθῆναι χρόνῳ πολλῷ καὶ πόνους καὶ κινδύνους ὑπομένειν ἀεὶ μυρίους. οὕτως αἱρετὸν καὶ μακάριόν ἐστιν, ὅταν τῇ ἀρετῇ συναιρομένη καὶ μὴ ἀντιπράττουσα ἡ τύχη παρῇ.

142. Πῶς δ' ἡ κτῆσις τῆς ἀρετῆς οὐδὲν ἔστ' ὄφε-

1 ἀεὶ . . . ἄμεινον] in his genuinam lectionem latere iudicavit Duebnerus. τὸ φρονεῖν τοῦ καλοῦ εἴδους ἄμεινον editi. Fort. tamen supplendum: καὶ ὅτι αὖ τὸ δύν. τοῦ [φρονεῖν χεῖρον 'ἄλλῳ μὲν γὰρ ἔδωκε — — Ζεὺς ἐσθλόν' (N 734) ὡς τοῦ καλοῦ εἴδους τὸ] φρονεῖν ἄμεινον 2 Hom. ϑ 169 13 id. δ 208 14 id. ib. 210

λος, ἂν μὴ καὶ ἐνεργῇ, φανερὸν ἐκ τούτων, ὅπου ὁ μὲν Πάτροκλος ἐπιπλήσσων τῷ Ἀχιλλεῖ λέγει

'αἰναρέτη, τί σευ ἄλλος ὀνήσεται ὀψίγονός περ,
αἴ κε μὴ Ἀργείοισιν ἀεικέα λοιγὸν ἀμύνῃς;'

οὕτω γὰρ προσεῖπε τὸν τῇ ἀπραξίᾳ ἀνωφελῆ ποιοῦντα τὴν ἀρετήν. ὁ δ' Ἀχιλλεὺς τὴν ἀπραξίαν ταύτην ὀδυρόμενός φησιν

'ἀλλ' ἧμαι παρὰ νηυσὶν ἐτώσιον ἄχθος ἀρούρης,
τοῖος ἐὼν οἷος οὔ τις Ἀχαιῶν χαλκοχιτώνων'·

ἄχθεται γὰρ ὅτι τὴν ἀρετὴν κεκτημένος οὐ κέχρηται αὐτῇ, ἀλλὰ μηνίων τοῖς Ἀχαιοῖς

'οὔτε ποτ' εἰς ἀγορὴν πωλέσκετο κυδιάνειραν,
οὔτε ποτ' ἐς πόλεμόν γ', ἀλλὰ φθινύθεσκε φίλον κῆρ
αὖθι μένων, ποθέεσκε δ' ἀυτήν τε πτόλεμόν τε'·

καὶ γὰρ οὕτως ὁ Φοίνιξ ἐπαίδευε

'μύθων τε ῥητῆρ' ἔμεναι πρηκτῆρά τε ἔργων'.

ὅθεν καὶ τεθνεὼς ἄχθεται τῇ ἀπραξίᾳ λέγων

'βουλοίμην κ' ἐπάρουρος ἐὼν θητευέμεν ἄλλῳ
ἀνδρὶ παρ' ἀκλήρῳ, ᾧ μὴ βίοτος πολὺς εἴη,
ἢ πᾶσιν νεκύεσσι καταφθιμένοισιν ἀνάσσειν'·

καὶ ἐπιφέρει τὴν αἰτίαν

'οὐ γὰρ ἐγὼν ἐπαρωγὸς ὑπ' αὐγὰς ἠελίοιο
τοῖος ἐών, οἷός ποτ' ἐνὶ Τροίῃ εὐρείῃ'.

3 Hom. *Π* 31 ib. *τίς* mei 8 Hom. *Σ* 104 12 id. *Λ* 490 16 id. *Ι* 443 18 id. *λ* 489 22 id. ib. 498

143. Ἔτι τοίνυν οἱ Στωικοὶ φίλους θεῶν τοὺς ἀγαθοὺς ἄνδρας ἀποφαίνοντες παρ' Ὁμήρου καὶ τοῦτο ἔλαβον, λέγοντος ἐπὶ τοῦ Ἀμφιαράου

'ὃν πέρι κῆρι φίλει Ζεύς αἰγίοχος καὶ Ἀπόλλων'·

καὶ ἐπὶ τοῦ Ὀδυσσέως

'χαῖρε δ' Ἀθηναίη πεπνυμένῳ ἀνδρὶ δικαίῳ'.

144. Ἔστι δὲ τῶν αὐτῶν φιλοσόφων δόγμα καὶ τὸ διδακτὴν εἶναι τὴν ἀρετήν, ἔχουσαν μὲν ἀρχὴν τὴν εὐγένειαν· ὃ καὶ Ὅμηρός φησι

'τοίου γὰρ καὶ πατρός, ὃ καὶ πεπνυμένα βάζεις'·

ὑπὸ δὲ παιδείας εἰς τὸ τέλειον προαγομένην. ἔστι γὰρ ἀρετὴ ἐπιστήμη τοῦ ὀρθῶς βιοῦν, τουτέστιν ὧν τοὺς εὖ βιωσομένους πράσσειν προσήκει. καὶ ταῦτα οὖν ἔστι παρ' Ὁμήρῳ· λέγει γάρ

'νήπιον, οὔπω εἰδόθ' ὁμοιίου πολέμοιο
οὐδ' ἀγορέων'·

καὶ ἐν ἄλλοις

'οὐδέ με θυμὸς ἄνωγεν, ἐπεὶ μάθον ἔμμεναι ἐσθλός'·

καὶ ὁ Φοίνιξ φησὶν ἐπὶ τοῦ Ἀχιλλέως

'τοὔνεκά με προέηκε διδασκέμεναι τάδε πάντα,
μύθων τε ῥητῆρ' ἔμεναι πρηκτῆρά τε ἔργων'.

ἐπεὶ γὰρ ὁ βίος ἐκ πράξεων καὶ λόγων συνέστηκε, τούτων φησὶ διδάσκαλον ἑαυτὸν τοῦ νεανίσκου γεγονέναι. ἐκ δὲ τῶν εἰρημένων δῆλον ὅτι πᾶσαν

4 id. ο 245, ubi Ζεύς τ' Homerus 6 id. γ 52 10 id. δ 206 12 ἀρετῆς ἐπιστήμη τὸ: corr. W cum aliis 15 Hom. Ι 440 18 id. Ζ 445 20 id. Ι 442

ἀρετὴν ἀποφαίνει διδακτήν. οὕτω μὲν οὖν πρῶτος Ὅμηρος ἔν τε ἠθικοῖς καὶ φυσικοῖς φιλοσοφεῖ.

145. Ἔχεται δὲ τῆς αὐτῆς θεωρίας καὶ Ἀριθμητικὴ καὶ Μουσική, ἃς καὶ Πυθαγόρας διαφερόντως ἐτίμησεν. ἴδωμεν οὖν εἰ καὶ τούτων ἔστι παρὰ τῷ ποιητῇ λόγος. ἀλλὰ μὴν πλεῖστος· ὀλίγα δ' ἐκ πολλῶν παρατεθέντα ἐξαρκέσει. ὁ γὰρ Πυθαγόρας τοὺς ἀριθμοὺς μεγίστην δύναμιν ἔχειν ἡγούμενος καὶ πάντα εἰς ἀριθμοὺς ἀναφέρων, τῶν τε ἄστρων τὰς περιόδους καὶ τῶν ζῴων τὰς γενέσεις, δύο τὰς ἀνωτάτω ἀρχὰς ἐλάμβανε, τὴν μὲν ὡρισμένην μονάδα τὴν δ' ἀόριστον δυάδα καλῶν· τὴν μὲν ἀγαθῶν τὴν δὲ κακῶν οὖσαν ἀρχήν. ἡ μὲν γὰρ τῆς μονάδος φύσις ἐγγενομένη τῷ μὲν περιέχοντι εὐκρασίαν, ψυχαῖς δ' ἀρετήν, σώμασι δ' ὑγίειαν, πόλεσι δὲ καὶ οἴκοις εἰρήνην καὶ ὁμόνοιαν παρέσχε· πᾶν γὰρ ἀγαθὸν συμφωνίας οἰκεῖόν ἐστιν. ἡ δὲ τῆς δυάδος πᾶν τοὐναντίον, ἀέρι χειμῶνα, ψυχαῖς κακίαν, σώμασι νόσους, πόλεσι δὲ καὶ οἰκίαις στάσεις καὶ ἔχθρας ἐγέννησε· πᾶν γὰρ κακὸν ἐκ διαστάσεως καὶ διαφορᾶς γίνεται. ὅθεν καὶ τῶν ἐφεξῆς ἀριθμῶν τὸν μὲν ἄρτιον ἐνδεᾶ καὶ ἀτελῆ, τὸν δὲ περισσὸν πλήρη τε καὶ τέλειον ἀπέφηνεν, ὅτι μιγνύμενός τε πρὸς τὸν ἄρτιον ἀεὶ τὴν ἑαυτοῦ δύναμιν διασῴζει, τοῦ περισσοῦ καὶ ἐν τούτοις ἐπικρατοῦντος· ἑαυτῷ τε συντιθέμενος γεννᾷ τὸν ἄρτιον· γόνιμος γάρ ἐστι καὶ ἔχει δύναμιν ἀρχῆς καὶ διαίρεσιν οὐκ ἐπιδέχεται, ἀεὶ τῆς μονάδος ἐν αὐτῷ περιούσης. ὁ δ' ἄρτιος οὔτε γεννᾷ ποτε τὸν περισσὸν συντιθέμενος ἑαυτῷ,

οὔτε ἐστὶν ἀδιαίρετος. καὶ Ὅμηρος τοίνυν τήν τε τοῦ ἑνὸς φύσιν ἐν τῇ τοῦ ἀγαθοῦ μοίρᾳ καὶ τὴν τῆς δυάδος ἐν τῇ ἐναντίᾳ τιθεὶς φαίνεται πολλάκις, ἐνηέα τὸν ἀγαθὸν λέγων πολλάκις καὶ ἐνηείην τὴν τοιαύτην διάθεσιν, δύην δὲ τὴν κάκωσιν· καὶ ὅτι

'οὐκ ἀγαθὸν πολυκοιρανίη· εἷς κοίρανος ἔστω'·

καί

'μήτ' ἐν πολέμοις δίχα βάζειν μήτ' ἐνὶ βουλῇ,
ἀλλ' ἕνα θυμὸν ἔχοντε νόῳ καὶ ἐπίφρονι βουλῇ'.

ἀεὶ δὲ τῷ περισσῷ ἀριθμῷ χρῆται ὡς κρείσσονι· καὶ γὰρ τὸν σύμπαντα κόσμον πέντε μοίρας ἔχοντα ποιῶν τὰς τρεῖς τούτων οὔσας μέσας διαιρεῖ

'τριχθὰ δὲ πάντα δέδασται, ἕκαστος δ' ἔμμορε τιμῆς'.

διὸ καὶ Ἀριστοτέλης πέντε εἶναι τὰ στοιχεῖα ἐνόμισεν, ὡς τοῦ περισσοῦ καὶ τελείου ἐν παντὶ τὸ κράτος ἔχοντος. καὶ τοῖς μὲν οὐρανίοις δαίμοσι τὰ περισσὰ ἀπονέμει· ὅ τε γὰρ Νέστωρ τῷ Ποσειδῶνι θύει ἐννεάκις ἐννέα ταύρους, καὶ τὸν Ὀδυσσέα θύειν κελεύει ὁ Τειρεσίας 'ἀρνειὸν ταῦρόν τε συῶν τ' ἐπιβήτορα κάπρον'· ὁ δ' Ἀχιλλεὺς τῷ Πατρόκλῳ ἐναγίζει πάντα ἄρτια, ἵππους μὲν τέσσαρας 'δώδεκα δὲ Τρώων μεγαθύμων υἱέας ἐσθλούς'· καὶ ἐννέα κυνῶν ὄντων, τοὺς δύο ἐμβάλλει τῇ πυρᾷ, ἵνα τοὺς ἑπτὰ ἑαυτῷ ἀπολίπηται. καὶ ἐν πολλοῖς τῷ τῶν

6 Hom. *Β* 204 8 id. *γ* 127 ib. μήτ' *: μηδ' 13 id. *Ο* 189 19 id. *λ* 131 21 id. *Ψ* 175

τριῶν καὶ πέντε καὶ ἑπτὰ ἀριθμῷ χρῆται, μάλιστα δὲ τῷ τῶν ἐννέα

'ὣς νείκεσσ' ὁ γέρων· τοὶ δ' ἐννέα πάντες ἀνέσταν'·

καί

'ἐννέωροι γὰρ τοί γε καὶ ἐννεαπήχεες ἦσαν
εὖρος· ἀτὰρ μῆκός γ' ἐγενέσθην ἐννεόργυιοι'·

καί

'ἐννῆμαρ μὲν ἀνὰ στρατὸν ᾤχετο κῆλα θεοῖο'·

καί

'ἐννῆμαρ ξείνισσε καὶ ἐννέα βοῦς ἱέρευσε'.

τί δήποτ' οὖν ἐστιν ὁ τῶν ἐννέα ἀριθμὸς τελειότατος; ὅτι ἐστὶν ἀπὸ τοῦ πρώτου περισσοῦ τετράγωνος καὶ περισσάκις περισσός, εἰς τρεῖς διαιρούμενος τριάδας, ὧν ἑκάστη πάλιν εἰς τρεῖς μονάδας διαιρεῖται.

146. Οὐ μόνον δὲ τὴν δύναμιν τῶν ἀριθμῶν, ἀλλὰ καὶ τὴν λογιστικὴν μέθοδον ὑπέδειξεν, ἐν μὲν τῷ καταλόγῳ ποιήσας

'τῶν μὲν πεντήκοντα νέες κίον· ἐν δὲ ἑκάστῃ
κοῦροι Βοιωτῶν ἑκατὸν καὶ εἴκοσι βαῖνον'·

καὶ πάλιν 'πεντήκοντ' ἔσαν ἄνδρες'. ἐξ ὧν λογίζεσθαι πάρεστιν, ὅτι τῶν νεῶν πασῶν οὐσῶν ἐγγὺς χιλίων διακοσίων καὶ ἐχουσῶν ἑκάστης ἑκατὸν ἄνδρας, ὁ σύμπας ἀριθμὸς δώδεκά που μυριάδων γίνεται. πάλιν δ' ἐπὶ τῶν Τρώων φήσας

3 Hom. *Η* 161 5 id. λ 311 6 γ' *: τ' 8 Hom. *Α* 53 10 id. Ζ 174 19 id. *Β* 509 21 id. *Π* 170 23 ἑκάστης W: ἐξ ib. ἄνδρας *: ἀνδρῶν

'χίλι' ἄρ' ἐν πεδίῳ πυρὰ καίετο· πὰρ δὲ ἑκάστῳ
εἵατο πεντήκοντα'

παρέχει λογίζεσθαι, ὅτι ἦσαν πεντάκις μύριοι ἄνευ τῶν συμμάχων.

147. Τὴν δὲ Μουσικήν, οἰκειοτάτην οὖσαν τῇ ψυχῇ, καθότι ἐστὶν ἁρμονία κεκραμένη ἐκ διαφόρων ἀρχῶν, καὶ τοῖς μέλεσι καὶ ῥυθμοῖς τό τε ἐκλελυμένον αὐτῆς ἐπιτείνουσαν καὶ τὸ σφοδρὸν ἀνιεῖσαν, οἵ τε Πυθαγορικοὶ διὰ σπουδῆς εἶχον καὶ πρὸ αὐτῶν Ὅμηρος. καὶ ἐγκώμιον μὲν αὐτῆς ἐπὶ τῶν Σειρήνων διεξέρχεται, ᾧ καὶ ἐπιλέγει

'ἀλλ' ὅ γε τερψάμενος νεῖται καὶ πλείονα εἰδώς'.

ἄλλοτε δ' ἐν ταῖς εὐωχίαις τὴν κιθάραν παραλαμβάνει, ὡς καὶ παρὰ τοῖς μνηστῆρσι

'φόρμιγξ, ἣν ἄρα δαιτὶ θεοὶ ποίησαν ἑταίρην'.

καὶ παρ' Ἀλκινόῳ ὁ κιθαρῳδὸς 'ἀνεβάλλετο καλὸν ἀείδειν'· καὶ ἐν γάμοις 'αὐλοὶ φόρμιγγές τε βοὴν ἔχον'· καὶ ἐν ἔργοις, ὅπου τρυγωμένης ὀπώρας

'πάις φόρμιγγι λιγείῃ
ἱμερόεν κιθάριζε, λίνον δ' ὑπὸ καλὸν ἄειδεν
λεπταλέῃ φωνῇ'·

καὶ ἐν πολέμῳ 'αὐλῶν συρίγγων τ' ἐνοπήν' ἀκούεσθαι λέγει. οὐδὲν δ' ἧσσον καὶ εἰς πένθη παραλαμβάνει τὴν μουσικὴν 'θρήνων ἐξάρχους ἀοιδούς'

1 Hom. Θ 563 8 *: αὐτῆς 12 Hom. μ 188 14 scr. vid. παρὰ τοῖς μνηστῆρσι τὴν φόρμιγγα, 'ἣν ἄρα cett. 15 Hom. ρ 271 16 id. ϑ 266 17 id. Σ 495 19 id. ib. 569 22 id. Κ 13 24 id. Ω 721

ποιῶν, ὡς τῇ λειότητι τῶν μελῶν τὴν τραχύτητα τῆς ψυχῆς καταστέλλοντας.

148. Οὐκ ἄδηλον δ' ὅτι διττή ἐστιν ἡ μελῳδία, ἡ μὲν ἐν τῇ φωνῇ ἡ δ' ἐν ὀργάνοις, τοῖς τε ἐμπνευστοῖς τοῖς τε ἐντατοῖς· τῶν δ' ἐν αὐτῇ φθόγγων ὁ μέν ἐστι βαρὺς ὁ δ' ὀξύς. καὶ τούτων δὲ τὰς διαφορὰς Ὅμηρος ἔγνω, ὃς γυναῖκας μὲν καὶ παῖδας καὶ γέροντας ὀξυφώνους ποιεῖ διὰ τὸ λεπτὸν τοῦ πνεύματος, τοὺς δ' ἄνδρας βαρυφώνους ἔν τε ἄλλοις καὶ ἐν τούτοις

'τῷ δὲ βαρὺ στενάχοντι παρίστατο πότνια μήτηρ·
ὀξὺ δὲ κωκύσασα κάρη λάβε παιδὸς ἑοῖο'·

καὶ πάλιν

'ὣς ὁ βαρὺ στενάχων ἔπε' Ἀργείοισι μετηύδα'.

οἱ δὲ γέροντες 'τέττιξιν ἐοικότες' ζῴοις ὀξυφώνοις ἰσάζονται. καὶ ἐν τοῖς ὀργάνοις δ' αἱ χορδαί, ὅσαι λεπταί εἰσι καὶ συντόνως κινούμεναι, ῥᾳδίως τέμνουσι τὸν ἀέρα, ὅθεν τὸν ὀξὺν φθόγγον ἀποτελοῦσιν· αἱ δὲ παχεῖαι, βραδεῖαν ἔχουσαι τὴν κίνησιν, ἠχοῦσι βαρύν· καθ' ὃν λόγον καὶ Ὅμηρος τὴν μάστιγα λιγυρὴν προσηγόρευσεν, ἐπεὶ λεπτὴ οὖσα ὀξὺν ἦχον ἀποδίδωσι. ταῦτα μὲν οὖν περὶ τῆς παρ' Ὁμήρῳ μουσικῆς.

149. Ἐπεὶ δ' ἐν τούτοις καὶ Πυθαγόρου ἐμνημονεύσαμεν, ᾧ μάλιστα ἤρεσκεν ἡ ἐχεμυθία καὶ τὸ σιγᾶν ἃ μὴ χρὴ λέγειν, θεασώμεθα εἰ καὶ Ὅμηρος

11 Hom. Σ 70   14 id. Ι 16   15 id. Γ 151, ubi τεττίγεσσιν Homerus; cf. cap. 85

ταύτην ἔσχε τὴν γνώμην. ἐπί τε γὰρ τῶν παροινούντων ἔφη

'καί τι ἔπος προέηκεν ὅπερ τ' ἄρρητον ἄμεινον'·

καὶ τῷ Θερσίτῃ ἐπιπλήττει

'ἴσχεο,
Θερσῖτ' ἀκριτόμυθε, λιγύς περ ἐὼν ἀγορητής'·

καὶ τοῦ Ἰδομενέως καθαπτόμενος ὁ Αἴας λέγει

'ἀλλ' αἰεὶ μύθοις λαβρεύεαι· οὐδέ τί σε χρὴ
λαβραγόρην ἔμεναι'·

καὶ τῶν στρατευμάτων εἰς μάχην συνιόντων

'Τρῶες μὲν κλαγγῇ τ' ἐνοπῇ τ' ἴσαν ὄρνιθες ὥς·
οἱ δ' ἄρ' ἴσαν σιγῇ μένεα πνείοντες Ἀχαιοί'·

βαρβαρικὸν γὰρ ἡ κραυγὴ Ἑλληνικὸν δ' ἡ σιωπή· διὸ καὶ τοὺς φρονιμωτάτους ἐγκρατεστάτους γλώσσης πεποίηκε· καὶ τὸν Ὀδυσσέα τῷ υἱῷ διακελευόμενον

'εἰ ἐτεόν γ' ἐμός ἐσσι, ἐμοὶ δέ σε γείνατο μήτηρ,
μήτε τι Λαέρτης ἴστω τόδε μήτε συβώτης
μήτε τις οἰκήων μήτ' αὐτὴ Πηνελόπεια'·

καὶ πάλιν αὐτῷ παραινεῖ

'σίγα καὶ κατὰ σὸν νόον ἴσχανε, μηδ' ἐρέεινε'.

τοιαῦτα μὲν δὴ τῶν ἐνδόξων φιλοσόφων ἃ ἐξ Ὁμήρου τὴν ἀρχὴν ἔχει δόγματα.

3 id. ξ 466 5 id. Β 246, ubi ἴσχεο insequitur 8 id. Ψ 478 11 id. Γ 2. 8 17 id. π 300, ubi vid. lectionis varietatem 19 οἰκείων: correxi ex Homero 21 Hom. τ 42 22 sq. ἃ — — ἔχει *: τὰ — — ἔχει libri. τὰ — — ἔχοντα W

150. *Εἰ δὲ δεῖ καὶ τῶν ἰδίας τινὰς αἱρέσεις ἑλομένων μνημονεῦσαι, εὕροιμεν ἂν κἀκείνους παρ' Ὁμήρου τὰς ἀφορμὰς λαβόντας· Δημόκριτον μὲν τὰ εἴδωλα ποιήσαντα ἐξ ἐκείνων*

'αὐτὰρ ὃ εἴδωλον τεῦξ' ἀργυρότοξος Ἀπόλλων'·

ἄλλους δὲ πλανηθέντας οἷς ἐκεῖνος οὐχ ἑπόμενος ἀλλὰ πρὸς τὸν παραπίπτοντα καιρὸν ἁρμοζόμενος περιέθηκεν. ἐπεὶ γὰρ ὁ Ὀδυσσεὺς παρ' Ἀλκινόῳ κατεχόμενος, ἡδυπαθείᾳ καὶ τρυφῇ κεχρημένῳ, πρὸς χάριν αὐτῷ διαλεγόμενος ἔφη

'οὐ γὰρ ἔγωγέ τί φημι τέλος χαριέστερον εἶναι
ἢ ὅταν εὐφροσύνη μὲν ἔχῃ κατὰ δῆμον ἅπαντα,
δαιτυμόνες δ' ἀνὰ δώματ' ἀκουάζωνται ἀοιδοῦ,
ἥμενοι ἑξείης· παρὰ δὲ πλήθωσι τράπεζαι
σίτου καὶ κρειῶν, μέθυ δ' ἐκ κρητῆρος ἀφύσσων
οἰνοχόος φορέῃσι καὶ ἐγχείῃ δεπάεσσι.
τοῦτό τί μοι κάλλιστον ἐνὶ φρεσὶν εἴδεται εἶναι'·

τούτοις παραχθεὶς καὶ Ἐπίκουρος τὴν ἡδονὴν τέλος εὐδαιμονίας ἐνόμισε. καὶ ἐπεὶ αὐτὸς οὗτος ὁ Ὀδυσσεὺς ποτὲ μὲν οὔλῃ καὶ ἁπαλῇ χλανίδι ἠμπίσχετο ποτὲ δὲ ῥακίοις καὶ πήραις, καὶ νῦν μὲν τῇ Καλυψοῖ συνανεπαύετο νῦν δ' ὑπὸ Ἴρου καὶ Μελανθίου περιυβρίζετο, ταύτην εἰκόνα τοῦ βίου παραλαβὼν Ἀρίστιππος καὶ πενίᾳ καὶ πόνοις συνηνέχθη ἐρρωμένως καὶ ἡδονῇ ἀφειδῶς ἐχρήσατο.

5 Hom. *E* 449 6 ἑπόμενος] ἑλόμενος Duebnerus et paulo ante ἐν οἷς 8 περιέθηκεν] τισὶ περιέθηκεν idem cum W. Malim παρέθηκεν 11 Hom. ι 5

151. *Τῆς δ' Ὁμήρου σοφίας κἀκεῖνα καταμαθεῖν ἔστι δείγματα, ὅτι καλὰ καὶ πολλὰ σοφῶν ἀνδρῶν ἀποφθέγματα προανεφώνησεν· οἷον τὸ* ἔπου θεῷ

'ὅς κε θεοῖς ἐπιπείθηται, μάλα δ' ἔκλυον αὐτοῦ'·

καὶ μηδὲν ἄγαν

'καὶ δ' ἄλλῳ νεμεσῶ, ὅς κ' ἔξοχα μὲν φιλέῃσιν,
ἔξοχα δ' ἐχθαίρῃσιν· ἀμείνω δ' αἴσιμα πάντα'·

καὶ ἐγγύα, πάρα δ' ἄτα

'δειλαί τοι δειλῶν γε καὶ ἐγγύαι ἐγγυάασθαι'·

καὶ τὸ τοῦ Πυθαγόρου πρὸς τὸν πυθόμενον τίς ἐστι φίλος *ῥηθὲν* Ἄλλος ἐγώ

'ἶσον ἐμῇ κεφαλῇ'.

152. *Ἔστι δὲ τῆς αὐτῆς ἰδέας τῶν ἀποφθεγμάτων καὶ ἡ καλουμένη Γνώμη, ἥπερ ἐστὶν ἀπόφασις καθολικὴ περὶ τῶν κατὰ τὸν βίον λόγῳ συντόμῳ. καὶ τούτῳ δὴ χρησαμένων πάντων ποιητῶν καὶ φιλοσόφων καὶ λογογράφων καὶ γνωμικῶς τινα ἀποφαίνεσθαι ἐπιτηδευσάντων πρῶτος Ὅμηρος πολλὰς καὶ ἀγαθὰς γνώμας ἐξήνεγκε δι' ὅλης τῆς ποιήσεως· τοῦτο μὲν ἀποφαινόμενος, οἷόν ἐστιν ὃ βούλεται παραστῆσαι, ὡς ὅταν εἴπῃ*

'κρείσσων γὰρ βασιλεύς, ὅτε χώσεται ἀνδρὶ χέρηι'·

τοῦτο δ' ὡς δέον πράσσειν τι, οἷον

'οὐ χρὴ παννύχιον εὕδειν βουληφόρον ἄνδρα'.

4 id. *Α* 218 6 id. ο 70, ubi discrepat 9 id. *θ* 351 12 id. *Σ* 82 22 id. *Α* 80 cf. Schol. 24 id. *Β* 24

153. *Πολλὰς δὲ γνώμας καὶ παραινέσεις ἀγαθὰς Ὁμήρου ἐξενεγκόντος, παρέφρασαν οὐκ ὀλίγοι τῶν μετ' αὐτόν· ὧν τινα παραδείγματα οὐκ ἄκαιρόν ἐστι παραθέσθαι, οἷόν ἐστι τὸ Ὁμήρου*

'νήπιοι, οἳ Ζηνὶ μενεαίνομεν ἀφρονέοντες·
ἢ ἔτι μιν μέμαμεν καταπαυσέμεν ἆσσον ἰόντες
ἢ ἔπει ἠὲ βίῃ· ὁ δ' ἀφήμενος οὐκ ἀλεγίζει
οὐδ' ὄθεται· φησὶν γὰρ ἐν ἀθανάτοισι θεοῖσι
κάρτεΐ τε σθένεΐ τε διακριδὸν εἶναι ἄριστος.
τῷ ἔχεθ' ὅττι κεν ὔμμι κακὸν πέμπῃσιν ἑκάστῳ'·

παρὰ τοῦτο δ' ἐστὶ τὸ Πυθαγορικόν

'ὅσσα τε δαιμονίαισι τύχαις βροτοὶ ἄλγε' ἔχουσιν,
ἣν ἂν μοῖραν ἔχῃς, ταύτην φέρε μηδ' ἀγανάκτει'·

καὶ ἐπὶ τούτοις τὸ Εὐριπίδου

'τοῖς πράγμασιν γὰρ οὐχὶ θυμοῦσθαι χρεών·
μέλει γὰρ αὐτοῖς οὐδέν· ἀλλ' οὑντυγχάνων,
τὰ πράγματ' ὀρθῶς ἂν τιθῇ, πράσσει καλῶς'.

154. *Πάλιν Ὅμηρος μέν φησι*

'τέκνον ἐμόν, τέο μέχρις ὀδυρόμενος καὶ ἀχεύων
σὴν ἔδεαι κραδίην;'

ὁ δὲ Πυθαγόρας

'φείδεο τῆς ζωῆς, μή μιν καταθυμοβορήσῃς'.

155. *Ἔτι Ὁμήρου εἰπόντος*

5 Hom. *O* 104 12 cf. p. 116 f. 14 *Εὐριπίδου*] v. Nauck. p. 446 16 *οὑντυγχάνων* Valckenarius: *ὁ τυγχάνων* 19 Hom. *Ω* 128

'τοῖος γὰρ νόος ἐστὶν ἐπιχθονίων ἀνθρώπων,
οἷον ἐπ' ἦμαρ ἄγῃσι πατὴρ ἀνδρῶν τε θεῶν τε',

Ἀρχίλοχος τά τε ἄλλα αὐτοῦ μιμούμενος καὶ τοῦτο μὲν παρέφρασεν, εἰπών

'τοῖος ἀνθρώποισι θυμός, Γλαῦκε, Λεπτίνεω πάι,
γίγνεται θνητοῖς, ὁκοίην Ζεὺς ἐπ' ἡμέρην ἄγῃ'.

156. Καὶ ἐν ἄλλοις Ὁμήρου εἰπόντος

'ἄλλῳ μὲν γὰρ ἔδωκε θεὸς πολεμήια ἔργα,
ἄλλῳ δ' ἐν στήθεσσι τιθεῖ νόον εὐρύοπα Ζεὺς
ἐσθλόν, τοῦ δέ τε πολλοὶ ἐπαυρίσκοντ' ἄνθρωποι,
καί τε πόλεις ἐσάωσε, μάλιστα δέ κ' αὐτὸς ἀνέγνω',

Εὐριπίδης παρὰ τοῦτο ἐποίησε

'γνώμαις γὰρ ἀνδρὸς εὖ μὲν οἰκοῦνται πόλεις
εὖ δ' οἶκος, εἴς τ' αὖ πόλεμον ἰσχύει μέγα·
σοφὸν γὰρ ἓν βούλευμα τὰς πολλὰς χέρας
νικᾷ, σὺν ὄχλῳ δ' ἀμαθία πλεῖστον κακόν'.

157. Ἃ δὲ παρακελευόμενον τῷ ἑταίρῳ τὸν Ἰδομενέα πεποίηκεν

'ὦ πέπον, εἰ μὲν δὴ πόλεμον περὶ τόνδε φυγόντες
αἰεὶ δὴ μέλλοιμεν ἀγήρω τ' ἀθανάτω τε
ἔσσεσθ', οὔτε κεν αὐτὸς ἐνὶ πρώτοισι μαχοίμην
οὔτε κέ σε στέλλοιμι μάχην ἐς κυδιάνειραν·
νῦν δ' (ἔμπης γὰρ κῆρες ἐφεστᾶσιν θανάτοιο

1 id. σ 136 3. 4 deleam et τε et μὲν 5 vid. Bergk. 2 p. 402 ib. πάϊ Duebnerus: παῖ 6 γίνεται θν. ὁποῖον Ζ. ἐφ' ἡμέρην ἄγει: correxi ex Bergkio 8 Hom. *N* 730 9 τιθεῖ idem: τίθει 12 Εὐριπίδης] v. Nauck. p. 419 14 εἴς τ' Stobaeus Flor. 54, 5: εἰς δ' 15 χέρας Duebnerus: χεῖρας 19 Hom. *M* 322, ubi varietas

μυρίαι, ἃς οὐκ ἔστι φυγεῖν βροτὸν οὐδ' ὑπαλύξαι)
ἴομεν, ἠέ τῳ εὖχος ὀρέξομεν ἠέ τις ἡμῖν'·

Αἰσχύλος μὲν δεύτερος λέγων οὕτως ἔφη

'ἀλλ' οὔτε πολλὰ τραύματ' ἐν στέρνοις λαβὼν
θνήσκει τις, εἰ μὴ τέρμα συντρέχοι βίου·
οὔτ' ἐν στέγῃ τις ἥμενος παρ' ἑστίᾳ
φεύγει τι μᾶλλον τὸν πεπρωμένον μόρον'·

ἐν δὲ πεξῇ λέξει Δημοσθένης οὕτως· 'πέρας μὲν γάρ ἐστιν ἅπασιν ἀνθρώποις τοῦ βίου θάνατος, κἂν ἐν οἰκίσκῳ τις αὐτὸν καθείρξας τηρῇ· δεῖ δὲ τοὺς ἀγαθοὺς ἄνδρας ἐγχειρεῖν μὲν ἅπασιν ἀεὶ τοῖς καλοῖς, φέρειν δ' ὅ τι ἂν ὁ θεὸς διδῷ γενναίως'.

158. Πάλιν δὲ τὸ Ὁμήρου

'οὔ τοι ἀπόβλητ' ἐστὶ θεῶν ἐρικυδέα δῶρα'

Σοφοκλῆς παρέφρασεν εἰπών

'θεοῦ τὸ δῶρον τοῦτο· χρὴ δ' ὅσ' ἂν θεοὶ
διδῶσι, φεύγειν μηδέν', ὦ τέκνον, ποτέ'.

159. Παρ' ἐκεῖνο δέ

'τοῦ καὶ ἀπὸ γλώσσης μέλιτος γλυκίων ῥέεν αὐδή'

Θεόκριτος εἶπεν

'οὕνεκά οἱ γλυκὺ Μοῖσα κατὰ στόματος χέε νέκταρ'.

160. Πῶς δὲ καὶ Ἄρατος παρέφρασε τὸ μέν

'οἴη δ' ἄμμορός ἐστι λοετρῶν Ὠκεανοῖο'

3 *Αἰσχύλος*] v. Nauck. p. 108 ib. *δεύτερος*] *ἐμμέτρως* W, non opus 8 *λέξει* idem: *λέγει* ib. *Δημοσθένης*] or. 18, 97 14 Hom. *Γ* 65 15 *Σοφοκλῆς*] v. Nauck. p. 335 18 *ἐκεῖνο* W: *ἐκείνου* 19 Hom. *Α* 249 20 *Θεόκριτος*] v. Id. VII, 82 21 *Μοῦσα*: correxi ex Theocrito 23 Hom. *Σ* 489

εἰπών

'ἄρκτοι κυανέου πεφυλαγμέναι ὠκεανοῖο',

τὸ δέ

'τυτθὸν γὰρ ὑπὲκ θανάτοιο φέρονται'

εἰπών

'ὀλίγον δὲ διὰ ξύλον Ἄιδ' ἐρύκει'.

καὶ περὶ μὲν τούτων ἅλις.

161. Ὁ δὲ Πολιτικὸς λόγος ἔστιν ἐν τῇ ῥητορικῇ τέχνῃ, ἧς ἐντὸς Ὅμηρος πρῶτος γέγονεν, ὡς φαίνεται. εἰ γάρ ἐστιν ἡ Ῥητορικὴ δύναμις τοῦ πιθανῶς λέγειν, τίς μᾶλλον Ὁμήρου ἐν τῇ δυνάμει ταύτῃ καθέστηκεν, ὃς τῇ τε μεγαλοφωνίᾳ πάντας ὑπεραίρει ἔν τε τοῖς διανοήμασι τὴν ἴσην τοῖς λόγοις ἰσχὺν ἐπιδείκνυται;

162. Καὶ πρῶτόν ἐστι τῆς τέχνης ἡ Οἰκονομία, ἣν δι' ὅλης τῆς ποιήσεως παρίστησι, καὶ μάλιστα ἐν ταῖς ἀρχαῖς τῶν πραγμάτων. οὐ γὰρ πόρρωθεν ἐμβαλὼν τὴν ἀρχὴν τῆς Ἰλιάδος ἐποιήσατο, ἀλλὰ καὶ καθ' ὃν χρόνον αἱ πράξεις ἐνεργότεραι καὶ ἀκμαιότεραι κατέστησαν· τὰ δὲ τούτων ἀργότερα, ὅσα ἐν τῷ παρελθόντι χρόνῳ ἐγένοντο, συντόμως ἐν ἄλλοις τόποις παραδιηγήσατο. τὸ δ' αὐτὸ καὶ ἐν τῇ Ὀδυσσείᾳ πεποίηκεν, ἀρξάμενος μὲν ἀπὸ τῶν τελευταίων τῆς πλάνης τοῦ Ὀδυσσέως χρόνων, ἐν οἷς καιρὸς ἦν ἤδη καὶ τὸν Τηλέμαχον εἰσάγειν καὶ τὴν τῶν μνηστήρων ὕβριν ἐμφανίζειν· τὰ δὲ πρὸ

2 v. Phaen. vs. 48 4 τυτθὸν W: θυμὸν vid. Hom. O 628 6 Phaen. v. 299 21 malim ἐγένετο 22 *: παρεδιηγήσατο

τούτων, ὅσα τῷ Ὀδυσσεῖ ἀλωμένῳ συνέπεσεν, αὐτὸν παράγει διηγούμενον, ἃ καὶ δεινότερα καὶ πιθανώτερα ἔμελλε φαίνεσθαι, ὑπὸ αὐτοῦ τοῦ παθόντος λεγόμενα.

163. Ἀεὶ τοίνυν χρωμένων τῶν ῥητόρων πάντων τοῖς προοιμίοις ὑπὲρ τοῦ προσεκτικώτερον ἢ εὐνούστερον ποιεῖν τὸν ἀκροατήν, αὐτὸς μὲν ὁ ποιητὴς κέχρηται προοιμίοις τοῖς μάλιστα κινῆσαι καὶ παράγεσθαι πρὸς τὴν ἀκρόασιν δυναμένοις, ἔν τε τῇ Ἰλιάδι προαναφωνῶν ὅτι μέλλει λέγειν ὅσα διὰ τὴν Ἀχιλλέως ὀργὴν καὶ τὴν Ἀγαμέμνονος ὕβριν κακὰ τοῖς Ἕλλησι συνέβη, καὶ ἐν τῇ Ὀδυσσείᾳ ὅσοις πόνοις καὶ κινδύνοις περιπεσὼν ὁ Ὀδυσσεὺς πάντων τῇ τῆς ψυχῆς συνέσει καὶ καρτερίᾳ περιεγένετο. καὶ ἐν ἑκατέροις τῶν προοιμίων τὴν Μοῦσαν παρακαλεῖ, ἵνα θειοτέραν καὶ μείζονα τὴν δόξαν τῶν λεγομένων παραστήσῃ.

164. Πολλὰ δὲ τῶν εἰσαγομένων ὑπ' αὐτοῦ προσώπων λέγοντα ποιῶν ἢ πρὸς οἰκείους ἢ φίλους ἢ ἐχθροὺς ἢ δήμους ἑκάστῳ τὸ πρέπον εἶδος τῶν λόγων ἀποδίδωσιν· ὥσπερ ἐν ἀρχῇ πεποίηται αὐτῷ ὁ Χρύσης ἐν τοῖς πρὸς τοὺς Ἕλληνας λόγοις χρησιμωτάτῳ προοιμίῳ κεχρημένος· συνεύχεται γὰρ αὐτοῖς πρότερον κρατῆσαι τῶν πολεμίων καὶ οἴκαδε ἀναστρέψαι, ἵνα τὴν παρ' αὐτῶν εὔνοιαν ἐπισπάσηται· ἔπειτα οὕτως ὑπὲρ τῆς παιδὸς παρακαλεῖ. ὁ δ' Ἀχιλλεὺς ἐπὶ τῇ ἀπειλῇ τοῦ Ἀγαμέμνονος θυμού-

11 τὴν Duebnerus: τοῦ

μενος μιγνύει τὸν ὑπὲρ αὐτοῦ καὶ τῶν Ἑλλήνων λόγον, ἵνα κἀκείνους ἀκούσαντας εὐνουστέρους καταστήσῃ· πάντας γὰρ ἐπὶ τὸν πόλεμον ἐστάλθαι οὐκ ἰδίας τινὸς ἀπεχθείας ἕνεκα, ἀλλὰ εἰς χάριν αὐτοῦ τοῦ Ἀγαμέμνονος καὶ τοῦ ἀδελφοῦ αὐτοῦ· καὶ πολλὰ μὲν πεποιηκέναι ἑαυτόν, τὸ δὲ γέρας οὐ παρὰ τούτων ἀλλὰ παρὰ τοῦ κοινοῦ τῶν Ἑλλήνων εἰληφέναι. οἷς ἀντιλέγων ὁ Ἀγαμέμνων οὐκ ἀπορεῖ ὅπως καὶ αὐτὸς θεραπεύσῃ τὸ πλῆθος· φήσαντος γὰρ τοῦ Ἀχιλλέως ἀπελεύσεσθαι εἰς τὴν πατρίδα δι' ἣν ἔπαθεν ὕβριν, οὐκ εἶπεν ἄπιθι ἀλλὰ φεῦγε, τὸ ἁπλῶς ῥηθὲν εἰς τὸ ἀδοξότερον μεταβαλών· καὶ ὅτι οὐ παρακαλῶ σε μένειν· πάρεισι γὰρ καὶ ἄλλοι, οἵ τιμῆς ἀξιώσρυσί με· ἦν δὲ καὶ τοῦτο τοῖς ἀκούουσι κεχαρισμένον.

165. Καὶ ἐπὶ τούτοις εἰσάγεται ῥήτωρ ὁ Νέστωρ, ὃν ἡδυεπῆ καὶ λιγὺν ἀγορητὴν προσεῖπε

'τοῦ καὶ ἀπὸ γλώσσης μέλιτος γλυκίων ῥέεν αὐδή'·

οὗ μεῖζον ἐγκώμιον οὐκ ἂν γένοιτο ῥήτορος. τί δ' οὗτος διαπράσσεται τῷ λόγῳ; ἄρχεται μὲν ἀπὸ προοιμίου, δι' οὗ μετάγνωσιν ἐμποιεῖν πειρᾶται τοῖς διαφερομένοις ἀριστεῦσιν, ἐννοεῖν αὐτοὺς παρασκευάζων, ὅτι μαχόμενοι παρέξουσιν ἀφορμὴν χαρᾶς τοῖς πολεμίοις· πρόεισι δὲ νουθετῶν ἑκάτερον καὶ πείθεσθαι ἑαυτῷ ὡς πρεσβυτέρῳ παραινῶν· καὶ ἐν τῷ σωφρονίζειν τὸν ἕτερον κεχαρισμένα τῷ ἑτέρῳ

6 μὲν] del. idem ib. ἑαυτόν] malim αὐτός aut quidem αὐτόν 18 Hom. *A* 249

λέγει· τῷ μὲν γὰρ Ἀγαμέμνονι παραινεῖ μὴ ἀφαιρεῖσθαι τὸ δοθὲν τῷ πολλὰ κεκμηκότι γέρας, τῷ δ' Ἀχιλλεῖ μὴ ἐρίζειν τῷ βασιλεύειν προκρινομένῳ· καὶ πρέποντα ἑκατέρῳ ἔπαινον διδούς, τῷ μὲν ὡς πλεόνων βασιλεύοντι τῷ δ' ὡς πλέον ἰσχύοντι, τοῦτον τὸν τρόπον πραΰνειν αὐτοὺς ἐπιχειρεῖ.

166. Τί δέ; οὐχὶ καὶ ἐν τοῖς ἑξῆς, ὁπότε εἶδε τὸν ὄνειρον ὁ Ἀγαμέμνων ἐλπίδας ἀγαθὰς αὐτῷ φέροντα παρὰ τοῦ Διὸς καὶ ὁπλίζειν τοὺς Ἕλληνας παρακελευόμενον, ῥητορικῇ χρῆται τέχνῃ, τοὐναντίον οἷς βούλεται πρὸς τοὺς πολλοὺς λέγων, ἵνα πεῖραν τῆς ὁρμῆς αὐτῶν λάβῃ καὶ μὴ ἐπαχθὴς ᾖ πολεμεῖν ἀναγκάζων ὑπὲρ ἑαυτοῦ; ἀλλ' αὐτὸς μὲν πρὸς χάριν λέγει, ἄλλος δέ τις τῶν πείθειν αὐτοὺς δυναμένων ἐπιστρέψει μένειν, ὡς τοῦτο τῇ ἀληθείᾳ τοῦ βασιλέως θέλοντος. καὶ γὰρ ἐν οἷς δημηγορεῖ ἐμφαίνει ὅτι τοὐναντίον βούλεται· ὁ δὲ δεχόμενος τοὺς λόγους τούτους ἐστὶν Ὀδυσσεύς, παρρησίᾳ τῇ πρεπούσῃ χρώμενος καὶ τοὺς μὲν ἀρίστους λόγοις προσηνέσι πείθων τοὺς δ' ὑποδεεστέρους καταπληκτικῶς ὑπακούειν τοῖς κρείττοσιν ἀναγκάζων· καὶ τὸ ἄτακτον καὶ θορυβῶδες τῶν πολλῶν καταπαύσας ἅμα πάντας πείθει λόγοις ἔμφροσι, μετρίως μὲν ὀνειδίσας, διότι οὐκέτι τελοῦσιν ἃ ὑπέσχοντο, καὶ ἅμα συγγνώμης ἀξιώσας, ὅτι πολὺν χρόνον ἄπρακτοι μένοντες τῶν φιλτάτων ἐστέρηνται, παρακλήσει δὲ καὶ ἐλπίδι τῇ ἐκ τῶν μαντειῶν συμπείθων μένειν.

4 διδούς W, sed potius aliud verbum excidit

167. Ὁμοίως δὲ καὶ ὁ Νέστωρ λόγους ἐξηλλαγμένους μὲν εἰς ταὐτὸ δὲ τείνοντας ποιούμενος καὶ πλείονι παρρησίᾳ πρὸς τοὺς ἤδη μεμαλαγμένους χρώμενος πείθει τὸ πλῆθος· καὶ τὴν αἰτίαν τῆς ὀλιγωρίας εἰς ὀλίγους τοῦ μηδενὸς ἀξίους ἀναφέρων τοὺς πολλοὺς ἐντρέπει· προστίθησι δὲ καὶ ἀπειλὴν τοῖς ἀπειθοῦσι καὶ εὐθέως συμβουλεύει τῷ βασιλεῖ, ὅπως χρὴ καταλέγειν τὰ στρατιωτικὰ τάγματα.

168. Πάλιν δ' ἐν ταῖς κατὰ τὸν πόλεμον πράξεσι τῶν Ἑλλήνων τὰ μὲν εὐτυχησάντων τὰ δὲ πταισάντων καὶ ἐν φόβῳ καταστάντων, ὁ μὲν Διομήδης, ἅτε τὸ ἐκ τῆς νεότητος θράσος καὶ τὴν ἐκ τῆς ἀριστείας παρρησίαν ἔχων, πρὸ τοῦ ἐπιδείξασθαι τὴν ἀνδραγαθίαν σιωπῆς ἀξιώσας τὸ παρὰ τοῦ βασιλέως ὄνειδος, τότε ἐπιπλήσσει τῷ Ἀγαμέμνονι ὡς ὑπὸ ἀνανδρίας συμβουλεύοντι φεύγειν· φησὶ γάρ

'Ἀτρείδη, σοὶ πρῶτα μαχέσσομαι ἀφραδέοντι,
ἣ θέμις ἐστίν, ἄναξ, ἀγορῇ· σὺ δὲ μή τι χολωθῇς'·

ἐν οἷς ἅμα μὲν νουθετεῖν αὐτὸν ἐπιχειρεῖ, ἅμα δὲ τὴν παρ' αὐτοῦ ὀργὴν παραιτεῖται. καὶ τὰ μὲν φθάνοντα διαπεπρᾶχθαι ἑαυτῷ ἀνεπαχθῶς ὑπομιμνήσκει, λέγων

'ταῦτα δὲ πάντα
ἴσασ' Ἀργείων ἠμὲν νέοι ἠδὲ γέροντες'·

εἰς δὲ τὰ ἑξῆς προτρέπει τοὺς Ἕλληνας, τεχνικῶς ἐγκωμιάζων αὐτούς

18 Hom. *I* 32 et Schol. A 24 id. ib. 36 vid. Schol.

'δαιμόνι', οὕτω που μάλα ἔλπεαι υἷας Ἀχαιῶν
ἀπτολέμους τ' ἔμεναι καὶ ἀνάλκιδας, ὡς ἀγορεύεις;'

καὶ αὐτὸν τὸν Ἀγαμέμνονα δυσωπεῖ, συγχωρῶν αὐτῷ εἰ βούλεται ἀπιέναι· τοὺς γὰρ ἄλλους ἐξαρκέσειν ἤ, κἂν πάντες φύγωσιν, αὐτόν γε σὺν τῷ ἑταίρῳ μενεῖν καὶ μαχέσεσθαι, εἰπών

'νῶι δ', ἐγὼ Σθένελός τε, μαχησόμεθα'.

ὁ δὲ Νέστωρ τούτῳ μὲν γνώμης τε καὶ πράξεως ἀρετὴν μαρτυρεῖ, ὅσα δ' εἰς τέλος τῆς συμβουλῆς διαφέρει, ἑαυτὸν ὡς πρεσβύτερον δεῖν παραινεῖν ἀξιοῖ· καὶ ἐπέξεισι τῷ λόγῳ, τὴν πρὸς Ἀχιλλέα πρεσβείαν παρασκευάζειν ἐπιχειρῶν.

169. Καὶ ἐν αὐτῇ δὲ τῇ πρεσβείᾳ ποικίλαις τέχναις ποιεῖ χρωμένους τοὺς ῥήτορας. ὁ μὲν γὰρ Ὀδυσσεὺς ἀρχόμενος τοῦ λόγου οὐκ εὐθέως ἔφη, ὅτι Ἀγαμέμνων μετεγνωκὼς ἐπὶ τῇ τῆς Βρισηίδος ἀφαιρέσει τήν τε κόρην ἀποδίδωσι καὶ δῶρα τὰ μὲν παραυτίκα πέμπει τὰ δ' ὕστερον ἐπαγγέλλεται· οὐ γὰρ ἦν χρήσιμον, οἰδοῦντος ἔτι τοῦ θυμοῦ, ταῦτα ὑπομιμνήσκειν· ἀλλὰ πρῶτον ἠθέλησεν ἐμβαλεῖν τὸν Ἀχιλλέα εἰς οἶκτον τῶν Ἑλληνικῶν ἀτυχημάτων· εἶτα εἰπὼν ὡς ὕστερον βουληθεὶς ἐπανορθώσασθαι τὰς συμφορὰς οὐκέτι δυνήσεται, μετὰ ταῦτα τῶν Πηλέως παραινέσεων ἀνέμνησεν, ἑαυτοῦ μὲν ἀφαιρῶν τὸ ἐπαχθὲς τῷ δὲ μᾶλλον ἐντρέπειν δυνα-

1 Hom. *I* 40   6 μενεῖν καὶ μαχέσεσθαι W: μένειν καὶ μάχεσθαι. Malim μενεῖν καὶ μαχεῖσθαι   7 Hom. *I* 48
10 ἰδίᾳ φέρει?   25 μᾶλλον οἷον ῥέπειν δυνάμενος: corr. W

μένῳ προσώπῳ τῷ τοῦ πατρὸς περιθεὶς τὸν λόγον· καὶ ὅτε ἐδόκει πραότερον αὐτὸν εἶναι, τότε καὶ τῶν Ἀγαμέμνονος δώρων ἐμνημόνευσε· καὶ πάλιν εἰς τὰς ὑπὲρ τῶν Ἑλλήνων δεήσεις μετέβαλε τὸν λόγον, ὅτι, εἰ καὶ δικαίως Ἀγαμέμνονι μέμφεται, καλὸν γοῦν σῶσαι τοὺς μηδὲν εἰς αὐτὸν ἐξημαρτηκότας· ἐχρῆν γὰρ καὶ τὸν ἐπίλογον μηδὲν τῶν λυπούντων ἔχειν τὸν ἀκούοντα, ἐπεὶ καὶ μάλιστα μνημονεύεται τὰ τέλη τῶν λόγων. ἡ δὲ τελευταία παράκλησις ἔχει τι καὶ διεγερτικὸν ἐπὶ τοὺς πολεμίους ὡς καὶ αὐτοῦ καταφρονοῦντας· νῦν γὰρ ἄν, φησίν, ἕλοις τὸν Ἕκτορα, εἴ σου κατεναντίον σταίη, ἐπεὶ οὐδένα τῶν Ἑλλήνων ἑαυτῷ φησιν εἶναι ὅμοιον. ὁ δὲ Φοίνιξ, δεδοικὼς μὴ ἐνδεέστερον ἢ προσῆκε χρῆται τῇ δεήσει, δάκρυα προΐεται· καὶ πρῶτον μὲν τῇ ὁρμῇ αὐτοῦ συντίθεται, φήσας μὴ ἀπολειφθήσεσθαι αὐτοῦ, εἰ ἀποπλέοι· τοῦτο γὰρ ἦν αὐτῷ κεχαρισμένον· καὶ τὴν αἰτίαν λέγει, ὅπως τρέφειν αὐτὸν ἐπιστεύθη παρὰ τοῦ Πηλέως νήπιον παραλαβών, καὶ διδάσκαλος ἔργων καὶ λόγων εἶναι ἠξιώθη. παραδιηγεῖται δὲ καὶ τὰς ἐπὶ τῆς νεότητος ἁμαρτίας αὐτοῦ, ἐμφαίνων ὡς καὶ ἄβουλον ἡ τοιαύτη ἡλικία· καὶ προϊὼν οὐδὲν τῶν εἰς προτροπὴν παραλείπει, πᾶσι τοῖς κεφαλαίοις ῥητορικῶς χρώμενος, ὅτι διηλλάχθαι καλὸν τῷ ἱκετεύοντι καὶ δῶρα πέμποντι καὶ πρέσβεις τοὺς ἀρίστους κἀκείνῳ τιμιωτάτους ἀπεσταλκότι· καὶ ὅτι καὶ αὐτὸς δίκαιός ἐστιν ὧν ἀξιοῖ τυγχάνειν, τροφεύς γε ὢν καὶ διδάσκαλος· καὶ ὅτι μεταγνώ-

14 χρῆται] malim χρήσηται

σεται προέμενος τὸν παρόντα καιρόν· καὶ παραδείγματι χρῆται τῷ κατὰ Μελέαγρον διηγήματι, ὅτι κἀκεῖνος παρακαλούμενος ὑπὸ τῶν οἰκείων βοηθεῖν τῇ πατρίδι οὐ συγκατέθετο, ἕως ὑπὸ τῆς ἀνάγκης τῶν καταλαβουσῶν τὴν πόλιν συμφορῶν ἐπὶ τὸ ἀμύνειν ἐτράπετο. Αἴας δ' οἴκτου μὲν καὶ ἱκεσίας οὐδὲν ἐδεήθη, παρρησίᾳ δὲ χρησάμενος καθελεῖν τὸ φρόνημα τοῦ Ἀχιλλέως διέγνω, τὰ μὲν εὐκαίρως ἐπιπλήττων τὰ δ' εὐμενῶς παρακαλῶν, ἵνα μὴ τελέως παροξύνῃ· οὕτω γὰρ ἥρμοζε τῷ τῆς αὐτῆς ἀρετῆς μετειληφότι. πρὸς δὲ τούτων ἕκαστον ὁ Ἀχιλλεὺς ἀποκρινόμενος ἦθος γενναῖον ἅμα καὶ ἁπλοῦν ἐμφαίνει. τοῖς μὲν γὰρ ἄλλοις ἐλεγκτικῶς ἅμα καὶ μεγαλοφρόνως ἀντιλέγει, αἰτίας εὐλόγους τῆς ὀργῆς παριστάς, Αἴαντι δ' ἀπολογεῖται. καὶ Ὀδυσσεῖ μὲν ἔφη ἀποπλεύσεσθαι τῇ ὑστεραίᾳ, καμπτόμενος δέ πως ταῖς Φοίνικος δεήσεσι βουλεύσεσθαί φησι περὶ τοῦ ἀπόπλου· ἐκνικηθεὶς δ' ὑπὸ τῆς Αἴαντος παρρησίας ἐξομολογεῖται πᾶν ὃ μέλλει ποιήσειν, ὅτι οὐ πρότερον ἔξεισιν ἐπὶ τὸν πόλεμον, πρὶν ἂν ὁ Ἕκτωρ ἐπὶ τὰς σκηνὰς αὐτοῦ καὶ τὰς ναῦς ἀφίκηται, τοὺς πολλοὺς τῶν Ἑλλήνων ἀπεκτονώς· ἔνθα φησίν, ὅτι καίπερ ἐκθύμως μαχόμενον τὸν Ἕκτορα παύσεσθαι νομίζω· καὶ γὰρ καὶ τοῦτο πρὸς τὸ εἰρημένον πρόσθεν ὑπὸ τοῦ Ὀδυσσέως περὶ τοῦ ἐνστῆναι τῇ ὁρμῇ τοῦ Ἕκτορος ἀντέθηκεν.

170. Ἐν δὲ τοῖς τοῦ Φοίνικος λόγοις κἀκεῖνο

7 οὐδὲν Duebnerus: οὐδὲ 9 εὐμενῶς W: εὐγενῶς 10 αὐτῆς W 25 πρὸς τὸ εἰρημένον *: προειρημένον

παρίστησιν, ὅτι τέχνη ἐστὶν ἡ ῥητορική· φησὶ γὰρ τῷ Ἀχιλλεῖ, διότι παρέλαβόν σε

'νήπιον, οὔπω εἰδόθ' ὁμοιίου πολέμοιο
οὐδ' ἀγορέων, ἵνα τ' ἄνδρες ἀριπρεπέες τελέθουσι·
τοὔνεκά με προέηκε διδασκέμεναι τάδε πάντα,
μύθων τε ῥητῆρ' ἔμεναι πρηκτῆρά τε ἔργων'·

ἐν οἷς καὶ τοῦτο δείκνυσιν, ὅτι ἡ τῶν λόγων δύναμις μάλιστα τοὺς ἄνδρας εὐκλεεῖς ἀπεργάζεται.

171. Ἔστι δὲ καὶ ἐν ἄλλοις πολλοῖς τῆς ποιήσεως τόποις εὑρεῖν λόγους τῆς ῥητορικῆς τέχνης ἐχομένους· καὶ κατηγορίας καὶ ἀπολογίας ὑποδείκνυσι τρόπον ἔν τε ἄλλοις καὶ ἐν οἷς ὁ Ἕκτωρ καθάπτεται τοῦ ἀδελφοῦ, ὀνειδίζων αὐτῷ δειλίαν καὶ ἀκολασίαν· καὶ ὅτι τοιοῦτος ὢν ἠδίκει πόρρω ἀπῳκισμένους, ὅθεν αἴτιος κακῶν τοῖς οἰκείοις ἐγένετο. καὶ ὁ Ἀλέξανδρος ἐκλύει τὸν θυμὸν τοῦ ἀδελφοῦ, δικαίως ἐπιπλήσσεσθαι συγκατατιθέμενος καὶ τῷ ὑποσχέσθαι τὴν πρὸς τὸν Μενέλαον μάχην ἀπολύσεσθαι τὸ ἔγκλημα τῆς δειλίας. καὶ ὅτι μὲν τεχνίτης λόγων Ὅμηρος, οὐκ ἂν ἄλλως τις εἴποι εὖ φρονῶν· δῆλα γὰρ καὶ τὰ ἄλλα ἐξ αὐτῆς τῆς ἀναγνώσεως.

172. Οὐκ ἠμέλησε δ' οὐδὲ χαρακτηρίσαι τοὺς ῥήτορας. τὸν μὲν γὰρ Νέστορα ἡδὺν καὶ προσηνῆ τοῖς ἀκούουσιν εἰσάγει, τὸν δὲ Μενέλαον βραχυλόγον καὶ εὔχαριν καὶ τοῦ προκειμένου τυγχάνοντα,

3 Hom. *I* 440   18 malim τῇ πρὸς τὸν Μ. μάχῃ ib. ἀπολύσασθαι vel ἀπολύεσθαι: correxi

τὸν δ' Ὀδυσσέα πολλῇ καὶ πυκνῇ τῇ δεινότητι τῶν λόγων κεχρημένον· ταῦτα γὰρ τοῖς δυσὶ τούτοις ἥρωσιν ὁ Ἀντήνωρ μαρτυρεῖ, ἀκούσας αὐτῶν, ὁπότε πρεσβεύοντες ἀφίκοντο εἰς τὴν Ἴλιον. καὶ ταύτας τὰς ἰδέας τῶν λόγων Ὅμηρος παρίστησιν αὐτός, ἐν τῇ ποιήσει δείξας ἁπάσῃ.

173. Οἶδε δὲ καὶ τὴν Ἀντίθεσιν τῶν λόγων, ἀεὶ τῶν ἐναντίων ἐπὶ παντὸς πράγματος τιθεμένων καὶ τὸ αὐτὸ κατασκευαζόντων καὶ ἀναιρούντων διὰ τὴν εὐπορίαν τῆς λογικῆς ἕξεως· φησὶ γάρ

'στρεπτὴ δὲ γλῶσσ' ἐστὶ βροτῶν, πολέες δ' ἔνι μῦθοι
παντοῖοι· ἐπέων δὲ πολὺς νομὸς ἔνθα καὶ ἔνθα.
ὁπποῖόν κ' εἴπῃσθα ἔπος, τοῖόν κ' ἐπακούσαις'.

174. Ἐπίσταται δὲ ταὐτὰ καὶ διὰ πολλῶν λέγειν καὶ δι' ὀλίγων ἐπαναλαμβάνειν, ὅπερ καλεῖται Ἀνακεφαλαίωσις, καὶ ἔστιν ἐν χρήσει παρὰ τοῖς ῥήτορσιν, ὁπόταν δέῃ πολλὰ πράγματα εἰρημένα ἀναμνῆσαι συντόμως· ἃ γὰρ διηγήσατο ὁ Ὀδυσσεὺς παρὰ τοῖς Φαίαξιν ἐν τέτταρσι ῥαψῳδίαις, ταῦτα πάλιν βραχέως διέξεισιν ἐν τούτοις

'ἤρξατο δ' ὡς πρῶτον Κίκονας δάμασ', αὐτὰρ ἔπειτα'

καὶ τὰ ἑξῆς.

175. Τοῦ δὲ πολιτικοῦ λόγου ἔχεται καὶ ἡ τῶν Νόμων ἐπιστήμη· καὶ οὐδὲ ταύτης ἐκτὸς τὸν Ὅμηρον εὕροιμεν ἄν. εἰ μὲν οὖν καὶ τοὔνομα τοῦ

11 Hom. Τ 248 ib. ἔνι idem: ἐνὶ 13 ἐπακούσῃς: correxi ex Homero 21 Hom. ψ 310

νόμου ἦν κατ' αὐτὸν ἐν χρήσει, οὐκ ἔστι σαφῶς διορίσασθαι. οἱ μὲν γάρ φασι δῆλον αὐτὸν εἶναι εἰδότα τοὔνομα τοῦ νόμου ἐν τῷ εἰπεῖν

'ἀνθρώπων ὕβριν τε καὶ εὐνομίην ἐφορῶντες'·

Ἀρίσταρχος δ' ᾠήθη τὴν εὐνομίαν εἰρῆσθαι παρὰ τὸ εὖ νέμεσθαι. καίτοι καὶ ὁ νόμος λέγεσθαι ἔοικεν ἀπὸ τοῦ νέμειν τὰ ἴσα πᾶσιν ἢ τὸ κατ' ἀξίαν ἑκάστῳ. ὅτι δὲ δύναμιν τῶν νόμων οἶδεν, εἰ μὴ καὶ ἐν γραφαῖς ἀλλ' ἐν ταῖς γνώμαις τῶν ἀνθρώπων φυλασσομένην, ἐν πολλοῖς παρίστησι· τὸν γὰρ Ἀχιλλέα ποιεῖ ὑπὲρ τοῦ σκήπτρου λέγοντα

'νῦν αὖτέ μιν υἷες Ἀχαιῶν
ἐν παλάμαις φορέουσι δικασπόλοι, οἵ τε θέμιστας
πρὸς Διὸς εἰρύαται'.

θέμιστες γὰρ καὶ θεσμοὶ οἱ νόμοι, ὧν τὸν Δία εἰσηγητὴν παραδίδωσιν, ᾧ καὶ τὸν Μίνωα τὸν τῶν Κρητῶν βασιλέα φησὶν ὁμιλεῖν· ἡ δ' ὁμιλία νόμων μάθησις ἦν, ὡς καὶ Πλάτων μαρτυρεῖ. σαφῶς δὲ καὶ ἐν ἐκείνοις δηλοῖ, ὅτι χρὴ νόμοις ἕπεσθαι καὶ μὴ ἀδικεῖν

'τῷ μή τίς ποτε πάμπαν ἀνὴρ ἀθεμίστιος εἴη,
ἀλλ' ὅ γε σιγῇ δῶρα θεῶν ἔχοι, ὅττι διδοῖεν'.

176. Πρῶτος τοίνυν Ὅμηρος τὰ τῆς πολιτείας διεῖλεν· ἐν γὰρ τῇ ἀσπίδι, ἣν τοῦ κόσμου παντὸς μίμημα κατεσκεύασεν Ἥφαιστος, ἐμπεριεχομένας

4 id. ρ 487 vid. Schol. 12 id. Α 237 18 respicitur ut vid. Plat. Min. p. 319c sq. 21 Hom. σ 141 25 Ἥφαιστος W: Ἥφαιστος τουτέστιν ἡ πνευματικὴ δύναμις

ἐποίησε δύο πόλεις, τὴν μὲν ἐν εἰρήνῃ καὶ εὐφροσύνῃ διάγουσαν τὴν δ' ἐν πολέμῳ σχολάζουσαν· καὶ παραθεὶς τὰ ἑκατέρᾳ πρόσφορα, παρίστησιν ὅτι ὁ μὲν πολιτικός ἐστι βίος ὁ δὲ στρατιωτικός. οὐ παρεῖδε δ' οὐδὲ τὸν γεωργικόν· ἀλλὰ καὶ τοῦτον ἔδειξεν, ἐνάργειαν ἅμα καὶ κάλλος περιθεὶς τοῖς λόγοις.

177. Ὃ δ' ἐν πάσῃ πόλει νενομοθέτηται, τὸ εἶναι συνέδριον βουλῆς καὶ τοῦτο προβουλεύεσθαι πρὸ τοῦ τὸν δῆμον συνιέναι, πρόδηλον ὅτι ἐστὶν ἐκ τῶν Ὁμηρικῶν τούτων

'βουλὴν δὲ πρῶτον μεγαθύμων ἷζε γερόντων'·

συνάγει γὰρ Ἀγαμέμνων τοὺς γέροντας καὶ σκέπτεται μετ' αὐτῶν, ὅπως ὁπλίσῃ τὸ πλῆθος πρὸς τὴν μάχην.

178. Καὶ ὅτι δεῖ τὸν ἄρχοντα πρὸ τῶν ἄλλων πεφροντικέναι τῆς πάντων σωτηρίας, ἐν τῷ αὐτῷ προσώπῳ διδάσκει, ᾧ καὶ παραινεῖ

'οὐ χρὴ παννύχιον εὕδειν βουληφόρον ἄνδρα'·

καὶ ὅτι δεῖ τῷ ἡγουμένῳ πείθεσθαι τοὺς ὑποτεταγμένους, καὶ ὅπως ἑκάστῳ προσφέρεσθαι τὸν προτεταγμένον, ὁ Ὀδυσσεὺς ὑποδείκνυσι, τοὺς μὲν ἐντίμους λόγοις προσηνέσι πείθων, τοῖς δὲ ἐκ τοῦ ὄχλου πικρότερον ἐπιπλήσσων.

2 διάγουσαν .... σχολάζουσαν] σχολάζουσαν .... διάγουσαν W 12 Hom. B 53 ib. δὲ] μὲν idem 19 id. B 24 21 προσφέρεσθαι] excidit ut vid. χρὴ aut δεῖ

179. Ἀλλὰ καὶ τὸ ὑπανίστασθαι τοῖς ἀμείνοσι παρὰ πᾶσι νενόμισται· ὃ καὶ αὐτοὶ οἱ θεοὶ ποιοῦσιν ἐπὶ τοῦ Διός

'οὐδέ τις ἔτλη
μεῖναι ἐπερχόμενον, ἀλλ' ἀντίοι ἔσταν ἅπαντες'.

180. Νόμος παρὰ τοῖς πλείστοις τὸν πρεσβύτατον λέγειν· ὁ δὲ Διομήδης ὑπὸ ἀνάγκης τοῦ πολέμου πρῶτος θαρσήσας λέγειν συγγνωστὸς εἶναι ἀξιοῖ

'καὶ μή τι κότῳ ἀγάσησθε ἕκαστος,
οὕνεκα δὴ γενεῆφι νεώτατός εἰμι μεθ' ὑμῖν'.

181. Κἀκεῖνο δὲ παρὰ πᾶσι νενόμισται, τὸ κολάζεσθαι τὰ ἑκούσια ἁμαρτήματα, τὰ δ' ἀκούσια συγγνώμης τυγχάνειν. τοῦτο πάλιν δείκνυσιν ὁ ποιητής, ἐν οἷς φησιν ὁ ἀοιδὸς παρ' αὐτῷ

'καί κεν Τηλέμαχος τάδε γ' εἴποι, σὸς φίλος υἱός,
ὡς ἐγὼ οὔ τι ἑκὼν ἐς σὸν δόμον οὐδὲ χατίζων
πωλεύμην μνηστῆρσιν ἀεισόμενος μετὰ δαῖτας,
ἀλλὰ πολὺ πλέονες καὶ κρείσσονες ἦγον ἀνάγκῃ'.

182. Τριῶν δ' οὐσῶν πολιτειῶν πρὸς δικαιοσύνην καὶ εὐνομίαν, βασιλείας τε καὶ ἀριστοκρατίας καὶ δημοκρατίας, καὶ ταύταις πάλιν ἀντικειμένων τριῶν πρὸς ἀδικίαν καὶ παρανομίαν, τυραννίδος ὀλιγαρχίας ὀχλοκρατίας, οὐδὲ ταύτας Ὅμηρος ἀγνοεῖν ἔοικε, τὴν μὲν βασιλείαν δι' ὅλης τῆς ποιήσεως ὀνομάζων καὶ ἐγκωμιάζων, ὡς ἐν τούτοις

4 Hom. Α 535 9 id. Ξ 111 ib. ἕκαστος] om. optimi 15 Hom. χ 350

‘θυμὸς δὲ μέγας ἐστὶ διοτρεφέων βασιλήων·
τιμὴ δ’ ἐκ Διός ἐστι, φιλεῖ δέ ἑ μητίετα Ζεύς’.

καὶ ὁποῖον δεῖ εἶναι τὸν βασιλέα, σαφῶς δηλοῖ

‘λαῶν δ’ οἷσιν ἄνασσε, πατὴρ δ’ ὣς ἤπιος ἦεν’·

καί

‘οὔτε τινὰ ῥέξας ἐξαίσιον οὔτε τι εἰπὼν
ἐν δήμῳ, ἥ τ’ ἐστὶ δίκη θείων βασιλήων’.

τὴν δ’ ἀριστοκρατίαν, ἐν οἷς Βοιωτῶν βασιλέας πέντε καταριθμεῖ, καὶ παρὰ τοῖς Φαίαξι

‘δώδεκα γὰρ κατὰ δῆμον ἀριπρεπέες βασιλῆες
ἀρχοὶ κρίνουσι, τρισκαιδέκατος δ’ ἐγὼ αὐτός’.

δημοκρατίας δ’ εἰκόνα ἐναργῶς ἐν τῇ κατασκευῇ τῆς ἀσπίδος δεικνύει, ἐν ᾗ δύο ποιήσας πόλεις τὴν ἑτέραν δημοκρατεῖσθαί φησι, μηδενὸς ἡγουμένου, πάντων δὲ πρὸς τὴν ἑαυτῶν βούλησιν κατὰ νόμους βιούντων· ἔνθα καὶ δικαστήριον εἰσάγει· καὶ ἐν ἐκείνῃ γε τὴν δημοκρατίαν παρίστησιν, ἐν οἷς φησι

‘δῆμον ὑποδδείσας· δὴ γὰρ κεχολώσατο λίην,
οὕνεκα ληιστῆρσιν ἐπισπόμενος Ταφίοισιν
ἤκαχε Θεσπρωτούς· οἱ δ’ ἡμῖν ἄρθμιοι ἦσαν’.

183. Τὸν δὲ βιαίως καὶ παρανόμως ἄρχοντα τύραννον μὲν οὐ καλεῖ· νεώτερον γὰρ τὸ ὄνομα· οἷος δὲ τοῖς ἔργοις γίνεται, δείκνυσιν ἐν τούτοις

‘εἰς Ἔχετον βασιλῆα, βροτῶν δηλήμονα πάντων,
ὅς κ’ ἀπὸ ῥῖνα τάμησι καὶ οὔατα νηλέι χαλκῷ’.

1 Hom. *Β* 196 ib. idem: *μητιέτα* 4 id. *β* 234 6 id. *δ* 690 cf. Schol. A 10 id. *θ* 390 13 malim *δείκνυσιν* 18 Hom. *π* 425 ib. *κεχολώατο* Homerus 24 id. *σ* 85

καὶ τὸν Αἴγισθον δὲ τυραννικὸν ἀποφαίνει, ὃς ἀποκτείνας τὸν Ἀγαμέμνονα ἐκράτει τῶν Μυκηναίων· καὶ ὁπότε ἀνῃρέθη, φησίν, ὅτι οὐκ ἂν ἔτυχε ταφῆς, εἴπερ Μενέλαος παρῆν· τοῦτο γὰρ ἐπὶ τῶν τυράννων νενόμισται·

'τῷ κέ οἱ οὐδὲ θανόντι χυτὴν ἐπὶ γαῖαν ἔχευαν,
ἀλλ' ἄρα τόν γε κύνες τε καὶ οἰωνοὶ κατέδαψαν
κείμενον ἐν πεδίῳ· μάλα γὰρ μέγα μήσατο ἔργον'.

ὀλιγαρχίαν δὲ δηλοῦν δοκεῖ διὰ τῆς τῶν μνηστήρων πλεονεξίας, περὶ ὧν φησιν

'ἠδ' ὅσσοι κραναὴν Ἰθάκην κάτα κοιρανέουσι'.

τὴν δ' ὀχλοκρατίαν ἐν τῇ τῶν Τρώων πολιτείᾳ παραδίδωσιν, ἐν ᾗ καὶ συναράμενοι πάντες Ἀλεξάνδρῳ κακοῖς περιέπεσον καὶ ὁ Πρίαμος λοιδορεῖται τοῖς παισὶν ὡς τούτων αἰτίοις

'σπεύσατέ μοι, κακὰ τέκνα, κατηφόνες'·

καὶ ἄλλος δέ τις τῶν Τρώων, ὁ Ἀντίμαχος,

'χρυσὸν Ἀλεξάνδροιο δεδεγμένος, ἀγλαὰ δῶρα,
οὐκ εἴασχ' Ἑλένην δόμεναι ξανθῷ Μενελάῳ'.

184. Ἐπεὶ δὲ τὸ παρὰ ἀνθρώποις δίκαιον τοῦτο νομίζεται, τὸ ἀπονεμητικὸν ἑκάστῳ τοῦ κατ' ἀξίαν, ἐν ᾧ μάλιστά ἐστι τὸ θεοὺς σέβειν, γονέας καὶ οἰκείους τιμᾶν, τὴν μὲν εἰς θεοὺς εὐσέβειαν ἐν πολλοῖς διδάσκει, εἰσάγων τοὺς ἥρωας θύοντας καὶ εὐχομένους καὶ δῶρα ἀνατιθέντας τοῖς θεοῖς καὶ

6 id. γ 258 11 id. α 247 et pass. ib. idem: κατακοιρανέουσι 16 id. Ω 253 18 id. Λ 124

ὕμνοις γεραίροντας αὐτούς, καὶ τῆς εὐσεβείας ἀμοιβὴν ἀπολαμβάνοντας τὴν παρὰ τῶν θεῶν ἐπικουρίαν.

185. Τὴν δὲ πρὸς τοὺς γειναμένους τιμὴν ἐν τῷ Τηλεμάχου προσώπῳ μάλιστα δείκνυσι καὶ ἐν οἷς ἐπαινεῖ τὸν Ὀρέστην

'οὐκ ἀίεις οἷον κλέος ἔλλαβε δῖος Ὀρέστης
πάντας ἐπ' ἀνθρώπους, ἐπεὶ ἔκτανε πατροφονῆα;'

καὶ ὅτι τὸ γηροτροφεῖσθαι τοὺς γονέας ὑπὸ τῶν παίδων φύσει δίκαιον καὶ ἐξ ἀμοιβῆς ὀφειλόμενον, διὰ μιᾶς λέξεως ἐδήλωσεν εἰπών

'οὐδὲ τοκεῦσι
θρέπτρα φίλοις ἀπέδωκεν'.

ἀδελφῶν δ' εὔνοιαν καὶ πίστιν πρὸς ἀλλήλους ἐν τῷ Ἀγαμέμνονι καὶ Μενελάῳ, φίλων δ' ἐν Ἀχιλλεῖ καὶ Πατρόκλῳ δείκνυσι, γυναικὸς δὲ σωφροσύνην καὶ φιλανδρίαν ἐν τῇ Πηνελόπῃ, ἀνδρὸς δὲ πόθον τῆς αὑτοῦ γυναικὸς ἐν τῷ Ὀδυσσεῖ παρίστησιν.

186. Ὅπως δὲ καὶ ὑπὲρ πατρίδος χρὴ πράσσειν, ἐν τούτῳ μάλιστα ἐδήλωσεν

'εἷς οἰωνὸς ἄριστος ἀμύνεσθαι περὶ πάτρης'.

καὶ πάλιν ὅπως τοὺς τῆς πολιτείας κοινωνοῦντας φιλίας ἔχειν δεῖ

'ἀφρήτωρ, ἀθέμιστος, ἀνέστιός ἐστιν ἐκεῖνος,
ὃς πολέμου ἔραται ἐπιδημίου, ὀκρυόεντος'.

3 γειναμένους *: γεναμένους 6 Hom. α 298 ib. suppl. vid. ἦ οὐκ ἀίεις 11 Hom. *P* 302 20 id. *M* 243 22 φιλίας et δεῖ om. optimi et omitti possunt 23 Hom. *I* 63

ὅπως δὲ τὸ ἀληθεύειν τίμιον τὸ δ' ἐναντίον φευκτόν

'ἐχθρὸς γάρ μοι κεῖνος ὁμῶς Ἀίδαο πύλῃσιν,
ὅς χ' ἕτερον μὲν κεύθῃ ἐνὶ φρεσίν, ἄλλο δὲ εἴπῃ'·

καί

'οἵ τ' εὖ μὲν βάζουσι, κακῶς δ' ὄπιθεν φρονέουσι'.

187. Τῶν δ' οἴκων μάλιστα σῳζομένων, ὁπόταν γυνὴ μήτε τὰς ἀπορρήτους διανοίας τοῦ ἀνδρὸς πολυπραγμονῇ μήτε ἄνευ τῆς γνώμης αὐτοῦ πράσσειν τι ἐπιχειρῇ, ἑκάτερον ἐκ τῆς Ἥρας ὑπέδειξε, τὸ μὲν πρότερον τῷ Διὶ λέγοντι περιθείς

'Ἥρη, μὴ δὴ πάντας ἐμοὺς ἐπιέλπεο μύθους
εἰδήσειν',

τὸ δ' ἕτερον τῇ Ἥρᾳ

'μή πώς μοι μετέπειτα χολώσεαι, αἴ κε σιωπῇ
οἴχωμαι πρὸς δῶμα βαθυρρόου Ὠκεανοῖο'.

188. Τὸ δὲ καὶ τοὺς ἐξιόντας ἐπὶ πόλεμον ἢ ἐν κινδύνῳ καθεστῶτας ἐντέλλεσθαί τι τοῖς οἰκείοις εἰθισμένον παρὰ πᾶσιν οὐκ ἠγνόησεν ὁ ποιητής. ἡ μὲν γὰρ Ἀνδρομάχη, στένουσα τὸν Ἕκτορα, φησίν

'οὐ γάρ μοι θνήσκων λεχέων ἐκ χεῖρας ὄρεξας,
οὐδέ τί μοι εἶπας πυκινὸν ἔπος, οὗ τέ κεν αἰεὶ
μεμνήμην νύκτας τε καὶ ἤματα δάκρυ χέουσα'.

ἡ δὲ Πηνελόπη τῶν τοῦ Ὀδυσσέως ἐντολῶν μνημονεύει, φήσαντος ὁπότε ἐξῄει

2 id. ib. 312 5 id. σ 168 11 id. Α 545 14 id. Ξ 310 20 id. Ω 743 21 εἶπες idem

'τῷ οὐκ οἶδ' ἤ κέν μ' ἀνέσει θεός, ἦ κεν ἁλώω
αὐτοῦ ἐνὶ Τροίῃ· σοὶ δ' ἐνθάδε πάντα μελόντων,
μεμνῆσθαι πατρὸς καὶ μητέρος ἐν μεγάροισιν,
ὡς νῦν, ἢ ἔτι μᾶλλον ἐμεῦ ἀπονόσφιν ἐόντος·
αὐτὰρ ἐπειδὴ παῖδα γενειήσαντα ἴδηαι,
γήμασθ' ᾧ κ' ἐθέλησθα, τεὸν κατὰ δῶμα λιποῦσα'.

οἶδε δὲ καὶ ἐπιτρόπους

'καί οἱ ἰὼν ἐν νηυσὶν ἐπέτρεπεν οἶκον ἅπαντα,
πείθεσθαί τε γέροντι καὶ ἔμπεδα πάντα φυλάσσειν'.

189. Τὰ δ' ἐπὶ τοῖς θανάτοις τῶν οἰκείων πένθη οὔτ' ἄμετρα εἶναι ἀξιοῖ· ἀγεννὲς γὰρ τοῦτο· οὔτε παντελῶς ἐκκεκόφθαι ἐᾷ· ἀδύνατον γὰρ τὸ ἀπαθὲς ἐπὶ ἀνθρώπων. ὅθεν λέγει τὰ τοιαῦτα

'ἀλλ' ἦ τοι κλαύσας καὶ ὀδυρόμενος μεθέηκεν·
τλητὸν γὰρ μοῖραι θυμὸν θέσαν ἀνθρώποισιν'.

ἐν ἄλλοις δέ φησιν

'ἀλλὰ χρὴ τὸν μὲν καταθάπτειν ὅς κε θάνησι,
νηλέα θυμὸν ἔχοντας, ἐπ' ἤματι δακρύσαντας'.

190. Ἔγνω δὲ κἀκεῖνα, ἃ καὶ νῦν ἐν ταῖς ταφαῖς νομίζεται, ἔν τε ἄλλοις καὶ ἐν τούτοις

'ἔνθα ἑ ταρχύσουσι κασίγνητοί τε ἔται τε
τύμβῳ τε στήλῃ τε· τὸ γὰρ γέρας ἐστὶ θανόντων'.

καὶ οἷα ἡ Ἀνδρομάχη φησὶν εἰς τὸν Ἕκτορος νέκυν γυμνὸν κείμενον

1 Hom. σ 265 5 ἐπὴν δὴ Homerus 8 id. β 226 14 id. Ω 48 ib. ἦ τοι idem: ἤτοι 17 id. Τ 228 21 id. Π 456

'αἰόλαι εὐλαὶ ἔδονται, ἐπεί κε κύνες κορέσωνται,
γυμνόν· ἀτάρ μοι εἵματ' ἐνὶ μεγάροισι κέονται
λεπτά τε καὶ χαρίεντα, τετυγμένα χερσὶ γυναικῶν.
ἀλλ' ἤ τοι τάδε πάντα καταφλέξω πυρὶ κηλέῳ,
οὐδὲν σοί γ' ὄφελος, ἐπεὶ οὐκ ἐγκείσεαι αὐτοῖς,
ἀλλὰ πρὸς Τρώων καὶ Τρωιάδων κλέος εἶναι'.

οὕτω καὶ ἡ Πηνελόπη τὴν ἐσθῆτα κατασκευάζει 'Λαέρτῃ ἥρωι ταφήιον'. καὶ ταῦτα μὲν μέτρια· τὰ δὲ πέρα τούτων, καὶ ζῷα ἄλλα τε καὶ ἀνθρώπους ἐπικαίειν τὸν Ἀχιλλέα τῇ τοῦ Πατρόκλου πυρᾷ, οὐκ ἐπαινῶν λέγει· διὸ καὶ ἐπιφωνεῖ

'κακὰ δὲ φρεσὶ μήδετο ἔργα'.

191. Καὶ τὰ πολυάνδρια δὲ πρῶτος ἤγειρε

'τύμβον δ' ἐκ πεδίου ἵνα χεύομεν ἐξαγαγόντες'·

καὶ τοὺς ἐπιταφίους ἀγῶνας ἔδειξε πρῶτος. ταῦτα μὲν κοινὰ τῶν τε ἐν εἰρήνῃ καὶ τῶν ἐν πολέμῳ καθεστώτων.

192. Τὴν δὲ περὶ τοὺς πολέμους ἐμπειρίαν, ἣν καὶ τακτικήν τινες καλοῦσιν, ἡ ποίησις πεποικιλμένην μὲν πεζομαχίαις, τειχομαχίαις, ἔτι ναυμαχίαις, παρὰ ποταμῷ παρατάξεσι, μονομαχίαις, πολλὰ δὲ καὶ στρατηγικὰ περιέχουσαν, ὧν ὀλίγα παραθέσθαι ἐστὶν ἄξιον. ἐν γὰρ ταῖς παρατάξεσιν ἀεὶ χρὴ προ-

1 id. *X* 509 2 μοι] τοι idem 4 ἤ τοι idem: ἤτοι 8 id. β 99 12 id. Φ 19 14 id. *H* 336, ubi vid. lect. discrepantiam 19 corr. vid. ἡ ποίησις παραδίδωσιν (vel simile hic aut alio loco) πεποικιλμένην cett. 20 ἔτι ναυμαχίαις *: ἐπιναυμαχίαις 22 περιέχουσα: correxi

τετάχθαι τὸ ἱππικὸν καὶ ἕπεσθαι τὸ πεζόν· καὶ τοῦτο δὲ δείκνυσιν οὕτως

'ἱππῆας μὲν πρῶτα σὺν ἵπποισιν καὶ ὄχεσφι,
πεζοὺς δ' ἐξόπιθεν στήσας πολέας τε καὶ ἐσθλούς'.

193. Καὶ τὸ εἶναι ἐν τοῖς στρατιώταις ἡγεμόνας κατὰ τάξεις

'ἕπτ' ἔσαν ἡγεμόνες φυλάκων, ἑκατὸν δὲ ἑκάστῳ
κοῦροι ἅμ' ἔστειχον δολίχ' ἔγχεα χερσὶν ἔχοντες'.

καὶ τῶν ἡγεμόνων τοὺς μὲν προαγωνίζεσθαι ἐν πρώτοις τεταγμένους, τοὺς δὲ κατόπιν γενομένους ἐπείγειν τοὺς λειπομένους πρὸς τὴν μάχην

'οἱ δ' ἀμφ' Ἰδομενῆα δαΐφρονα θωρήσσοντο·
Ἰδομενεὺς μὲν ἐνὶ προμάχοις συὶ εἴκελος ἀλκήν,
Μηριόνης δ' ἄρα οἱ πυμάτας ὤτρυνε φάλαγγας'.

194. Καὶ ὅτι δεῖ τοὺς δυνάμει διαφέροντας ἐν τοῖς ἔξω στρατοπεδεύειν, ὥσπερ τεῖχος τῶν λοιπῶν περιβεβλημένους, τὸν δὲ βασιλέα ἐν τῷ ἀσφαλεστάτῳ, τουτέστι τῷ μεσαιτάτῳ, κατασκηνοῦν, δείκνυσιν ἐν τῷ τοὺς μὲν γενναιοτάτους, τὸν Ἀχιλλέα καὶ τὸν Αἴαντα, ἐν τοῖς ἐσχάτοις μέρεσι τῶν νεῶν κατεσκηνωκέναι, τὸν δ' Ἀγαμέμνονα καὶ τοὺς ἄλλους ἀρίστους ἐν τῷ μέσῳ.

195. Καὶ τὸ ἐν τῷ στρατοπεδεύεσθαι χάρακάς τε περιβάλλεσθαι καὶ τάφρους ἀποσκάπτειν εἰς εὖρος καὶ βάθος καὶ σκόλοψι κύκλῳ διαλαμβάνειν, ὡς

3 Hom. Δ 297 4 στῆσεν idem 7 id. Ι 86 12 id. Δ 252 17 malim προβεβλημένους, aut πρὸ τῶν λοιπῶν

μήτε ὑπερπηδᾶν τινα διὰ πλάτος μήτε διὰ βάθος κατιέναι δύνασθαι, γίνεται ἐν τοῖς πολεμίοις καὶ παρ' Ὁμήρῳ

'ἀπὸ γὰρ δειδίσσετο τάφρος
εὐρεῖ', οὔτ' ἄρ' ὑπερθορέειν σχεδὸν οὔτε περῆσαι
ῥηιδίη· κρημνοὶ γὰρ ἐπηρεφέες περὶ πᾶσαν
ἕστασαν ἀμφοτέρωθεν· ὕπερθεν δὲ σκολόπεσσιν
ὀξέσιν ἠρήρειστ', οὓς ἕστασαν υἷες Ἀχαιῶν
πυκνοὺς καὶ μεγάλους, δηίων ἀνδρῶν ἀλεωρήν'.

196. Καὶ μαχόμενοι θνήσκουσι γενναίως οἱ τούτοις ἑπόμενοι

'μὴ μὰν ἀσπουδεί γε καὶ ἀκλειῶς ἀπολοίμην,
ἀλλὰ μέγα ῥέξας τι καὶ ἐσσομένοισι πυθέσθαι'·

καὶ πάλιν

'ὃς δέ κεν ὑμέων
βλήμενος ἠὲ τυπεὶς θάνατον καὶ πότμον ἐπίσπῃ,
τεθνάτω· οὔ οἱ ἀεικὲς ἀμυνομένῳ περὶ πάτρης
τεθνάμεν'.

197. Καὶ τοῖς μὲν ἀριστεῦσι γέρα νέμεται

'ἄλλα δ' ἀριστήεσσι δίδου γέρα καὶ βασιλεῦσι'·

τοῖς δὲ λιποτάκταις ἀπειλεῖ

'ὃν δ' ἂν ἐγὼν ἀπάνευθε νεῶν ἐθέλοντα νοήσω,
αὐτοῦ οἱ θάνατον μητίσσομαι'.

2 ἐν W: τε ἐν 4 Hom. *M* 52 8 ἠρήρει, τοὺς idem 12 id. *X* 304 15 id. *O* 494 20 id. *I* 334 21 *: λειποτάκταις 22 Hom. *O* 348 ib. ἐθέλοντα] ἑτέρωθι idem

198. Ἐν δὲ ταῖς μάχαις ὃν μὲν τρόπον καὶ ὅπως διαφόρως καὶ ποικίλως τοὺς ἥρωας ποιεῖ τιτρώσκοντας καὶ τιτρωσκομένους, τί δεῖ λέγειν; ἐκεῖνο δ' ὑπομνῆσαι ἄξιον, ὅτι τοὺς μὲν πρόσθεν τετρωμένους ἐνδοξοτέρους ἡγούμεθα, ἅτε τὴν ἐκ τοῦ συνεστάναι καὶ παραμένειν προθυμίαν δεικνύοντας, τοὺς δὲ τὸ νῶτον ἢ τὸ μετάφρενον πεπληγότας ἀτιμοτέρους, ὡς ἐν τῷ φεύγειν τοῦτο πεπονθότας. καὶ ταῦτα οὖν ἑκάτερά ἐστι παρ' Ὁμήρῳ

'εἴπερ γάρ κε βλεῖο πονεύμενος ἠὲ τυπείης,
οὐκ ἂν ἐπ' αὐχέν' ὄπισθε πέσοι βέλος οὐδ' ἐνὶ νώτῳ,
ἀλλά κεν ἢ στέρνων ἢ νηδύος ἀντιάσειε
πρόσσω ἱεμένοιο μετὰ προμάχων ὀαριστύν'·

καὶ πάλιν

οὐ μέν μοι φεύγοντι μεταφρένῳ ἐν δόρυ πήξεις,
ἀλλ' ἰθὺς μεμαῶτι διὰ στήθεσφιν ἔλασσον'.

χρησίμως δὲ καὶ ἐν τῇ τροπῇ τῶν πολεμίων παραινεῖ μὴ περὶ τὰ σκῦλα γίνεσθαι μηδ' ἐνδιδόναι καιρὸν φυγῆς, ἀλλ' ἐγκεῖσθαι καὶ διώκειν

'μή τις νῦν ἐνάρων ἐπιβαλλόμενος μετόπισθεν
μιμνέτω, ὥς κεν πλεῖστα φέρων ἐπὶ νῆας ἵκηται.
ἀλλ' ἄνδρας κτείνωμεν, ἔπειτα δὲ καὶ τὰ ἕκηλοι
νεκροὺς ἂμ πεδίον συλήσετε τεθνειῶτας'.

199. Ἔστι δὲ παρ' αὐτῷ πάσης ἡλικίας κατορθώματα, ὑφ' ὧν πᾶς ὁστισοῦν ἐπαρθείη· ὁ μὲν ἀκμάζων ὑπὸ τοῦ Ἀχιλλέως καὶ Αἴαντος καὶ Διο-

10 Hom. *N* 288 15 id. *X* 283 20 id. Z 68

μήδους, ὁ δὲ νεώτερος ὑπὸ τοῦ Ἀντιλόχου καὶ τοῦ Μηριόνου, ὁ δὲ μεσαιπόλιος ὑπὸ τοῦ Ἰδομενέως καὶ τοῦ Ὀδυσσέως, ὁ δὲ γέρων ὑπὸ τοῦ Νέστορος, καὶ πᾶς βασιλεὺς ὑπὸ τούτων ἁπάντων καὶ τοῦ Ἀγαμέμνονος. τοιαῦτα μὲν τῶν πολιτικῶν λόγων καὶ πράξεών ἐστι παρ' Ὁμήρῳ τὰ λήμματα.

200. Θεασώμεθα δὲ καὶ περὶ τῶν ἰατρικῶν, εἰ καὶ τούτων μὴ εἶχεν ἀπείρως Ὅμηρος. καὶ ὅτι μὲν πολλοῦ ἀξίαν τὴν τέχνην ὑπελάμβανε, δῆλον ἐκ τούτου

'ἰητρὸς γὰρ ἀνὴρ πολλῶν ἀντάξιος ἄλλων'.

δοκεῖ δ' ἡ ἰατρικὴ ἐπιστήμη εἶναι νοσερῶν καὶ ὑγιεινῶν· ἅπερ ἐκ τούτων ἄν τις μάθοι, ὅτι μὲν ἐπιστήμη

'ἰητρὸς δὲ ἕκαστος ἐπιστάμενος περὶ πάντων'·

ὅτι δ' ὑγιεινῶν καὶ νοσερῶν

'φάρμακα πολλὰ μὲν ἐσθλὰ μεμιγμένα, πολλὰ δὲ [λυγρά'

σημαίνει τούτων ἑκάτερον.

201. Ἔστι δὲ τῆς ἰατρικῆς θεωρητικὸν μὲν τὸ διὰ τῶν καθολικῶν λόγων καὶ διὰ μεθόδου ἐπάγον ἐπὶ τὴν τῶν κατὰ μέρος γνῶσιν, τούτου δ' αὖ μέρη τὸ μὲν σημειωτικὸν τὸ δ' αἰτιολογικόν· πρακτικὸν δὲ τὸ διὰ τῆς ἐνεργείας αὐτῆς βαδίζον, τούτου δὲ μέρη τὸ μὲν διαιτητικὸν τὸ δὲ χειρουργικὸν τὸ δὲ

11 id. Λ 514 13 μὲν] μὲν γὰρ? 15 id. δ 231 17 id. ib. 230 20 δὲ W: μέν. Malim μέντοι

φαρμακευτικόν. πῶς οὖν ἑκάστῳ τούτων Ὅμηρος ἐπιβέβληκεν; ὅτι μὲν γὰρ θεωρητικόν τι εἶναι ἐπίσταται, ἐν τούτῳ αἰνίσσεται

'τοῖα Διὸς θυγάτηρ ἔχε φάρμακα μητιόεντα'·

μητιόεντα γὰρ λέγει δηλονότι κατὰ τέχνην θεωρητικὴν ἐσκευασμένα.

202. Τὸ δὲ σημειωτικὸν ἄντικρυς ἱστορεῖ διὰ τοῦ Ἀχιλλέως. μαθητὴς γὰρ ὢν Χείρωνος πρῶτος τὴν αἰτίαν τῆς κατασχούσης τοὺς Ἕλληνας νόσου κατενόησε, συνιδὼν ὅτι τὰ ἐπιδήμια νοσήματα ἐκ τοῦ Ἀπόλλωνός ἐστιν, ὅς γε δοκεῖ εἶναι ὁ αὐτὸς τῷ Ἡλίῳ· οὗτος γὰρ τὰς ὥρας τοῦ ἔτους ἐπάγει, αἵπερ, ὅταν ὦσι δυσκράτως διακείμεναι, νοσήματος αἰτίαι καθίστανται. καὶ γὰρ τὸ ὅλον τήν τε σωτηρίαν καὶ τὸν ὄλεθρον τῶν μὲν ἀνδρῶν τῷ Ἀπόλλωνι τῶν δὲ γυναικῶν τῇ Ἀρτέμιδι, τουτέστι τῷ Ἡλίῳ καὶ τῇ Σελήνῃ, ἀνατίθησι, τοξότας μὲν αὐτοὺς ποιῶν διὰ τὴν τῶν ἀκτίνων βολήν, οὕτω δὲ διορίζων τὸ ἄρρεν καὶ τὸ θῆλυ, ἐπεὶ καὶ θερμότερον φύσει τὸ ἄρρεν γένος. διὰ ταῦτα γοῦν φησι τὸν μὲν Τηλέμαχον τηλικοῦτον εἶναι Ἀπόλλωνός γε ἕκητι, τὰς δὲ Τυνδάρεω κούρας ὑπὸ Ἀρτέμιδος ηὐξῆσθαι. τοὺς δὲ θανάτους ἔν τε ἄλλοις πολλοῖς καὶ ἐν τούτοις διορίζει

'τοὺς μὲν Ἀπόλλων πέφνεν ἀπ' ἀργυρέοιο βιοῖο,
χωόμενος Νιόβῃ, τὰς δ' Ἄρτεμις ἰοχέαιρα'.

4 Hom. δ 227 25 id. Ω 605

ὅπου δὲ καὶ τὴν τοῦ Κυνὸς ἐπιτολὴν διηγεῖται, σημεῖον καὶ αἴτιον τοῦτο ἐκκαύσεως καὶ νόσων

'λαμπρότατος μὲν ὅ γ' ἐστί, κακὸν δέ τε σῆμα τέτυκται,
καί τε φέρει πολλὸν πυρετὸν δειλοῖσι βροτοῖσιν'.

203. Αἰτιολογεῖ δ' ἐν οἷς λέγει περὶ τῶν θεῶν

'οὐ γὰρ σῖτον ἔδουσ', οὐ πίνουσ' αἴθοπα οἶνον·
τοὔνεκ' ἀναίμονές εἰσι καὶ ἀθάνατοι καλέονται'.

ἡ γὰρ τροφὴ ἥ τε ξηρὰ καὶ ὑγρὰ αἵματός ἐστι γεννητική· τοῦτο δὲ τρέφει μὲν τὸ σῶμα, πλεονάσαν δ' ἢ διαφθαρὲν νόσων αἴτιον γίνεται.

204. Τὸ δὲ πρακτικὸν μέρος τῆς ἰατρικῆς οὕτως ἀκριβοῖ, ἐν ᾧ ἐστι καὶ διαιτητικόν. πρῶτον μὲν γὰρ οἶδε τὰ χρόνια τῶν νοσημάτων καὶ τὰ ὀξέα, ὡς ὅταν λέγῃ

'τίς νύ σε κὴρ ἐδάμασσε τανηλεγέος θανάτοιο,
ἢ δολιχὴ νοῦσος, ἢ Ἄρτεμις ἰοχέαιρα
οἷς ἀγανοῖσι βέλεσσιν ἐποιχομένη κατέπεφνεν;'

205. Φανερὸς δ' ἐστὶ καὶ τὴν λιτὴν δίαιταν ὑγιεινὴν ὑπολαμβάνων· πεποίηκε γὰρ τοὺς ἥρωας ὀπτοῖς κρέασι χρωμένους, περιελὼν τὴν περὶ τὰ βρώματα περιεργίαν. καὶ ἐπεὶ ἡ γαστὴρ ἀεὶ δεῖται πληρώσεως, ὅταν τὰ πρότερα σιτία καταπεφθέντα τὸ μὲν οἰκεῖον τῷ σώματι εἰς καρδίαν καὶ τὰς φλέβας ἀναπέμψῃ τὸ δὲ περισσὸν ἐκβάλῃ, τοιαῦτά φησιν

1 διηγεῖται] add. ποιεῖται Duebnerus 3 Hom. Χ 30 6 id. Ε 341 11. 12 ἐν ᾧ ἐστι καὶ τὸ διαιτητικόν, οὕτως ἀκριβοῖ W 15 Hom. λ 171

'ἀλλ' ἐμὲ μὲν δορπῆσαι ἐάσσατε κηδόμενόν περ.
οὐ γάρ τι στυγερῇ ἐπὶ γαστέρι κύντερον ἄλλο
ἔπλετο, ἥ τ' ἐκέλευσεν ἕο μνήσασθαι ἀνάγκῃ'·

καὶ πάλιν

'ἡ δὲ μάλ' αἰεὶ
ἐσθέμεναι κέλεται καὶ πινέμεν· ἐκ δέ με πάντων
ληθάνει ὅσσ' ἔπαθον, καὶ ἐνιπλήσασθαι ἀνώγει'.

206. Οἶδε δὲ καὶ οἴνου χρήσεως διαφοράς, ὅτι ὁ μὲν πολὺς ποθεὶς βλαβερός, ὁ δὲ μέτριος ὠφέλιμος. τὸ μὲν οὕτως

'οἶνός σε τρώει μελιηδής, ὅς τε καὶ ἄλλους
βλάπτει, ὃς ἄν μιν χανδὸν ἕλῃ μηδ' αἴσιμα πίνῃ'·

τὸ δ' ἐκείνως

'ἀνδρὶ δὲ κεκμηῶτι μένος μέγα οἶνος ἀέξει'.

καὶ ὅτι δυνάμεως ποιητικός

'ὃς δέ κ' ἀνὴρ οἴνοιο κορεσσάμενος καὶ ἐδωδῆς
ἀνδράσι δυσμενέεσσι πανημέριος πολεμίζῃ,
θαρσαλέον νύ οἱ ἦτορ ἐνὶ φρεσίν, οὐδέ τι γυῖα
πρὶν κάμνει, πρὶν πάντας ἐρωῆσαι πολέμοιο'.

καὶ τὸν μὲν ἡδὺν εἰς τὰς φιλοφροσύνας παραλαμβάνει

'ὣς φάτο· Ποντόνοος δὲ μελίφρονα οἶνον ἐκίρνα',

τὸν δὲ σφοδρὸν καὶ καρωτικὸν τῷ Κύκλωπι ὁ Ὀδυσσεὺς παρατίθησι, τὸν δὲ στύφοντα πρὸς ἴασιν·

1 Hom. η 215 5 id. ib. 219 11 id. φ 294 14 id. Z 261 16 id. T 167 18 οἱ idem: τοι 22 Hom. η 182 24 παρατίθησι W: τίθησι

οὗτος γάρ ἐστιν ὁ Πράμνειος, ὃν τῷ Μαχάονι τετρωμένῳ δίδωσιν.

207. Ὅπως δὲ καὶ γυμνασίοις χρῆσθαι παραγγέλλει, φανερὸν ἐκ πολλῶν. ἀεὶ γὰρ πονοῦντας ποιεῖ τοὺς μὲν ἐν τοῖς προσήκουσιν ἔργοις, τοὺς δὲ δι' ἐπιτηδευμάτων· ὁπότε καὶ τοὺς μάλιστα τῇ ἡδυπαθείᾳ κεχρημένους Φαίακας καὶ τοὺς ἀσώτους μνηστῆρας γυμναζομένους εἰσάγει. καὶ πόνους μὲν τοὺς αὐτάρκεις αἰτίους ὑγιείας ὄντας νομίζει, τῶν δὲ καταβαρούντων τὸ σῶμα καμάτων ἴαμα τὸν ὕπνον εἶναι· φησὶ γὰρ τῷ Ὀδυσσεῖ κεκμηκότι ἀπὸ τῆς θαλάσσης ὕπνον ἐπελθεῖν,

'ἵνα μιν παύσειε τάχιστα
δυσπονέος καμάτοιο'·

ἡ γὰρ φύσις ἀπαιτεῖ τὸ κεκμηκὸς σῶμα ἀναπαύεσθαι, καὶ ἐν ᾧ ὀλίγον τὸ θερμὸν ὑπάρχει, τοῦτο ἐπεὶ οὐ δύναται πάντῃ ἐξικνεῖσθαι, ἐν τῷ βάθει μένειν. πῶς δὲ καὶ ἀναπαύεται τὸ σῶμα; ὅτι ἡ σύντασις τῆς ψυχῆς ἀνίεται καὶ τὰ μέλη τοῦ σώματος λύεται, καὶ τοῦτο ἐναργῶς εἶπεν

'εὗδε δ' ἀνακλινθεῖσα, λύθεν δέ οἱ ἅψεα πάντα'.

τὸ δ' ἐν τοῖς ἄλλοις ἅπασιν ἄμετρον οὐκ ὂν ὠφέλιμον καὶ ἐπὶ τοῦ ὕπνου ἀποφαίνεται, ποτὲ μὲν εἰπών

'ἀνίη καὶ πολὺς ὕπνος',

ποτὲ δέ

9 ὑγείας: correxi ib. ὄντας W: οὕτως 13 Hom. ε 493 20 καὶ] ὡς? 21 id. δ 794 24 id. ο 394

'ἀνίῃ καὶ τὸ φυλάσσειν
πάννυχον ἐγρήσσοντα'.

208. Ἐπίσταται δὲ καὶ ἀέρων εὐκρασίαν ὑγιείας οὖσαν παρασκευαστικήν, ἐν οἷς φησιν

'ἀλλά σ' ἐς Ἠλύσιον πεδίον καὶ πείρατα γαίης
ἀθάνατοι πέμψουσιν, ὅθι ξανθὸς Ῥαδάμανθυς,
τῇ περ ῥηίστη βιοτὴ πέλει ἀνθρώποισιν·
οὐ νιφετὸς οὔτ' ἂρ χειμὼν πολὺς οὔτε ποτ' ὄμβρος,
ἀλλ' αἰεὶ Ζεφύροιο λιγὺ πνείοντας ἀήτας
Ὠκεανὸς ἀνίησιν ἀναψύχειν ἀνθρώπους'·

ἐν οἷς δύο ταῦτα μάλιστα ὀρθῶς διεγνωκὼς φαίνεται, ὅτι τε ἡ ἀρχὴ τῶν ἀνέμων ἀπὸ τῶν ὑγρῶν γίνεται καὶ ὅτι τὸ ἔμφυτον τοῦ ζῴου θερμὸν δεῖται ἀναψύξεως.

209. Καὶ ἰάματα δὲ παθημάτων οἶδε, λιποθυμίας μὲν ἀνάψυξιν, ὅπερ ἐπὶ τοῦ Σαρπηδόνος ποιεῖ

'αὖτις δ' ἀμπνύνθη, περὶ δὲ πνοιὴ Βορέαο
ζώγρει ἐπιπνείουσα κακῶς κεκαφηότα θυμόν'·

ψύξεως δὲ θέρμην, ὡς ἐπὶ τοῦ Ὀδυσσέως κεχειμασμένου, ὃς ἐν τῷ θάμνῳ κρύπτεται, ἔνθα καὶ ἀνέμων καὶ ὄμβρων ἣν ἐν σκέπῃ καὶ τῇ παρούσῃ ὕλῃ καλύπτεται· κόπου δὲ λουτρὰ καὶ χρίσματα, ὡς ἐπὶ τοῦ Διομήδους καὶ τοῦ Ὀδυσσέως ἐκ τῆς νυκτεγερσίας ἀνακομισθέντων· καὶ γὰρ οἵαν ὠφέλειαν ἔχει τὰ λουτρά, διὰ τούτων μάλιστα δηλοῖ

1 Hom. υ 52 5 id. δ 563 15 λειποθυμίας *: correxi 17 Hom. Ε 697 ib. αὖτις idem: αὖθις 21 ἐν σκέπῃ W: ἡ σκέπη 22 κόπου H: καὶ ὅπου

'θυμῆρες κεράσασα κατὰ κρατός τε καὶ ὤμων'. φανερὸν οὖν, ὅτι ἐντεῦθεν ἔχοντα τὴν ἀρχὴν τὰ νεῦρα εἰκότως ἀπ' αὐτῶν καὶ τὴν ἴασιν τοῦ κόπου λαμβάνει· αὕτη δ' ἐστὶν ἡ διὰ τοῦ θερμανθῆναι καὶ ὑγρανθῆναι· ξηραίνουσι γὰρ οἱ κόποι.

210. *Λοιπόν ἐστι σκοπεῖν*, ὅπως καὶ τὰ τῆς χειρουργίας κατενόησε. τὸν μὲν δὴ Μενέλαον ὁ Μαχάων ἰᾶται, πρῶτον ἐκκομισάμενος τὸ βέλος, ἔπειτα σκεψάμενος τὸ ἕλκος καὶ ἐκπιέσας τὸ αἷμα καὶ ξηρὰ φάρμακα ἐπιπάσας· καὶ τοῦτο πρόδηλον, ὅτι τεχνικῶς αὐτῷ πράσσεται. τὸν δ' Εὐρύπυλον κατὰ τοῦ μηροῦ τετρωμένον Πάτροκλος πρῶτα μὲν τῷ εὐπορηθέντι μαχαιρίῳ διαχειρίζει, ἔπειτα ἀπονίψας ὕδατι λιαρῷ, ὡς ἀνωδυνώτερον γένοιτο, ῥίζαν ἐπιβάλλει· πολλαὶ γὰρ πανταχῆ πρὸς ἴασιν ἑλκῶν πεφύκασιν. ἔγνω δὲ καὶ τοῦτο, ὡς τὰ πικρὰ φάρμακα πρὸς τὸ ξηραίνειν ἐστὶν ἐπιτήδεια· ξηραίνεσθαι δὲ χρῄζει τὰ ἕλκη. καὶ οὐκ εὐθέως ἰασάμενος ὁ Πάτροκλος ἀπῆλθεν, ἀλλ' 'ἧστό τε καὶ τὸν ἔτερπε λόγοις'· ἔδει γὰρ τῷ ὀδυνωμένῳ παραμυθίας. τὸν δὲ Μαχάονα τρωθέντα οὐ μεγάλην οὐδὲ καίριον πληγὴν ἐπὶ τοῦ ὤμου εἰκότως ἀφυλακτοτέρᾳ διαίτῃ ποιεῖ χρώμενον· ἴσως καὶ τὴν τέχνην αὐτοῦ δείκνυσιν· ὁ γὰρ τὰ ἄλλα ὡς ἔτυχε διαιτώμενος ἑαυτὸν ἰᾶσθαι ἐδύνατο.

211. *Κἀκεῖνο δ' ἔστι κατανοῆσαι* παρ' αὐτῷ, ὅτι οὐκ ἀγνοεῖ τῶν ἰατρικῶν φαρμάκων τὰ μὲν ἐπίπλαστα καὶ ἐπίπαστα, ὡς ὅταν εἴπῃ

1 Hom. κ 362 19 id. *O* 393 23 ἴσως] mutatum in εἶδος transponit post τὰ ἄλλα W

'ἐπὶ δ' ἤπια φάρμακα πάσσε',

τὰ δὲ ποτά, ὅπου ἡ Ἑλένη τῷ κρατῆρι μίσγει φάρμακον

'νηπενθές τ' ἄχολόν τε, κακῶν ἐπίληθες ἁπάντων'.

τὸν αὐτὸν δὲ τρόπον καὶ τῶν δηλητηρίων φαρμάκων τὰ μὲν ἐπίχριστα οἶδεν, ὡς ἐν τούτοις

'φάρμακον ἀνδροφόνον διζήμενος, ὄφρα οἱ εἴη
ἰοὺς χρίεσθαι χαλκήρεας',

τὰ δὲ ποτὰ ἐν ἐκείνοις

'ἐν δὲ βάλῃ κρητῆρι καὶ ἡμέας πάντας ὀλέσσῃ'.

ταῦτα μὲν καὶ περὶ τῶν παρ' Ὁμήρῳ ἰατρικῶν.

212. Ὠφελοῦνται δ' οἱ ἄνθρωποι, ὥσπερ ἀπὸ τῆς ἰατρικῆς, οὕτως ἔστιν ὅτε καὶ ἀπὸ τῆς Μαντικῆς. ταύτης μέντοι τὸ μὲν τεχνικόν φασιν εἶναι οἱ Στωικοί, οἷον ἱεροσκοπίαν καὶ οἰωνοὺς καὶ τὸ περὶ φήμας καὶ κληδόνας καὶ σύμβολα, ἅπερ συλλήβδην ὄτταν καλοῦμεν, τὸ δ' ἄτεχνον καὶ ἀδίδακτον, τουτέστιν ἐνύπνια καὶ ἐνθουσιασμούς. οὐδὲ ταῦτα οὖν Ὅμηρος ἠγνόησεν· ἀλλ' οἶδε μὲν μάντεις καὶ ἱερεῖς καὶ ὀνειροπόλους, ἔτι δὲ καὶ οἰωνιστὰς καί τινα ἐν Ἰθάκῃ σοφὸν

'ὄρνιθας γνῶναι καὶ ἐναίσιμα μυθήσασθαι'·

καὶ Ὀδυσσεύς φησιν εὐχόμενος

1 Hom. Δ 218, ubi ἐπ' ἄρ' pro ἐπὶ δ' Homerus 4 id. δ 221 ib. τ' addidi ex eodem 7 id. α 261 10 id. β 330 22 id. ib. 159

'φήμην τίς μοι φάσθω ἐγειρομένων ἀνθρώπων
ἔνδοθεν, ἔκτοσθεν δὲ Διὸς τέρας ἄλλο φανήτω'.

καὶ πταρμὸς δὲ παρ' αὐτῷ σύμβολον ἀγαθὸν γίνεται. τοῖς δὲ μνηστῆρσιν ἐφίσταται ἔνθεος μάντις, ἔκ τινος ἐπιπνοίας σημαίνων τὰ μέλλοντα· ἐπεὶ δὲ καὶ ὁ Ἕλενος αὐτήκοός φησι θείας φωνῆς γεγονέναι

'ὡς γὰρ ἐγὼν ὄπ' ἄκουσα θεῶν αἰειγενετάων',

παρέχει πιστεύειν ὅτι καὶ Σωκράτης ἀπὸ τῆς τοῦ δαιμονίου φωνῆς ἐμαντεύετο.

213. Τίς ἔτι καταλείπεται λογικὴ τέχνη ἢ ἐπιστήμη; ἀλλὰ μὴν καὶ ἡ Τραγῳδία τὴν ἀρχὴν ἔλαβεν ἐξ Ὁμήρου, εἰς ὄγκον πραγμάτων καὶ λόγων ἐπαρθεῖσα. ἔστι γὰρ παρ' αὐτῷ πᾶν εἶδος τραγῳδίας, ἔργα μεγάλα καὶ παράδοξα καὶ θεῶν ἐπιφάνειαι καὶ λόγοι φρονήματος μεστοὶ καὶ ἠθῶν παντοίων μιμητικοί. συνελόντι δ' εἰπεῖν, ὅτι οὐδὲν ἄλλο ἢ δράματα αὐτοῦ ἐστι τὰ ποιήματα, σεμνὰ μὲν καὶ ἐπηρμένα τῇ λέξει καὶ τῇ διανοίᾳ καὶ τοῖς πράγμασιν, οὐκ ἔχοντα δ' ἀνοσίων ἔργων ἐπιδείξεις, γάμους ἀθεμίτους ἢ παίδων ἢ γονέων σφαγὰς ἢ ὅσα ἄλλα ἡ νεωτέρα τραγῳδία τερατεύεται· ἀλλὰ καὶ ὅταν τοιούτου τινὸς ἐπιμνησθῇ, ἐπικρύπτειν μᾶλλον ἢ ὀνειδίζειν πειρᾶται τὸ ἁμάρτημα, ὡς ἐπὶ τῆς Κλυταιμνήστρας πεποίηκε. φησὶ γὰρ ὅτι 'φρεσὶ κέχρητ' ἀγαθῇσιν' τὸ πρότερον, ἕως παρόντα εἶχε τὸν ἀοιδὸν ὑπὸ τοῦ Ἀγαμέμνονος ἐπισταθέντα, ὅπως αὐτῇ

1 id. υ 100 7 id. Η 53 vid. Schol. A 16 ὅτι] deleam 24 Hom. γ 266 25 ἀοιδὸν Duebnerus: ἀοιδὸν τουτέστι διδάσκαλόν τινα

τὰ ἄριστα παραινῇ· τοῦτον δ' ἐκποδὼν ὁ Αἴγισθος θέμενος παρέπεισεν αὐτὴν ἐξαμαρτάνειν. καὶ ὅτι ὁ Ὀρέστης δικαίως ἐτιμωρήσατο τῷ πατρὶ τὸν Αἴγισθον ἀποκτείνας, τὴν δὲ τῆς μητρὸς ἀναίρεσιν ἀπεσίγησε. καὶ ἄλλα πολλὰ τοιαῦτα ἰδεῖν ἔστι παρὰ τῷ ποιητῇ, τραγῳδίαν σεμνὴν καὶ οὐκ ἀπάνθρωπον γράφοντι.

214. Οὐδὲν δ' ἔλασσον καὶ ἡ Κωμῳδία ἐνθένδε ποθὲν ἔλαβε τὴν ἀφορμήν· εὗρε γὰρ ὅτι καὶ παρ' αὐτῷ τὰ σεμνότατα καὶ ὑψηλότατα διηγουμένῳ ἐπεισόδιά τινα ἔστι γέλωτα κινοῦντα, ὥσπερ ἐν τῇ Ἰλιάδι ὁ μὲν Ἥφαιστος χωλεύων εἰσάγεται οἰνοχοῶν τοῖς θεοῖς,

'ἄσβεστος δ' ἄρ' ἐνῶρτο γέλως μακάρεσσι θεοῖσιν'.

ὁ δὲ Θερσίτης, τῷ τε σώματι αἴσχιστος καὶ τὴν ψυχὴν κάκιστος, ἐκ τοῦ θορυβεῖν καὶ κακολογεῖν καὶ αὐχεῖν, ἐφ' οἷς οὐδεὶς τῶν ἐν δυνάμει καθεστηκότων, καὶ ἐπὶ τούτοις κολάζεσθαι γελᾶν ἐπ' αὐτῷ παρασκευάζων·

'οἱ δὲ καὶ ἀχνύμενοί περ ἐπ' αὐτῷ ἡδὺ γέλασσαν'.

ἐν δὲ τῇ Ὀδυσσείᾳ ὁ παρὰ τοῖς ἡδυπαθοῦσι Φαίαξι μελῳδὸς ᾄδει τὴν Ἄρεος καὶ Ἀφροδίτης μοιχείαν, καὶ ὅπως ἐμπεσόντες εἰς τὰ τοῦ Ἡφαίστου δεσμὰ κατάφωροί τε ἐγένοντο καὶ γέλωτα παρέσχον τοῖς ἄλλοις θεοῖς, οἳ καὶ ἔσκωψαν χαριέντως πρὸς ἀλλήλους. καὶ παρὰ τοῖς ἀσώτοις μνηστῆρσιν εἰσάγεται

9 ποθὲν] που Duebnerus ib. παρ' αὐτῷ idem: παρὰ τῷ 14 Hom. *A* 599 20 id. *B* 270

ὁ πτωχὸς Ἶρος, τῷ γενναιοτάτῳ Ὀδυσσεῖ ἐρίζων εἰς πάλην καὶ ἐν τῷ ἔργῳ φαινόμενος καταγέλαστος. καθόλου γὰρ οἰκεῖόν ἐστι τῇ τοῦ ἀνθρώπου φύσει μὴ μόνον ἐπιτείνεσθαι ἀλλὰ καὶ ἀνίεσθαι, ἵνα καὶ διαρκῇ πρὸς τοὺς ἐν τῷ ζῆν πόνους. τοιαύτη μὲν καὶ ἡ θυμηδία παρὰ τῷ ποιητῇ εὑρίσκεται. εἰ δ' οἱ μετ' αὐτὸν εἰσαγαγόντες τὴν κωμῳδίαν λόγοις αἰσχροῖς καὶ ἀποκεκαλυμμένοις εἰς παρασκευὴν γέλωτος ἐχρήσαντο, οὐκ ἂν εἴποιεν ἄμεινόν τι εὑρηκέναι. καὶ γὰρ τῶν ἐρωτικῶν διαθέσεων καὶ λόγων Ὅμηρος μὲν ἐγκρατῶς ἐπεμνήσθη· ὥσπερ ὁ Ζεύς φησιν

'οὐ γάρ πώ ποτέ μ' ὧδε ἔρως φρένας ἀμφεκάλυψε'

καὶ τὰ ἑξῆς. καὶ ἐπὶ τῆς Ἑλένης

'οὐ νέμεσις Τρῶάς τε καὶ εὐκνήμιδας Ἀχαιοὺς
τοιῇδ' ἀμφὶ γυναικὶ πολὺν χρόνον ἄλγεα πάσχειν'·

καὶ ὅσα ἄλλα τοιαῦτα· οἱ δ' ἄλλοι ποιηταὶ ἀκρατῶς καὶ ἀμέτρως ἁλισκομένους τῷ πάθει τοὺς ἀνθρώπους ἐποίησαν. καὶ ταῦτα μὲν ἐπὶ τοσοῦτον.

215. Ἔστι δέ τι χάριεν εἶδος λόγων καὶ τὸ τῶν Ἐπιγραμμάτων, ὅπερ εὑρέθη ἐπὶ τῶν ἀγαλμάτων καὶ αὖ πάλιν ἐπὶ τῶν μνημάτων, σημαῖνον συντόμως τὸν τούτων τινὶ τετιμημένον. ἀλλὰ καὶ τοῦτο Ὁμήρου, ὅπου φησίν

'ἀνδρὸς μὲν τόδε σῆμα πάλαι κατατεθνειῶτος,
ὅν ποτ' ἀριστεύοντα κατέκτανε φαίδιμος Ἕκτωρ'·

13 id. *Γ* 442 15 id. ib. 156 25 id. *Η* 89

καὶ πάλιν

'Ἕκτορος ἥδε γυνή, ὃς ἀριστεύεσκε μάχεσθαι
Τρώων ἱπποδάμων, ὅτε Ἴλιον ἀμφεμάχοντο'.

216. Εἰ δὲ καὶ ζωγραφίας διδάσκαλον Ὅμηρον φαίη τις, οὐκ ἂν ἁμαρτάνοι. καὶ γάρ εἶπέ τις τῶν σοφῶν, ὅτι ἐστὶν ἡ ποιητικὴ ζωγραφία λαλοῦσα, ἡ δὲ ζωγραφία ποιητικὴ σιωπῶσα. τίς οὖν πρῶτος ἢ τίς μᾶλλον Ὁμήρου τῇ φαντασίᾳ τῶν νοημάτων ἔδειξεν ἢ τῇ εὐφωνίᾳ τῶν ἐπῶν ἐκόσμησε θεοὺς ἀνθρώπους τόπους πράξεις ποικίλας; ἀνέπλασε δὲ τῇ ὕλῃ τῶν λόγων καὶ ζῷα παντοῖα, καὶ μάλιστα τὰ ἀλκιμώτατα, λέοντας σύας παρδάλεις· ὧν τὰς μορφὰς καὶ διαθέσεις ὑπογράψας καὶ ἀνθρωπείοις πράγμασι παραβαλὼν ἔδειξεν ἑκατέρας τὰς οἰκειότητας. ἐτόλμησε δὲ καὶ θεοῖς μορφὰς ἀνθρώπων εἰκάσαι· ὁ δὲ τὴν ἀσπίδα τῷ Ἀχιλλεῖ κατασκευάσας Ἥφαιστος καὶ ἐντορεύσας τῷ χρυσῷ γῆν οὐρανὸν θάλασσαν, ἔτι δὲ μέγεθος Ἡλίου καὶ κάλλος Σελήνης καὶ πλῆθος ἄστρων στεφανούντων τὸ πᾶν καὶ πόλεις ἐν διαφόροις τρόποις καὶ τύχαις καθεστώσας καὶ ζῷα κινούμενα καὶ φθεγγόμενα, τίνος οὐ φαίνεται τέχνης τοιαύτης δημιουργοῦ τεχνικώτερος;

217. Ἴδωμεν δὲ καὶ ἐπὶ ἄλλου ἑνὸς ἐκ πολλῶν παραδείγματος, ὅτι δρωμένοις μᾶλλον ἢ ἀκουομένοις ἔοικε τὰ ποιήματα, ὥσπερ οὖν καὶ τὰ τοιαῦτα, ἐν

2 Hom. Z 460 13 μορφὰς W: ἀφορμὰς 14 οἰκειότητας] εἰκόνας codices 16 εἰκάσαι] post hoc verbum aliqua excidisse putat Duebnerus

οἷς τὴν οὐλὴν τοῦ Ὀδυσσέως φράσας ἐπιφέρει τὰ τῆς Εὐρυκλείας

‘τὴν γρηῦς χείρεσσι καταπρηνέσσι λαβοῦσα
γνῶ ῥ᾽ ἐπιμασσαμένη, πόδα δὲ προέηκε φέρεσθαι.
ἂψ δ᾽ ἑτέρωσ᾽ ἐκλίθη· τὸ δ᾽ ἐπὶ χθονὸς ἐξέχυθ᾽ ὕδωρ.
τὴν δ᾽ ἅμα χάρμα καὶ ἄλγος ἕλε φρένα· τὼ δέ οἱ ὄσσε
δακρυόφιν πλῆσθεν, θαλερὴ δέ οἱ ἔσχετο φωνή.
ἁψαμένη δὲ γενείου Ὀδυσσῆα προσέειπεν·
ἦ μάλ᾽ Ὀδυσσεύς ἐσσι, φίλον τέκος· οὐδέ σ᾽ ἔγωγε
πρὶν ἔγνων, πρὶν πάντα ἄνακτ᾽ ἐμὸν ἀμφαφάασθαι.
ἦ καὶ Πηνελόπειαν ἐσέδρακεν ὀφθαλμοῖσι,
πεφραδέειν ἐθέλουσα’

καὶ τὰ ἑξῆς· ἐνταῦθα γάρ, ὡς ἐν πίνακι γραπτῷ δεδειγμένων τῶν ὑπὸ τὸν ὀφθαλμὸν πεσεῖν δυναμένων, ἐμφαίνεται πλείω τὰ μηδὲ τῇ ὄψει ἔτι καταληπτὰ ἀλλὰ τῇ νοήσει μόνῃ, ἥ τε διὰ τὴν ἔκπληξιν ἄφεσις τοῦ ποδὸς καὶ ὁ ψόφος τοῦ χαλκοῦ καὶ τὸ ἐκχεόμενον ὕδωρ καὶ ἡ τῆς γραὸς λύπη τε ἅμα καὶ χαρὰ καὶ τὰ ῥηθέντα πρὸς τὸν Ὀδυσσέα καὶ ἃ πρὸς τὴν Πηνελόπην ἀποβλέψασα εἰπεῖν ἐμέλλησε. πολλὰ δὲ καὶ ἄλλα γραφικῶς παρὰ τῷ ποιητῇ δείκνυται, ἅπερ ἐν αὐτῇ τῇ ἀναγνώσει θεάσασθαι ἔνεστιν.

218. Ἐνταῦθα καιρὸς καταπαύειν τὸν λόγον, ὅν, ὡσπερεὶ στέφανον ἐκ λειμῶνος πολυανθοῦς καὶ ποικίλου πλέξαντες, ταῖς Μούσαις ἀνατίθεμεν. καὶ οὐκ ἂν φροντίσαιμεν, εἴ τις ἐπιτιμήσειεν, ὅτι, πονηρῶν πραγμάτων ὑπόθεσιν ἐχουσῶν τῶν τοῦ Ὁμήρου

3 Hom. τ 468

ποιήσεων, προσάπτομεν αὐτῷ λόγους φυσικοὺς πολιτικοὺς καὶ ἠθικοὺς καὶ ἐπιστήμας ποικίλας. ἀνάγκη μὲν γὰρ ἦν τῷ ποιητῇ πράξεις παραδόξους καὶ πάθη καὶ ἤθη διάφορα ὑποθέσθαι, ἐπεὶ τὰ μὲν ἀγαθὰ καθ' ἑαυτὰ ἁπλᾶ ἐστι καὶ μονοειδῆ καὶ ἀκατασκεύαστα, τὰ δὲ τοῖς κακοῖς ἀναμεμιγμένα πολλοὺς ἔχει τρόπους καὶ παντοίας διαθέσεις, ἐξ ὧν ἡ ὕλη τῶν πραγμάτων συνίσταται, ἐν ᾗ παρατιθεμένων τῶν χειρόνων ἡ τῶν ἀμεινόνων γνῶσις καὶ αἵρεσις ῥᾴων καθίσταται. καὶ τὸ ὅλον, ἡ τοιαύτη ὑπόθεσις παρέσχεν ἀφορμὰς τῷ ποιητῇ παντοδαποὺς κινῆσαι λόγους, τοὺς μὲν ἀπ' αὐτοῦ τοὺς δ' ἀπὸ τῶν εἰσαγομένων προσώπων, ὥστε τὴν ἀπὸ τούτων ὠφέλειαν τοῖς ἐντυγχάνουσι παρασχεῖν. πῶς δ' οὐκ ἂν πᾶσαν ἀρετὴν ἀναθείημεν Ὁμήρῳ, ὅπου καὶ ὅσα αὐτὸς μὴ ἐπετήδευσε, ταῦτα οἱ ἐπιγενόμενοι ἐν τοῖς ποιήμασιν αὐτοῦ κατενόησαν· καὶ χρῶνται μέν τινες πρὸς μαντείαν τοῖς ἔπεσιν αὐτοῦ, καθάπερ τοῖς χρησμοῖς τοῦ θεοῦ· ἄλλοι δ' ἑτέρας ὑποθέσεις προθέμενοι ἁρμόζουσιν ἐπ' αὐτὰς τὰ ἔπη μετατιθέντες καὶ συνείροντες;

ΠΛΟΥΤΑΡΧΟΥ ΕΚΛΟΓΗ

ΠΕΡΙ ΤΩΝ ΑΔΥΝΑΤΩΝ.

1. *Κατὰ πετρῶν σπείρεις.*
2. *Πλίνθον πλύνεις.*
3. *Δικτύῳ ἄνεμον θηρᾷς.*
4. *Εἰς τετρημένον πίθον ἀντλεῖς.*
5. *Εἰς ὕδωρ γράφεις.*
6. *Εἰς οὐρανὸν τοξεύεις.*
7. *Αἰθίοπα σμήχεις.*
8. *Κοσκίνῳ ὕδωρ ἀντλεῖς.*
9. *Νεκρὸν μαστίζεις.*
10. *Εἰς ψάμμον οἰκοδομεῖς.*
11. *Εἰς ὕδωρ σπείρεις.*
12. *Ἀκίνητα κινεῖς.*
13. *Ἀκίχητα διώκεις.*
14. *Σίδηρον πλεῖν διδάσκεις.*
15. *Δελφῖνα νήχεσθαι διδάσκεις.*
16. *Ἡλίῳ φῶς δανείζεις.*
17. *Κύματα μετρεῖς.*
18. *Ἐλαίῳ πῦρ κατασβεννύεις.*
19. *Αἰγιαλῷ λαλεῖς.*

Vid. Leutsch. Vol. I p. 343 sq. 4 *τετριμμένον*: corr. Boissonadius 19 *αἰγιαλὸν*: corr. idem

20. *Λίθῳ διαλέγῃ.*
21. *Ὑπὲρ τὰ ἐσκαμμένα πηδᾷς.*
22. *Λύκου πτερὰ ζητεῖς.*
23. *Τράγον ἀμέλγεις.*
24. *Ἄμμον θαλάσσης κοφίνῳ ζητεῖς μετρεῖν.*
25. *Ἄνευ πτερῶν ζητεῖς ἵπτασθαι.*
26. *Φαλακρῷ κτένας δανείζεις.*
27. *Τυφλῷ κάτοπτρον χαρίζῃ.*
28. *Ἠπειρώτῃ δίκτυα δίδως.*
29. *Ἁλιεῖ ἄντρον παρέχεις.*
30. *Παρὰ κωφοῖς ἀποπέρδεις.*
31. *Ἄνεμον διώκεις.*
32. *Παρὰ δικτύοις ὕδωρ κομίζεις.*

26 *φαλακρὸν* codices: corr. Boissonadius 27 *τυφλὸν* codices: corr. Boissonadius 29 proverbium hic tantum occurrit 32 *παρὰ δικτύοις*] *δικτύῳ* Boissonadius. Fort. *ἄνεμον διώκεις δικτύοις* (aut *δικτύῳ*) et *δικτύοις ὕδωρ κομίζεις*

ΠΛΟΥΤΑΡΧΟΥ

I. ΠΕΡΙ ΤΟΥ ΗΡΩΙΚΟΥ ΜΕΤΡΟΥ.

Τὰ τοῦ Ὁμήρου ἔπη τελειότατον ἔχει τὸ μέτρον, τουτέστι τὸ ἑξάμετρον, ὃ καὶ ἡρῷον καλεῖται. ἑξάμετρον μὲν ὅτι εἷς ἕκαστος στίχος ἓξ πόδας ἔχει, ὧν ὁ μέν ἐστιν ἐκ δύο συλλαβῶν μακρῶν, σπονδεῖος καλούμενος, ὁ δ' ἐκ τριῶν, μιᾶς μακρᾶς καὶ δύο βραχειῶν, ὃς λέγεται δάκτυλος. καὶ εἰσὶν ἀλλήλοις ἰσόχρονοι· αἱ γὰρ δύο βραχεῖαι μιᾶς μακρᾶς χρόνον ἐπέχουσιν. οὗτοι δὲ παρ' ἀλλήλων συντιθέμενοι πληροῦσι τὸ ἑξάμετρον ἔπος.

Ἄλλως τοῦ αὐτοῦ. Τὸ ἡρωικὸν μέτρον ἤτοι ὁ στίχος ἓξ χώρας ἔχει καὶ δέχεται πόδας πέντε, δύο δισυλλάβους καὶ τρεῖς τρισυλλάβους· καὶ ἔστιν ἑξάμετρον, ἓξ γὰρ χώρας ἔχει· τὰς μὲν γὰρ πέντε συντεθειμένας ἔχει ἔκ τε δακτύλου καὶ σπονδείου, ἐνίοτε δὲ καὶ παλιμβάκχειον καὶ ἀμφίμακρον ἐπιδέχονται. ἡ δ' ἕκτη χώρα ἐπιδέχεται σπονδεῖον ἢ τροχαῖον· ἐπὶ παντὸς γὰρ μέτρου ἀδιάφορός ἐστιν

5 *στίχος* *   10 potius *παρ' ἀλλήλους*   14 *καὶ τρεῖς τρισυλλάβους* *   16 *συντεθειμένας ἔχει* *: *συγκεχυμένας*   18 *ἕκτη* *: *ϛ'*

ἡ τελευταία συλλαβή. αἱ δὲ πέντε χῶραι ἐνίοτε καὶ παλιμβάκχειον ὡς εἴρηται καὶ ἀμφίμακρον ἐπιδέχονται, καθαροὺς μέντοι καὶ ἐν τάξει δακτύλου κειμένους. καθαροὶ δ' εἰσὶν ὅταν ἀπαρτίζωσιν εἰς μέρος λόγου καὶ τὴν ἐπιφερομένην συλλαβὴν ἀρχομένην ἔχωσιν ἀπὸ φωνήεντος, ὡς ἔστιν ὁ παλιμβάκχειος ἐν τῷ

'πλάγχθη ἐπεὶ Τροίης ἱερὸν πτολίεθρον ἔπερσεν'·

ἀπήρτισε γὰρ εἰς μέρος λόγου τὸ πλάγχθη καὶ ἄρχεται ἡ ἐπιφερομένη συλλαβὴ ἀπὸ φωνήεντος τοῦ ε̄. ἀμφίμακρος δὲ ὡς τό

'οὔ τί μοι αἰτίη ἐσσί, θεοὶ νύ μοι αἴτιοί εἰσιν'·

εἰς γὰρ μέρος λόγου ἀπήρτισται ἡ μοι συλλαβὴ καὶ ἡ ἐξ αὐτῆς ἄρχεται ἀπὸ τῆς $\overline{\alpha\iota}$ διφθόγγου. ἡ βραχεῖα οὖσα καταπεραιοῖ εἰς μέρος λόγου καὶ τὴν ἑξῆς ἔχει ἀπὸ φωνήεντος ἀρχομένην καὶ ἐκτείνει τὸ βραχύ, οἷον

'ἡ δὲ μέγ' ἴαχεν ἀπὸ ** κάμβαλεν υἱόν'.

ἰδοὺ ἐνταῦθα τὸ πο μακρόν ἐστιν, ὅτι περαιοῖ εἰς μέρος λόγου· πρόθεσις γάρ ἐστι καὶ τὴν ἑξῆς ἔχει ἀπὸ φωνήεντος ἀρχομένην.

4 κειμένας codex 8 Hom. α 2 10 ἡ ἐπιφερομένη συλλαβὴ * 12 Hom. Γ 164 ib. αἴτιοι ἐσσίν codex 13 *: ἀπήρτηται 15 noli corrigere καταπερατοῖ 18 lac. 3—4 litt. cf. Homerus Ε 343

II. ΔΙΑΦΟΡΑΙ ΤΟΥ ΗΡΩΙΚΟΥ ΜΕΤΡΟΥ.

Τοῦ ἡρωικοῦ μέτρου διαφοραί εἰσιν ἑπτά· κατ' ἐνόπλιον, περιοδικόν, Σαπφικόν, βουκολικόν, ὑπόρρυθμον, τέλειον, πολιτικόν.

Κατ' ἐνόπλιόν ἐστι δύο δάκτυλοι καὶ σπονδεῖος ὡς τό

'ὣς φάτο δάκρυ χέων· τοῦ δ' ἔκλυε πότνια μήτηρ'.

περιοδικόν ἐστι δάκτυλος καὶ σπονδεῖος, οἷον

'οὐλομένην, ἣ μυρί' Ἀχαιοῖς ἄλγε' ἔθηκεν'.

Σαπφικόν ἐστι τὸ ἄρχον ἀπὸ σπονδείου καὶ λῆγον εἰς σπονδεῖον, οἷον

'ἄλλοι μέν ῥα θεοί τε καὶ ἀνέρες ἱπποκορυσταί'.

βουκολικόν ἐστι τὸ μετὰ τρεῖς πόδας ἀπαρτίζον εἰς μέρος λόγου, οἷον

'ἐξ ἐπιδιφριάδος πυμάτης ἱμᾶσι δέδεντο'.

ὑπόρρυθμόν ἐστι τὸ καθ' ἕκαστον πόδα ἀπαρτίζον εἰς μέρος λόγου, οἷον

'ὕβριος εἵνεκα τῆσδε· σὺ δ' ἴσχεο, πείθεο δ' ἡμῖν'.

τέλειον δ' ἐστὶ τὸ ἔχον ὅλα τὰ ὀκτὼ μέρη τοῦ λόγου·

'πρὸς δ' ἐμὲ τὸν δύστηνον ἔτι φρονέοντ' ἐλέαιρε'.

πολιτικὸν δέ ἐστι τὸ ἄνευ πάθους ἢ τρόπου γινόμενον, οἷον

'ἵππους δὲ ξανθὰς ἑκατὸν καὶ πεντήκοντα'.

7 Hom. *A* 357   9 id. ib. 2   12 id. *B* 1   15 id. *K* 475
18 id. *A* 214   21 id. *X* 59   24 id. *Λ* 680

Στίχος ἐστὶ τάξεως διαλεκτικῆς σύμμετρον μέγεθος. εἴδη στίχων τεσσαρακαίδεκα· ἰσόχρονος, ἀπηρτισμένος, ἀκέφαλος, λαγαρός, μείουρος, τραχύς, μαλακοειδής, κακόφωνος, λογοειδής, προκέφαλος, σφηκίας, δολιχόουρος, προκοίλιος, μακροσκελής.

Ἰσόχρονός ἐστιν ὁ τὰ μεγέθη τῶν συλλαβῶν καὶ τοὺς πόδας ἀπὸ πρώτου μέχρι τοῦ ἐσχάτου τοὺς αὐτοὺς ἔχων, ὡς τό

'τὼ δ' ἐν Μεσσήνῃ ξυμβλήτην ἀλλήλοιιν'.

ἀπηρτισμένος ἐστὶν ὁ τὴν δόξαν καὶ τὴν διάνοιαν πᾶσαν ἔχων ἐν ἑαυτῷ, οἷον

'ὣς εἰπὼν πυλέων ἐξέσσυτο φαίδιμος Ἕκτωρ'.

ἀκέφαλος δ' ἐστὶν ὁ ἀπὸ βραχείας ἀρχόμενος

'ἐπεὶ δὴ νῆάς τε καὶ Ἑλλήσποντον ἵκοντο'·

καὶ τό

'ὃς ᾔδη τά τ' ἐόντα τά τ' ἐσσόμενα πρό τ' ἐόντα'.

λαγαρός ἐστιν ὁ κατὰ τὴν μέσην συμφωνίαν τὴν σύνθεσιν μὴ σῴζων, οἷον

'Νέστορα δ' οὐκ ἔλαθεν ἰαχὴ πίνοντά περ ἔμπης'.

μείουρος δὲ ὁ κατὰ τὴν θέσιν τὸ τέλος μὴ σῴζων καὶ τὴν παρατέλευτον βραχεῖαν ἔχων, οἷον

'Τρῶες δ' ἐρρίγησαν, ὅπως ἴδον αἰόλον ὄφιν'·

ὁ γὰρ ἐν τέλει ὢν ποὺς ἀπὸ βραχείας ἤρξατο, ὅπερ μειοῖ τὸν πόδα τὸν ἐν τῇ οὐρᾷ.

2 *τεσσαρακαίδεκα* *: *ιδ* 5 *σφηκίας*] qui *σφηκώδης* vel *σφηκὸς* dici solet. Vox deest in Thesauro 7 *τοῦ πρώτου*? 9 Hom. *φ* 15 12 id. *Η* 1 14 id. *Ψ* 2 16 id. *Α* 70 19 id. *Ξ* 1 22 id. *Μ* 208 ib. *αἰόλον* idem: *αἴολον*

τραχύς ἐστιν ὁ τὸν ῥυθμὸν τῶν φθόγγων φθογγὴν συνιστάς, οἷον

'τριχθά τε καὶ τετραχθὰ διατρυφὲν ἔκπεσε χειρός'.

μαλακοειδής ἐστιν ὁ ὁμαλῶς καὶ οὐ βιαίως ἀλλὰ λείως ἐμπίπτων ταῖς ἀκοαῖς, οἷον

'αἵματί οἱ δεύοντο κόμαι Χαρίτεσσιν ὁμοῖαι'.

κακόφωνός ἐστιν ᾧ πολλὰ φωνήεντα ἔστιν, οἷον

'φήῃ ἀθηρηλοιγὸν ἔχειν ἀνὰ φαιδίμῳ ὤμῳ'.

λογοειδής ἐστιν ὁ πεζότερος τῇ συνθέσει, οἷον

'ἵππους δὲ ξανθὰς ἑκατὸν καὶ πεντήκοντα'.

προκέφαλός ἐστιν ὁ ἔχων πλέον τῆς τετραχρονίας, οἷον

'ἦ οὐχ ἅλις ὅτι γυναῖκας ἀνάλκιδας ἠπεροπεύεις'·

ἡ η̅ συλλαβὴ πλεονάζει ἐν τῷ μέτρῳ καὶ διὰ τοῦτο λέγεται προκέφαλος.

σφηκίας δὲ ὡς τό

'ἢ λάθετ' ἢ οὐκ ἐνόησεν· ἀάσατο δὲ μέγα θυμῷ'.

δολιχόουρος δ' ἐστὶν ὁ δολιχὴν ἤγουν μακρὰν τὴν οὐρὰν τουτέστι τὴν ἕκτην χώραν ἔχων, οἷον

'Κάστορά θ' ἱππόδαμον καὶ πὺξ ἀγαθὸν Πολυδεύκεα'.

1 ὁ τὸν ῥυθμὸν — συνιστάς] ὁ τῷ ῥοίζῳ τὸν φθόγγον συνιστάς Studemundius (vid. Jahrb. f. Phil. 1867 p. 609—623). unde corr. vid. ὁ τῷ ῥοίζῳ τῶν φθόγγων τὴν φθογγὴν συν. 3 Hom. *Γ* 363 6 id. *P* 51 8 id. λ 128 ib. φήῃ idem: φῇ vel φὴν 10 Hom. *Λ* 680 13 id. *E* 349 17 id. *I* 537 ib. λάθετ' ἢ idem: λάθω τὴν 20 Hom. *Γ* 237

προκοίλιος, *οἷον*

'Πατρόκλου ποθέων ἀνδροτῆτά τε καὶ μένος ἠύ'.

ἡ δρο συλλαβὴ ἐν τῷ μέσῳ τοῦ στίχου πλεονάζει καὶ ἐντίθησιν ὄγκον ὥσπερ ἐπὶ τῶν προγαστόρων, ὅθεν καὶ προκοίλιος εἴρηται.

μακροσκελὴς δέ, οἷον

'Κύκλωψ, τῆ πίε οἶνον, ἐπεὶ φάγες ἀνδρόμεα κρέα'.

III. ΠΕΡΙ ΤΩΝ ΕΝ ΣΤΙΧΟΙΣ ΤΟΜΩΝ ΚΑΙ ΣΧΗΜΑΤΩΝ ΚΑΙ ΠΑΘΩΝ.

ΠΕΡΙ ΤΟΜΩΝ.

Τομαὶ τῶν στίχων εἰσὶ τέσσαρες· πενθημιμερής, ἐφθημιμερής, τρίτη τροχαϊκή, καὶ τετάρτη βουκολική.

Πενθημιμερὴς μὲν οὖν ἐστιν, ὅταν μετὰ τοὺς πρώτους δύο πόδας τοῦ στίχου συλλαβὴ ἀπαρτίζηται εἰς μέρος λόγου, ὡς ἐν τῷ

'μῆνιν ἄειδε, θεά —'.

ἐφθημιμερὴς δ' ἐστίν, ὅταν μετὰ τοὺς πρώτους τρεῖς πόδας τοῦ στίχου συλλαβὴν ἀπαρτίζῃ εἰς μέρος λόγου, ὡς ἐν τῷ

'πολλὰς δ' ἰφθίμους ψυχὰς —'.

τρίτη δὲ τροχαϊκή ἐστιν, ὅταν ὁ τρίτος ποὺς τροχαϊκὸς ὢν ἀπαρτίζῃ εἰς μέρος λόγου, ὡς ἐν τῷ

'ἡρώων, αὐτοὺς δὲ —'.

